
ΤΟ ΜΕΓΑ ΓΕΡΟΝΤΙΚΟΝ

Τόμος Γ´



Ἔκδοση Ἱ. Ἡσυχ. «Τό Γενέσιον τῆς Θεοτόκου»
Πανόραμα Θεσσαλονίκης

Εἶδον δὲ καὶ ἕτερον πλῆθος ἄπειρον μοναχῶν καὶ μὴ δυνάμενον ἀριθμῷ ὑποβάλλεσθαι, πᾶσαν ἡλικίαν ἔχον ἐν ταῖς ἐρήμοις καὶ ἐν ταῖς χώραις...
Οὐ γάρ ἔστι κώμη οὔτε πόλις ἐν Αἰγύπτῳ τε καὶ Θηβαΐδι ἣ οὐχὶ τοῖς μοναστηρίοις καθάπερ τείχεσι περιβέβληται· καὶ ταῖς αὐτῶν εὐχαῖς οἱ λαοὶ ὥσπερ ἐπὶ τῷ Θεῷ ἐπερείδονται.

(Ἀπό τόν πρόλογο τοῦ βιβλίου «Ἡ κατ' Αἴγυπτον τῶν μοναχῶν ἱστορία»)



ΤΟ
ΜΕΓΑ
ΓΕΡΟΝΤΙΚΟΝ

ΤΟ ΜΕΓΑ ΓΕΡΟΝΤΙΚΟΝ

Θεματική Συλλογή

Κείμενο-Μετάφραση-Σχόλια

Τόμος Τρίτος

Ἔκδοση Ἱ. Ἡσυχαστηρίου
«Τό Γενέσιον τῆς Θεοτόκου»
Πανόραμα Θεσσαλονίκης

Α΄ ἔκδοση Ἰούνιος 1997
Β΄ ἔκδοση Ἰούλιος 2009

Ἀναπαύσεως 18 - 55236 Πανόραμα Θεσσαλονίκης
Τηλ. 2310343901

Κεντρική διάθεση:
Βιβλιοπωλεῖο «Τό Περιβόλι τῆς Παναγίας»
Πρασακάκη 9 - 54622 Θεσσαλονίκη
Τηλ. 2310231040, 2310283805, Fax 2310241254
E-mail: bookstore@toperivoli.gr

Περιεχόμενα



Ρώμη
Κων/πολις
Θεσσαλονίκη
ΒΙΘΥΝΙΑ
Νίκαια
ΠΟΝΤΟΣ
ΓΑΛΑΤΙΑ
Καισάρεια
ΚΑΠΠΑΔΟΚΙΑ
Ἀθῆνα
ΚΙΛΙΚΙΑ
Σισάν
Ἀντιόχεια
(Θεούπολις)
ΣΥΡΙΑ
ΚΥΠΡΟΣ
Τρίπολις
Βηρυτός
Σιδόνα
Δαμασκός
Τύρος
Καισάρεια
Φιλίππου
ΠΑΛΑΙΣΤΙΝΗ
Μεσόγειος Θάλασσα
Νικόπολις
Ἰεριχώ
Ἄζωτος
Ἱερουσαλήμ
Ἀσκάλων
Γάζα
Νεκρά θ.
Ἐλευθερόπολις
Ἀλεξάνδρεια
Δίολκος
Πανεφώ
Πηλούσιον
ΛΙΒΥΗ
Νιτρία
Κελλία
Σκήτη
Ἁγ. Μηνᾶς
Βαβυλών
(Κάιρο)
Πέτρα
ΑΙΓΥΠΤΟΣ
Κλύσμα
Φαγιούμ
Ἀρσινόη
Ἐιλάτ
ΧΕΡΣΟΝΗΣΟΣ
ΣΙΝΑ
Καλαμών Ἀρσεν.
Ὄρος Ἁγ. Ἀντωνίου
Ἡρωοπολίτικος κόλπος
Φαράν
Ὀξύρρυγχος
Ι.Μ. Σινᾶ
Μ.Ἁγ. Παύλου
Ραϊθώ
Αἰλανιτικὸς κ.
ΚΑΤΩ ΘΗΒΑΪΣ
π. Νεῖλος
Μ. ἀββᾶ Ἀπολλώ
Λυκόπολις
ΑΝΩ ΘΗΒΑΪΣ
ΕΡΥΘΡΑ
ΘΑΛΑΣΣΑ
Ταβεννησία
Λ. Γεννησαρέτ
ΓΑΛΙΛΑΙΑ
π. Ἰορδάνης
Μεσόγειος
Θάλασσα
ΣΑΜΑΡΕΙΑ
Δουκᾶ
Ἰεριχώ
Χοζιβᾶ
Πέτρου
Νικόπολις
Φαρὰν
Γερασίμου
Καλαμῶνος
Ἱερουσαλήμ
Πυργίων
Ἔρημος Καλαμῶνος
Ἄζωτος
χείμ. Κέδρων
Θεοδοσίου
Ἀσκάλων
Βηθλεέμ
Σάββα
ΙΟΥΔΑΙΑ
Χεβρών
Γάζα
Ἐλευθερόπολις
Νεκρὰ
Θάλασσα
Μοναστήρια τῆς Παλαιστίνης

Ὁδηγός παραπομπῶν καί συντομογραφιῶν

ἀπόφθ.	= ἀπόφθεγμα
βιογρ. σημ.	= βιογραφικό σημείωμα
βλ.	= βλέπε
(βλ.) Εἰσαγ.	= (βλέπε στό) Εἰσαγωγικό σημείωμα
κεφ.	= κεφάλαιο
λ.	= λέξη
πρβλ.	= παράβαλε
σελ.	= σελίδα
ὑποσημ.	= ὑποσημείωση
PG	= Patrologia Graeca (Ἑλληνική Πατρολογία Migne)

• Ἡ παραπομπή σέ ἀπόφθεγμα ἤ σέ ἔννοια ἑνός ἀποφθέγματος δηλώνεται μέ τό ἀλφαβητικό γράμμα τοῦ κεφαλαίου, πού χαρακτηρίζει τή σειρά του, καί τόν εἰδικό ἀριθμό πού ἔχει τό ἀπόφθεγμα μέσα στό κεφάλαιο αὐτό.

Π.χ. ΙΑ 5 σημαίνει τό ἀπόφθ. 5 τοῦ ΙΑ' κεφ.

Γιά τά ἐκτενῆ ἀποφθέγματα, ὅσα εἶναι πάνω ἀπό μιά σελίδα, καί πρόκειται νά παραπέμψουμε σέ κάποια ἔννοια τοῦ ἀποφθέγματος, στίς στῆλες τῶν Εὑρετηρίων γράφουμε καί τή σελίδα στήν ὁποία βρίσκεται ἡ ἔννοια.

Π.χ. ΙΓ 3 (σελ. 385) σημαίνει ὅτι ἡ ἔννοια πού ἀναζητοῦμε βρίσκεται στό ἀπόφθ. 3 τοῦ ΙΓ' κεφ. καί στή σελ. 385.

• Στά Εὑρετήρια ἡ παραπομπή γιά τίς ὑποσημειώσεις στίς σελίδες τῶν ἀποφθεγμάτων δηλώνεται μέ τό γράμμα τοῦ κεφαλαίου, τόν ἀριθμό τῆς ὑποσημείωσης καί, ὅπου χρειάζεται, τόν ἀριθμό τῆς σελίδας στήν ὁποία βρίσκεται. Π.χ. ΙΑ ὑποσημ. 49 (σελ. 348).

Οἱ ὑποσημειώσεις σέ κάθε κεφ. ἔχουν δική τους ἀριθμητική σειρά.

• Ὁ ἀστερίσκος (*) πάνω σέ κάποια κύρια ὀνόματα σημαίνει ὅτι γι' αὐτά ὑπάρχει βιογραφικό σημείωμα στίς σελ. 491-496 στό τέλος τοῦ βιβλίου.

• Στό Εὑρετήριο ἐννοιῶν, ὅπου μέσα σέ παρενθέσεις παρατίθενται κάποιες προσδιοριστικές λέξεις, ἄν ὑπάρχει μιά παύλα (—) μέ τό ἀρχικό ἤ καί τό δεύτερο γράμμα τῆς ἔννοιας στήν ὁποία γίνεται ἡ παραπομπή, ἡ παύλα δηλώνει ἀκριβῶς τήν ἴδια τήν ἔννοια.

Π.χ. στή λ. ὑπακοή σημειώνεται: (ζῆσε στήν ὑ—). Αὐτό σημαίνει: ζῆσε στήν ὑπακοή.

Στή λ. εὐλογία σημειώνεται: (πληρότητα εὐ—). Αὐτό σημαίνει: πληρότητα εὐλογίας.



Εἰσαγωγικό σημείωμα

Εὐδόκησε ὁ Θεός καί ἔχουμε ἤδη ἀνά χεῖρας τόν Γ' τόμο τοῦ Μεγάλου Γεροντικοῦ. Αἰσθανόμαστε τήν ἀνάγκη νά εὐχαριστήσουμε ἀπό βάθους καρδίας τόν Θεό Πατέρα πού χορηγεῖ «πᾶν δώρημα τέλειον».

Εἶναι γνωστό στούς ἀναγνῶστες τῶν δύο πρώτων τόμων ὅτι αὐτή ἡ θεματική συλλογή[1] περιέχει τά ἀποφθέγματα ὁσίων ἀσκητῶν καί Γερόντων τῆς ἐρημικῆς παλαίστρας Αἰγύπτου, Θηβαΐδος, Σινᾶ καί Παλαιστίνης[2], ἐπωνύμων καί ἀνωνύμων, κατά θέματα, ὅπως διαφυλάχθηκαν ἐπί αἰῶνες καταχωρημένα στούς χειρόγραφους κώδικες.

Οἱ δύο πρῶτοι τόμοι παρουσίασαν τά πρῶτα ἐννέα κεφάλαια τῶν ἀποφθεγμάτων:

Α'. Παραίνεση τῶν ἁγίων Πατέρων γιά προκοπή στήν τελειότητα.

Β'. Πρέπει νά ἐπιδιώκουμε τήν "ἡσυχία" μέ κάθε μας δυνατότητα.

Γ'. Περί κατανύξεως.

Δ'. Περί ἐγκρατείας...

Ε'. Διηγήσεις ὠφέλιμες γιά τούς πολέμους πού ξεσηκώνει μέσα μας τό πάθος τῆς πορνείας.

ΣΤ'. Περί ἀκτημοσύνης... καί πλεονεξίας.

Ζ'. Διηγήσεις... γιά ὑπομονή καί ἀνδρεία.

---

1. Ἄς σημειωθεῖ ὅτι γιά πρώτη φορά, τουλάχιστον στόν Ἑλλαδικό χῶρο, δημοσιεύεται ἡ σειρά αὐτή ἀπό τούς χειρόγραφους κώδικες.
2. Χῶροι ὅπου πρωτοάνθισε ὁ ὀρθόδοξος χριστιανικός μοναχισμός.

Η΄. Τίποτε δέν πρέπει νά κάνουμε γιά ἐπίδειξη.

Θ΄. Εἶναι ἀνάγκη νά ἐπαγρυπνοῦμε ὥστε νά μή κρίνουμε κανένα.

Ὁ ἀνά χεῖρας τρίτος τόμος περιλαμβάνει τά ἑξῆς πέντε κεφάλαια, ὅπως εἶναι στή σειρά τῶν κωδίκων.

Ι΄. Περί διακρίσεως.

ΙΑ΄. Εἶναι ἀνάγκη πάντοτε νά εἴμαστε νηφάλιοι.

ΙΒ΄. Γιά τήν ἀδιάλειπτη καί νηφάλια προσευχή.

ΙΓ΄. Εἶναι ἀνάγκη νά φιλοξενοῦμε καί νά ἐλεοῦμε μέ ἱλαρότητα.

ΙΔ΄. Περί ὑπακοῆς.

Παρατίθεται ἀπόδοση τῶν ἀποφθεγμάτων στή νεοελληνική (ἔναντι τοῦ κειμένου), καθώς καί ὁρισμένα διευκρινιστικά σχόλια, ὅπου ἐκρίθη ἀπαραίτητο. Ἄν ὁ Θεός εὐδοκήσει, θά περατωθεῖ τό ἔργο μέ τόν τέταρτο τόμο. Γιά περισσότερα κατατοπιστικά στοιχεῖα, σχετικά μέ τήν πρώτη μορφή τοῦ μοναχισμοῦ στούς χώρους πού ἀναφέρονται τά κείμενά μας, καθώς καί τόν χαρακτήρα καί τό πνεῦμα τῶν ρήσεων τῶν ἁγίων ἀναχωρητῶν, μπορεῖ ὁ ἀναγνώστης νά ἀνατρέξει στήν Εἰσαγωγή τοῦ Α΄ καί τοῦ Β΄ τόμου.

«Βίος ἄνευ λόγου —λέει ὁ ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης— μᾶλλον ὠφελεῖν πέφυκεν ἤ λόγος ἄνευ βίου»[3]. Μέ ἄλλα λόγια, τό παράδειγμα καί μόνο ἑνός ἀνθρώπου χωρίς τόν λόγο, ὠφελεῖ κατά κανόνα περισσότερο ἀπό τήν διδασκαλία πού δέν συνοδεύεται μέ ἀνάλογο ἦθος. Αὐτό μποροῦμε νά ποῦμε ὅτι ἴσχυσε καί ἰσχύει γιά ὅλους τούς Ἁγίους τῆς Ἐκκλησίας μας· ἰδιαίτερα στήν προκειμένη περίπτωση τῶν ἀσκητῶν Πατέρων τῆς Ἐρήμου, τά κείμενα τῶν ὁποίων δέν ἀποτελοῦν θεολογική πραγματεία ἀλλά εἶναι σύντομες


3. Ἰσιδώρου Πηλουσιώτου *Ἐπιστολές*, ΙΙ σοε΄. PG 78, 708.

συνήθως ρήσεις πού εἰπώθηκαν σέ ἀνύποπτο χρόνο, μέ κάποια τυχαία ἀφορμή τῆς καθημερινῆς πραγματικότητος ἤ ὡς ἀπάντηση σέ ἐρωτήματα, πού ὑπέβαλλαν ὑποτακτικοί καί συνασκητές τους καί γενικότερα ζηλωτές τοῦ ἁγίου βίου τους. Οἱ ἴδιοι «διήνυσαν τὴν ὁδὸν τοῦ Θεοῦ λανθάνοντες, ἐν σιωπῇ καὶ ποικίλοις παλαίσμασι», ἔδωσαν αἷμα καί ἔλαβαν Πνεῦμα· καί οἱ ἀδάμαντες τῶν μετρημένων λόγων τους, πού ἦσαν καρπός τοῦ ἁγίου Πνεύματος τοῦ ἐνοικοῦντος ἐν τῇ καρδίᾳ τους, διασώθηκαν διά μέσου τῶν αἰώνων θείᾳ Προνοίᾳ μέχρις ἡμῶν προσανατολίζοντας μέ βεβαιότητα τούς ἐραστές τῆς ἁγίας βιοτῆς πρός τό «ἄκρως ἐφετόν», τήν πηγή τῆς ζωῆς, τόν Θεό.

Ἀνάμεσα στά ἀποφθέγματα παρεμβάλλονται καί κάποιες διηγήσεις περιστατικῶν σημαντικῶν τῆς ζωῆς τῶν ἀββάδων πού μέ τό ἁγιασμένο ἦθος τους ἀποτελοῦν ὑποδείγματα πρός μίμηση θεανθρώπινης ζωῆς. Ὅπως καί δέν παραλείπονται γεγονότα πτώσεων μεγάλων, πού ὀφείλονται στήν σύμπραξη ἀνθρώπινης ἀδυναμίας καί πανουργίας τοῦ Σατανᾶ, οἱ ὁποῖες ὅμως πτώσεις κατά κανόνα ὁδηγοῦν στήν βαθειά, τήν ἀμετάκλητη καί σώζουσα μετάνοια.

Μέ τίς πρεσβεῖες τῶν ἁγίων Πατέρων ἄς ἀξιωθοῦμε νά βρεθοῦμε στά ἴχνη τους.

Ἐκ τοῦ ἱεροῦ Ἡσυχαστηρίου






ΚΕΦΑΛΑΙΟ Γ΄

Μείζων πασῶν τῶν ἀρετῶν ἐστιν ἡ διάκρισις.

(Ἀπόφθ. 199)



Περὶ διακρίσεως




Ἶπεν ὁ ἀββᾶς Ἀντώνιος ὅτι εἰσί τινες κατατρίψαντες τὰ ἑαυτῶν σώματα ἐν ἀσκήσει· καὶ διὰ τὸ μὴ ἐσχηκέναι αὐτοὺς διάκρισιν, μακρὰν τοῦ Θεοῦ γεγόνασιν.

2. Ἀδελφοί τινες παρέβαλον τῷ ἀββᾷ Ἀντωνίῳ ἀναγγεῖλαι αὐτῷ φαντασίας ἃς ἔβλεπον καὶ μαθεῖν παρ' αὐτοῦ εἰ ἀληθιναί εἰσιν ἢ ἀπὸ δαιμόνων· εἶχον δὲ ὄνον καὶ ἀπέθανεν ἐν τῇ ὁδῷ. Ὡς οὖν ἦλθον πρὸς τὸν Γέροντα, προλαβὼν εἶπεν αὐτοῖς· Πῶς ἀπέθανεν ὁ μικρὸς ὄνος ἐν τῇ ὁδῷ; Λέγουσιν αὐτῷ· Πόθεν οἶδας, ἀββᾶ; Ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ δαίμονες ἔδειξάν μοι. Καὶ λέγουσιν αὐτῷ· Ἡμεῖς διὰ τοῦτο ἤλθομεν ἐρωτῆσαί σε, ὅτι βλέπομεν φαντασίας καὶ πολλάκις γίνονται ἀληθῆ· καὶ μήποτε πλανώμεθα. Καὶ ἐπληροφόρησεν αὐτοὺς ὁ Γέρων ἐκ τοῦ κατὰ τὸν ὄνον ὑποδείγματος ὅτι ἀπὸ δαιμόνων εἰσίν.

3. Ἦν τις κατὰ τὴν ἔρημον θηρεύων ἄγρια ζῶα καὶ εἶδε τὸν ἀββᾶν Ἀντώνιον χαριεντιζόμενον μετὰ τῶν ἀδελφῶν. Θέ-

1. Πρβλ. Β' Κορ. 11, 14.



Περί διακρίσεως



Ἶπε ὁ ἀββᾶς Ἀντώνιος*: «Εἶναι κάποιοι πού ἔλιωσαν τό σῶμα τους μέ τήν ἄσκηση, ἀλλ' ἐπειδή δέν εἶχαν διάκριση, βρέθηκαν μακριά ἀπό τόν Θεό».

2. Κάποιοι ἀδελφοί πῆγαν στόν ἀββᾶ Ἀντώνιο νά τοῦ ἀναφέρουν τά ὁράματα πού ἔβλεπαν, καί νά πληροφορηθοῦν ἀπ' αὐτόν ἐάν πρόκειται γιά ἀληθινά ὁράματα ἤ τά δημιουργοῦν οἱ δαίμονες.

Αὐτοί εἶχαν ἕνα γαϊδουράκι πού τούς ψόφησε στόν δρόμο. Μόλις ἔφθασαν στόν Γέροντα, πρόλαβε καί τούς εἶπε: «Πῶς ψόφησε τό γαϊδουράκι στόν δρόμο;» «Ποῦ τό ξέρεις, ἀββᾶ;» τόν ρώτησαν. Κι ἐκεῖνος τούς εἶπε: «Οἱ δαίμονες μοῦ τό φανέρωσαν». «Μά κι ἐμεῖς —εἶπαν— γι' αὐτό τό θέμα ἤρθαμε νά σέ ρωτήσουμε, γιατί βλέπουμε ὁράματα καί πολλές φορές βγαίνουν ἀληθινά. Ἀλλά μή τυχόν πέφτουμε σέ πλάνη;» Καί ὁ Γέροντας παίρνοντας ὡς παράδειγμα αὐτό πού συνέβη μέ τόν ὄνο, τούς πληροφόρησε ὅτι προέρχονται ἀπό τούς δαίμονες[1].

3. Κάποιος κυνηγοῦσε στήν ἔρημο ἄγρια ζῶα. Καί εἶδε τόν ἀββᾶ Ἀντώνιο νά χαριτολογεῖ μέ τούς ἀδελφούς[2]. Θέ-

2. Στό ἀλφαβητικό Γεροντικό, προστίθεται στό σημεῖο αὐτό ἡ φράση: «καί

λων δὲ αὐτὸν πληροφορῆσαι ὁ Γέρων ὅτι χρὴ μίαν μίαν συγκαταβαίνειν τοῖς ἀδελφοῖς, λέγει αὐτῷ· Βάλε βέλος εἰς τὸ τόξον σου καὶ τεῖνον. Καὶ ἐποίησεν οὕτω. Λέγει αὐτῷ· Πάλιν τεῖνον. Καὶ ἔτεινε. Καὶ πάλιν, φησί, τεῖνον. Λέγει αὐτῷ ὁ θηρευτής· Ἐὰν ὑπὲρ τὸ μέτρον τείνω, κλᾶται τὸ τόξον. Λέγει αὐτῷ ὁ Γέρων· Οὕτω καὶ εἰς τὸ ἔργον τοῦ Θεοῦ· ἐὰν ὑπὲρ τὸ μέτρον τείνωμεν κατὰ τῶν ἀδελφῶν, ταχὺ προσρήσσουσι. Χρὴ οὖν μίαν μίαν συγκαταβαίνειν τοῖς ἀδελφοῖς.

Ταῦτα ἀκούσας ὁ θηρευτὴς κατενύγη καὶ πολλὰ ὠφεληθεὶς παρὰ τοῦ Γέροντος ἀπῆλθε. Καὶ οἱ ἀδελφοὶ στηριχθέντες ἀνεχώρησαν εἰς τὸν τόπον αὐτῶν.

4. Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Ἀντωνίῳ· Εὖξαι ὑπὲρ ἐμοῦ. Λέγει αὐτῷ ὁ Γέρων· Οὐδὲ ἐγώ σε ἐλεῶ οὐδὲ ὁ Θεός, ἐὰν μὴ σὺ αὐτὸς σπουδάσῃς καὶ αἰτήσῃ τὸν Θεόν.

5. Εἶπε πάλιν ὅτι ὁ Θεὸς οὐκ ἀφίησι τοὺς πολέμους ἐπὶ τὴν γενεὰν ταύτην ὥσπερ ἐπὶ τῶν ἀρχαίων· οἶδε γὰρ ὅτι ἀσθενεῖς εἰσι καὶ οὐ βαστάζουσιν.

6. Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος ὅτι ἔρχεται καιρός, ἵνα οἱ ἄνθρωποι μανῶσι. Καὶ ἐπὰν ἴδωσί τινα μὴ μαινόμενον, ἐπαναστήσονται αὐτῷ λέγοντες ὅτι· Σὺ μαίνῃ, διὰ τὸ μὴ εἶναι ὅμοιον αὐτοῖς.

ἐσκανδαλίσθη». Στούς κώδικες τῆς θεματικῆς συλλογῆς πού χρησιμοποιοῦμε, παραλείπεται ἡ λέξη, ἀλλά εὔκολα συνάγεται ἀπό τό ἐποπτικό παράδειγμα,

λοντας ὁ Γέροντας νά τόν διδάξει ὅτι εἶναι ἀνάγκη ποῦ καί ποῦ νά συγκαταβαίνει κανείς στούς ἀδελφούς, τοῦ λέει: «Βάλε ἕνα βέλος στό τόξο σου καί τέντωσέ το». Καί τό ἔκανε. Τοῦ λέει: «Τέντωσέ το κι ἄλλο». Τό τέντωσε. «Ἀκόμη τέντωσέ το» ἐπιμένει. Ἀλλά ὁ κυνηγός τοῦ εἶπε: «Ἐάν τό τεντώσω ὑπερβολικά, θά σπάσει τό τόξο». «Αὐτό συμβαίνει —ἀποκρίθηκε ὁ Γέροντας— καί στήν ἐργασία τοῦ Θεοῦ. Ἐάν οἱ ἀπαιτήσεις μας εἶναι ὑπερβολικές πρός τούς ἀδελφούς, σύντομα θά σπάσουν. Χρειάζεται πότε πότε νά συγκαταβαίνουμε στούς ἀδελφούς».

Σάν τ' ἄκουσε αὐτά ὁ κυνηγός, ἦρθε σέ κατάνυξη καί ἔφυγε πολύ ὠφελημένος ἀπό τόν Γέροντα. Καί οἱ ἀδελφοί ἐπίσης στηρίχθηκαν καί ξεκίνησαν γιά τόν τόπο τους.

4. Κάποιος ἀδελφός εἶπε στόν ἀββᾶ Ἀντώνιο: «Προσευχήσου γιά μένα». Καί ὁ Γέροντας τοῦ λέει: «Οὔτε ἐγώ σέ σπλαχνίζομαι οὔτε ὁ Θεός, ἐάν σύ ὁ ἴδιος δέν σπεύσεις μέ ζῆλο νά ζητήσεις ἀπό τόν Θεό».

5. Εἶπε ἐπίσης ὅτι ὁ Θεός δέν ἐπιτρέπει νά ρθοῦν οἱ μεγάλοι πειρασμοί στή γενιά αὐτή ὅπως στίς παλαιότερες, γιατί γνωρίζει ὅτι εἶναι ἀδύναμοι καί δέν τό ἀντέχουν.

6. Εἶπε ὁ ἀββᾶς Ἀντώνιος ὅτι θά ρθεῖ ἐποχή, πού οἱ ἄνθρωποι θά φέρονται ὅπως οἱ παράφρονες. Καί ὅταν θά βλέπουν κάποιον πού δέν θά συμπεριφέρεται ὡς παράφρων, θά τά βάζουν μαζί του καί θά τοῦ λένε: «Ἐσύ εἶσαι τρελλός», ἐπειδή δέν εἶναι ὅμοιος μ' αὐτούς.

πού χρησιμοποιεῖ στόν κυνηγό ὁ διορατικός Γέροντας, ὅτι εἶχε ἤδη τήν πληροφορία περί τοῦ σκανδαλισμοῦ τοῦ κυνηγοῦ.

7. Ἐσυκοφαντήθη ἀδελφὸς εἰς κοινόβιον περὶ πορνείας καὶ ἀναστὰς ἦλθε πρὸς τὸν ἀββᾶν Ἀντώνιον. Καὶ ἦλθον ἀδελφοὶ ἀπὸ τοῦ κοινοβίου θεραπεῦσαι αὐτὸν καὶ λαβεῖν· καὶ ἤρξαντο ἐλέγχειν αὐτὸν ὅτι οὕτως ἐποίησας. Ὁ δὲ ἀπελογεῖτο ὅτι οὐδὲν τοιοῦτον ἐποίησα. Εὐκαίρησε δὲ ἐκεῖ ὁ ἀββᾶς Παφνούτιος ὁ Κεφαλᾶς καὶ εἶπε παραβολὴν τοιαύτην· Εἶδον εἰς τὴν ὄχθην τοῦ ποταμοῦ ἄνθρωπον βληθέντα εἰς βόρβορον ἕως τῶν γονάτων αὐτοῦ· καὶ ἐλθόντες τινὲς δοῦναι αὐτῷ χεῖρα κατεπόντισαν αὐτὸν ἕως τραχήλου.

Καὶ λέγει αὐτοῖς ὁ ἀββᾶς Ἀντώνιος περὶ τοῦ ἀββᾶ Παφνουτίου· Ἰδοὺ ἄνθρωπος ἀληθινὸς δυνάμενος θεραπεῦσαι καὶ σῶσαι ψυχάς. Κατανυγέντες δὲ τῷ λόγῳ τῶν Γερόντων ἔβαλον μετάνοιαν τῷ ἀδελφῷ καὶ παρακληθέντες ὑπὸ τῶν Πατέρων ἔλαβον αὐτὸν εἰς τὸ κοινόβιον.

8. Ποτὲ ὁ ἀββᾶς Ἀντώνιος ἐδέξατο Κωνσταντίνου τοῦ βασιλέως γράμματα, ἵνα ἔλθῃ εἰς Κωνσταντινούπολιν, καὶ ἐσκόπει τί ποιήσῃ. Καὶ λέγει τῷ ἀββᾷ Παύλῳ τῷ μαθητῇ αὐτοῦ· Ὤφειλον ἀπελθεῖν; Καὶ λέγει αὐτῷ· Ἐὰν ἀπέλθῃς, Ἀντώνιος λέγῃ· εἰ δὲ οὐκ ἀπέλθῃς, ἀββᾶς Ἀντώνιος.

9. Παρέβαλέ ποτε ὁ ἀββᾶς Ἀντώνιος τῷ ἀββᾷ Ἀμμοὺν εἰς τὸ ὄρος τῆς Νιτρίας· καὶ μετὰ τὸ συντυχεῖν ἀλλήλοις λέγει αὐτῷ ὁ ἀββᾶς Ἀμμούν· Ἐπειδὴ διὰ τῶν εὐχῶν σου ἐπληθύνθησαν οἱ ἀδελφοὶ καὶ θέλουσί τινες αὐτῶν οἰκοδομῆσαι κελλία μακράν, ἵνα ἡσυχάσωσι, πόσον κελεύεις ἵνα ἀπέχῃ διάστημα τὰ κτιζόμενα κελλία τῶν ἐνταῦθα; Ὁ δὲ εἶπε· Γευσώμεθα ὥραν ἐνάτην καὶ ἐξελθόντες διακινήσωμεν τὴν ἔρημον καὶ

3. Ἡ ἐνάτη ὥρα τοῦ ἀρχ. κειμένου εἶναι βυζαντινή καί ἀντιστοιχεῖ μέ τήν

7. Συκοφαντήθηκε ἕνας ἀδελφός σέ κοινόβιο ὅτι ἔπεσε σέ πορνεία. Σηκώθηκε λοιπόν καί πῆγε στόν ἀββᾶ Ἀντώνιο. Καί πῆγαν ἐκεῖ κάποιοι ἀδελφοί τοῦ κοινοβίου νά τόν βοηθήσουν νά συνέλθει καί νά τόν πάρουν μαζί τους. Ἄρχισαν ὅμως νά τόν ἐλέγχουν: «Γιατί τό 'κανες αὐτό;» Κι ἐκεῖνος ἔλεγε: «Δέν ἔκανα τίποτε τέτοιο». Κατά καλή συγκυρία βρέθηκε ἐκεῖ ὁ ἀββᾶς Παφνούτιος ὁ Κεφαλᾶς, ὁ ὁποῖος εἶπε τήν ἑξῆς παραβολή: «Εἶδα στήν ὄχθη τοῦ ποταμοῦ ἕναν ἄνθρωπο βουτηγμένο στή λάσπη μέχρι τά γόνατα. Ἦρθαν κάποιοι νά τοῦ δώσουν χέρι βοηθείας καί τόν βούλιαξαν μέχρι τόν λαιμό».

Εἶπε τότε ὁ ἀββᾶς Ἀντώνιος γιά τόν ἀββᾶ Παφνούτιο*: «Νά ἕνας ἄνθρωπος ἀληθινός, πού μπορεῖ νά θεραπεύσει καί νά σώσει ψυχές». Μέ τά λόγια τῶν Γερόντων κατανύχθηκαν, ἔβαλαν μετάνοια στόν ἀδελφό καί ἐνισχυμένοι ἀπό τούς Πατέρες τόν πῆραν μαζί τους στό κοινόβιο.

8. Κάποτε ὁ ἀββᾶς Ἀντώνιος ἔλαβε ἐπιστολή ἀπό τόν βασιλιά Κωνσταντίνο πού τόν καλοῦσε νά πάει στήν Κωνσταντινούπολη. Σκεφτόταν λοιπόν τί νά κάνει καί ρωτάει τόν ἀββᾶ Παῦλο, τόν μαθητή του: «Θά ἦταν καλό νά πήγαινα;» Ἐκεῖνος τοῦ λέει: «Ἐάν πᾶς, θά λέγεσαι Ἀντώνιος· ἄν ὅμως δέν πᾶς, θά λέγεσαι ἀββᾶς Ἀντώνιος».

9. Πῆγε κάποτε ὁ ἀββᾶς Ἀντώνιος στόν ἀββᾶ Ἀμμούν*, στό ὄρος τῆς Νιτρίας. Ἀφοῦ ἔγινε ἡ συνάντηση, τοῦ λέει ὁ ἀββᾶς Ἀμμούν: «Ἐπειδή μέ τίς εὐχές σου αὐξήθηκε ὁ ἀριθμός τῶν ἀδελφῶν καί θέλουν μερικοί ἀπ' αὐτούς νά χτίσουν κελιά μακριά γιά νά ἡσυχάζουν, πόσο διάστημα συμβουλεύεις νά ἀπέχουν τά νέα κελιά ἀπ' αὐτά ἐδῶ;» Κι ἐκεῖνος εἶπε: «Ἄς φᾶμε κατά τίς τρεῖς τό μεσημέρι[3] καί νά βγοῦμε νά περ-

σημερινή τρίτη ὥρα ἀπογευματινή. Βλ. *Μ. Γεροντικόν* τόμ. Β' σελ. 20 ὑποσημ. 3.

σκοποῦμεν τὸν τόπον. Ὡς δὲ ὥδευσαν τὴν ἔρημον ἕως τοῦ ἐλθεῖν δῦναι τὸν ἥλιον, λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· Ποιήσωμεν εὐχὴν καὶ στήσωμεν ὧδε σταυρόν, ἵν' ὧδε κτίσωσιν οἱ θέλοντες κτίσαι, ἵνα καὶ οἱ ἐκεῖθεν, ὅταν παραβάλωσι τούτοις, γευσάμενοι τὸ μικρὸν βουκὶν αὐτῶν ὥραν ἐνάτην οὕτω παραβάλωσι· καὶ οἱ ἔνθεν ἀπερχόμενοι τὸ αὐτὸ ποιοῦντες, ἀπερίσπαστοι μείνωσιν ἐν τῷ παραβαλεῖν ἀλλήλοις. Ἔστι δὲ τὸ διάστημα σημεῖα δεκαδύο.

10. Ἠρώτησεν ὁ ἀββᾶς Μᾶρκος τὸν ἀββᾶν Ἀρσένιον λέγων· Διὰ τί εἰσί τινες καλοὶ ἄνθρωποι καὶ ἐν τῷ ἀποθνήσκειν αὐτοὺς μετὰ πολλῆς θλίψεως συγγίνονται πλησσόμενοι εἰς τὸ σῶμα αὐτῶν; Ἀπεκρίθη ὁ Γέρων· Ἵνα ὥσπερ ἐν ἅλατι ἁλισθέντες ἐνταῦθα καθαροὶ ἀπέλθωσιν ἐκεῖ.

11. Διηγήσατο ὁ ἀββᾶς Δανιήλ, ὁ μαθητὴς τοῦ ἀββᾶ Ἀρσενίου, λέγων ὅτι εὑρέθη ποτὲ ἐγγὺς τοῦ ἀββᾶ Ἀλεξάνδρου· καὶ ἐκράτησεν αὐτὸν πόνος καὶ ἥπλωσεν ἑαυτὸν ἄνω βλέπων διὰ τὸν πόνον. Συνέβη δὲ τὸν μακάριον Ἀρσένιον ἐλθεῖν τοῦ λαλῆσαι αὐτῷ καὶ εἶδεν αὐτὸν ἡπλωμένον. Ὡς οὖν ἐλάλησε, λέγει αὐτῷ· Τίς ἦν ὁ κοσμικὸς ὃν εἶδον ὧδε; Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀλέξανδρος· Ποῦ ἑώρακας αὐτόν; Καὶ εἶπεν· Ὡς κατηρχόμην ἀπὸ τοῦ ὄρους, προσέσχον ὧδε καὶ εἶδόν τινα ἡπλωμένον εἰς τὸ σπήλαιον ἄνω βλέποντα. Καὶ ἔβαλεν αὐτῷ μετάνοιαν λέγων· Συγχώρησόν μοι, ἐγὼ ἤμην· πόνος με γὰρ κατέσχε. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οὐκοῦν εἰ σὺ ἧς, οὐ καλῶς ἐγὼ ὑπενόησα ὅτι κοσμικός ἐστι καὶ διὰ τοῦτο ἠρώτησα.

---

4. Σημεῖον: μέτρο ἀποστάσεως, ἴσο μέ ἕνα μίλι (= 1.535 μ.). Βλ. Ἐπιφανίου Κύπρου, *Κατὰ αἱρέσεων* (PG 41, 1036B): «...ἀντὶ ἑνὸς σημείου, ἤτοι μιλίου». Ἄρα ἡ ἀπόσταση μεταξύ τῶν κελιῶν ἦταν 18,5 χλμ. περίπου.

πατήσουμε τήν ἔρημο καί νά ἐξετάσουμε τόν τόπο. Πράγματι περπάτησαν τήν ἔρημο μέχρι πού κόντευε νά δύσει ὁ ἥλιος, καί τοῦ λέει ὁ ἀββᾶς Ἀντώνιος: «Νά προσευχηθοῦμε καί νά στήσουμε ἐδῶ ἕνα σταυρό, γιά νά χτίσουν ἐδῶ ὅσοι θέλουν νά χτίσουν. Ἔτσι καί οἱ ἀπό κεῖ ὅταν ἔρχονται σ' αὐτούς, νά 'ρχονται, ἀφοῦ φᾶνε στίς τρεῖς ἡ ὥρα τή λιγοστή τροφή τους. Καί ὅσοι ἀπ' ἐδῶ θά ξεκινοῦν κάνοντας τό ἴδιο, θά μένουν ἀπερίσπαστοι στίς συναντήσεις τους». Καί τό διάστημα αὐτό εἶναι δώδεκα σημεῖα[4].

10. Ρώτησε ὁ ἀββᾶς Μάρκος τόν ἀββᾶ Ἀρσένιο: «Γιατί συμβαίνει κάποιοι καλοί ἄνθρωποι, τήν ὥρα πού πεθαίνουν, καθώς εἶναι ἀκόμη μέσα στό σῶμα τους αἰσθάνονται πολύ στενόχωρα καί χτυπιοῦνται;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Γιά νά πᾶνε καθαροί ἐκεῖ, σάν ἁλατισμένοι μέ ἁλάτι ἀπ' ἐδῶ».

11. Διηγήθηκε ὁ ἀββᾶς Δανιήλ, ὁ μαθητής τοῦ ἀββᾶ Ἀρσενίου*, ὅτι κάποτε βρέθηκε κοντά στόν ἀββᾶ Ἀλέξανδρο. Καί ξαφνικά τόν ἔπιασε πόνος (τόν Ἀλέξανδρο) καί ξάπλωσε ἀνάσκελα ἀπό τόν πόνο.

Συνέπεσε τήν ὥρα ἐκείνη νά ρθεῖ ὁ μακάριος Ἀρσένιος γιά νά τοῦ μιλήσει, καί τόν εἶδε ξαπλωμένο. Ἀφοῦ τοῦ μίλησε, τόν ρωτάει: «Ποιός ἦταν ὁ κοσμικός πού εἶδα ἐδῶ;» «Ποῦ τόν εἶδες;» ρωτάει ὁ ἀββᾶς Ἀλέξανδρος. «Καθώς κατέβαινα ἀπό τό ὄρος, ἔπεσε τό βλέμμα μου ἐδῶ —εἶπε— καί εἶδα κάποιον ξαπλωμένο στό σπήλαιο νά βλέπει πρός τά πάνω». Τοῦ ἔβαλε ἀμέσως μετάνοια λέγοντας: «Συγχώρεσέ με, ἐγώ ἤμουν, γιατί μ' ἔπιασε πόνος». Κι ὁ Γέροντας τοῦ εἶπε: «Ἄν λοιπόν ἦσουν ἐσύ, τό συμπέρασμά μου ὅτι ἦταν κοσμικός δέν ἦταν σωστό καί γι' αὐτό ρώτησα».

12. Ἔλεγεν ὁ ἀββᾶς Δανιὴλ ὅτι τινὲς ἀδελφοὶ μέλλοντες ὑπάγειν εἰς Θηβαΐδα διὰ λινάρια λέγουσι· Δι᾿ ἀφορμῆς ἴδωμεν καὶ τὸν ἀββᾶν Ἀρσένιον. Καὶ εἰσῆλθεν ὁ ἀββᾶς Ἀλέξανδρος καὶ εἶπε τῷ Γέροντι· Ἀδελφοὶ ἐλθόντες ἀπὸ Ἀλεξανδρείας θέλουσί σε ἰδεῖν. Λέγει ὁ Γέρων· Μάθε παρ᾿ αὐτῶν δι᾿ ἣν αἰτίαν παραγεγόνασι. Καὶ μαθὼν ὅτι εἰς Θηβαΐδα διὰ λινάρια ὑπάγουσιν ἀπήγγειλε τῷ Γέροντι. Καὶ λέγει αὐτῷ· Φύσει οὐ βλέπουσι τὸ πρόσωπον Ἀρσενίου, ὅτι οὐ δι᾿ ἐμὲ ἦλθον ἀλλὰ διὰ τὸ ἔργον αὐτῶν. Ἀνάπαυσον αὐτοὺς καὶ ἀπόλυσον ἐν εἰρήνῃ εἰπὼν αὐτοῖς ὅτι ὁ Γέρων οὐ δύναται ἀπαντῆσαι.

13. Εἶπεν ὁ ἀββᾶς Πέτρος, ὁ τοῦ ἀββᾶ Λώτ, ὅτι· Ἐν τῷ κελλίῳ τοῦ ἀββᾶ Ἀγάθωνος ἤμην ποτὲ καὶ ἦλθε πρὸς αὐτὸν ἀδελφὸς λέγων· Θέλω οἰκῆσαι μετὰ ἀδελφοῦ· εἰπέ μοι, πῶς μετ᾿ αὐτοῦ οἰκήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ὡς ἐν τῇ πρώτῃ ἡμέρᾳ, ὅτε εἰσέρχῃ πρὸς αὐτόν, οὕτω φύλαξον τὴν ξενιτείαν σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα μὴ παρρησιασθῇς μετ᾿ αὐτοῦ. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Τί γὰρ ποιεῖ ἡ παρρησία; Λέγει αὐτῷ ὁ Γέρων· Ἔοικεν ἡ παρρησία καύσωνι με-

---

5. Θηβαΐδα: Περιοχή τῆς Νότιας Αἰγύπτου μέ πρωτεύουσα τίς Θῆβες. Βλ. Χάρτη σελ. 8-9 καί *Μ. Γεροντικόν* τόμ. Β΄ σελ. 64 ὑποσημ. 39β.

6. Βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 40-41 ὑποσημ. 7.

7. Ἡ ἔννοια παρρησία ἀπό ἄνθρωπο πρός ἄνθρωπο χρησιμοποιεῖται συνήθως μέ τήν κακή της ἔννοια: Ἐκφράζεται ὡς ἀγενές καί ὑπερήφανο θάρρος, ὡς ἐλευθεροστομία καί προπέτεια. Οἱ Πατέρες ἰδιαιτέρως στηλιτεύουν τό πάθος αὐτό, ὥστε ὁ ἀββᾶς Ἀγάθων νά τό χαρακτηρίζει ὡς «τό χαλεπώτερον πάθος» πρωτίστως γιά τόν μοναχό. Ἐπεκτείνοντας μάλιστα ἐδῶ ὁ ἀββᾶς τήν ἀπουσία παρρησίας τοῦ μοναχοῦ καί ὡς πρός τά ἀντικείμενα τοῦ περιβάλλοντός του, ἀνάγεται στήν ἀρετή τῆς ξενιτείας. Τό πνεῦμα τοῦ ἀποφθέγματος ἐδῶ εἶναι: ἡ

12. Διηγοῦνταν ὁ ἀββᾶς Δανιήλ ὅτι μερικοί ἀδελφοί πού ἐπρόκειτο νά πᾶνε στή Θηβαΐδα γιά νά προμηθευθοῦν λινάρι, εἶπαν: «Μ᾿ αὐτή τήν ἀφορμή ἄς δοῦμε καί τόν ἀββᾶ Ἀρσένιο». Μπαίνει λοιπόν ὁ ἀββᾶς Ἀλέξανδρος καί λέει στόν Γέροντα: «Ἦλθαν κάποιοι ἀδελφοί ἀπό τήν Ἀλεξάνδρεια καί θέλουν νά σέ δοῦν». «Μάθε πρῶτα —ἀποκρίνεται ὁ Γέροντας— γιά ποιόν λόγο ἔχουν ἔρθει». Μαθαίνει λοιπόν ὅτι πᾶνε στή Θηβαΐδα[5] γιά λινάρι καί τό ἀνακοινώνει στόν Γέροντα. Καί ὁ Γέροντας τοῦ λέει: «Σίγουρα δέν θά δοῦν τό πρόσωπο τοῦ Ἀρσενίου, γιατί δέν ἦρθαν γιά μένα ἀλλά γιά τή δουλειά τους. Νά τούς περιποιηθεῖς καί ἄφησέ τους νά πᾶν στό καλό λέγοντάς τους ὅτι ὁ Γέροντας δέν μπορεῖ νά σᾶς συναντήσει».

13. Εἶπε ὁ ἀββᾶς Πέτρος, ὁ ὑποτακτικός τοῦ ἀββᾶ Λώτ, τά ἑξῆς: «Βρέθηκα κάποτε στό κελί τοῦ ἀββᾶ Ἀγάθωνα. Ἦρθε λοιπόν κάποιος ἀδελφός καί τοῦ εἶπε: Θέλω νά συγκατοικήσω μέ ἀδελφό· πές μου, μέ τί τρόπο νά κατοικήσω μαζί του; Καί ὁ Γέροντας τοῦ λέει: Ὅπως τήν πρώτη ἡμέρα, πού ξεκινᾶτε τήν κοινή ζωή, ἔτσι νά διατηρήσεις τήν ξενιτεία[6] σου ὅλες τίς ἡμέρες τῆς ζωῆς σου, γιά νά μήν ἀποκτήσεις παρρησία[7] μαζί του.

Ρωτάει τότε ὁ ἀββᾶς Μακάριος*: Καί τί κάνει ἡ παρρησία; Καί ὁ Γέροντας ἀποκρίνεται: Ἡ παρρησία μοιάζει μέ

ἀναφορά τοῦ μοναχοῦ νά περιορίζεται στά ἐντελῶς ἀπαραίτητα καί αὐτά μετά σεβασμοῦ χρησιμοποιούμενα, εἴτε πρόκειται γιά χρήση ἀντικειμένων εἴτε —πολύ περισσότερο— πρόκειται γιά τή χρήση τοῦ λόγου πρός τόν πλησίον.

Μέ τήν καλή της ἔννοια ἡ παρρησία συνίσταται στό εὐγενές καί ταπεινό θάρρος τῶν ἁπλῶν καί δικαίων ψυχῶν κατά τήν ἐπικοινωνία τους μέ τόν Θεό ἤ καί μέ σεβαστά πρόσωπα. Ἡ ἐπικοινωνία τῶν Προφητῶν μέ τόν Θεό στά ἱερά κείμενα ἀποτελεῖ ζωντανό παράδειγμα τῆς παρρησίας μέ τή θετική της ἔννοια.

γάλῳ, ὅς, ὅταν γένηται, πάντες φεύγουσιν ἀπὸ προσώπου αὐτοῦ, καὶ τῶν δένδρων τὸν καρπὸν διαφθείρει. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Οὕτω χαλεπή ἐστιν ἡ παρρησία; Καὶ εἶπεν ὁ ἀββᾶς Ἀγάθων· Οὐκ ἔστιν ἕτερον πάθος χαλεπώτερον τῆς παρρησίας· γεννήτρια γάρ ἐστι πάντων τῶν παθῶν. Πρέπει γὰρ τῷ ἐργάτῃ μὴ παρρησιάζεσθαι, κἂν μόνος ᾖ ἐν τῷ κελλίῳ. Οἶδα γὰρ ὅτι ἀδελφὸς ποιήσας ἔτη ἱκανὰ ἐν τῷ κελλίῳ οἰκῶν ἔχων τι κοιτωνάριον εἶπεν ὅτι· Μετέβην ἐκ τοῦ κελλίου μὴ γνοὺς αὐτὸ τὸ κοιτωνάριον, εἰ μὴ ἕτερός μοι εἶπεν. Ὁ τοιοῦτος ἐργάτης ἐστὶ πολεμιστής.

14. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀγάθωνος ὅτι ἀπῆλθόν τινες πρὸς αὐτὸν ἀκούσαντες ὅτι μεγάλην διάκρισιν ἔχει. Καὶ θέλοντες δοκιμάσαι εἰ ὀργίζεται, λέγουσιν αὐτῷ· Σὺ εἶ Ἀγάθων; Ἀκούομεν περὶ σοῦ ὅτι πόρνος εἶ καὶ ὑπερήφανος. Ὁ δὲ εἶπε· Ναί, οὕτως ἔχει. Καὶ λέγουσιν αὐτῷ· Σὺ εἶ Ἀγάθων ὁ φλύαρος καὶ κατάλαλος; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι. Λέγουσι πάλιν· Σὺ εἶ Ἀγάθων ὁ αἱρετικός; Καὶ ἀπεκρίθη· Οὔκ εἰμι αἱρετικός. Καὶ παρεκάλεσαν αὐτὸν λέγοντες· Εἰπὲ ἡμῖν· διὰ τί τοσαῦτα εἴπομέν σοι καὶ κατεδέξω, τὸν δὲ λόγον τοῦτον οὐκ ἐβάστασας; Λέγει αὐτοῖς· Τὰ πρῶτα ἐμαυτῷ ἐπιγράφω· ὄφελος γάρ ἐστι τῆς ψυχῆς μου· τὸ δὲ αἱρετικὸν χωρισμός ἐστιν ἀπὸ τοῦ Θεοῦ καὶ οὐ θέλω χωρισθῆναι ἀπὸ τοῦ Θεοῦ. Οἱ δὲ ἀκούσαντες ἐθαύμασαν τὴν διάκρισιν αὐτοῦ καὶ ἀπῆλθον οἰκοδομηθέντες.

15. Ἠρωτήθη ὁ αὐτὸς ἀββᾶς Ἀγάθων· Τί μεῖζον; Ὁ σω-

τόν μεγάλο καύσωνα, ὁ ὁποῖος μόλις ἐμφανισθεῖ ὅλοι ἐξαφανίζονται· καί τόν καρπό τῶν δένδρων ἀκόμη καταστρέφει. Τοῦ λέει ὁ ἀββᾶς Μακάριος: Εἶναι τόσο φοβερή ἡ παρρησία; Δέν ὑπάρχει —ἀπαντᾶ ὁ ἀββᾶς Ἀγάθων— ἄλλο πάθος πιό φοβερό ἀπό τήν παρρησία. Αὐτή εἶναι πού γεννᾶ ὅλα τά πάθη. Ὁ ἀγωνιστής μοναχός δέν πρέπει νά ἐπιτρέπει στόν ἑαυτό του τήν παρρησία, κι ὅταν ἀκόμη εἶναι μόνος μέσα στό κελί. Γνωρίζω —συνέχισε— ἕναν ἀδελφό ὁ ὁποῖος ἔμενε χρόνια πολλά στό κελί, ὅπου εἶχε ἕνα στενό κλινάρι. Καί εἶπε: Ἔφυγα ἀπό τό κελί χωρίς νά γνωρίζω ὅτι ὑπῆρχε αὐτό τό κλινάρι, ἐάν δέν μοῦ τό ἔλεγε κάποιος ἄλλος.

Αὐτός ὁ τόσο φιλότιμος μοναχός εἶναι καί καλός ἀγωνιστής.

14. Ἔλεγαν σχετικά μέ τόν ἀββᾶ Ἀγάθωνα* ὅτι πῆγαν καί τόν βρῆκαν κάποιοι, πού ἄκουσαν ὅτι ἔχει μεγάλη διάκριση. Θέλοντας λοιπόν νά τόν δοκιμάσουν ἐάν θυμώνει, τοῦ λένε: «Ἐσύ εἶσαι ὁ Ἀγάθων; Διαδίδεται γιά σένα ὅτι εἶσαι πόρνος καί ὑπερήφανος». Κι αὐτός εἶπε: «Ναί, ἔτσι εἶναι». Τόν ξαναρωτοῦν: «Ἐσύ εἶσαι ὁ Ἀγάθων ὁ φλύαρος καί κουτσομπόλης;» «Ἐγώ εἶμαι» ἀπαντᾶ. Καί συνεχίζουν: «Ἐσύ εἶσαι ὁ Ἀγάθων ὁ αἱρετικός;» Καί ἀποκρίθηκε: «Δέν εἶμαι αἱρετικός».

Τόν παρεκάλεσαν τότε: «Πές μας· σοῦ εἴπαμε τόσα καί τά δέχθηκες· γιατί αὐτόν τόν λόγο δέν τόν ἄντεξες;» Τούς εἶπε λοιπόν: «Τά πρῶτα τά ἀποδίδω στόν ἑαυτό μου, γιατί αὐτό εἶναι κέρδος γιά τήν ψυχή μου. Ἐνῶ ἡ αἵρεση εἶναι χωρισμός ἀπό τόν Θεό καί δέν θέλω νά ἀποχωρισθῶ τόν Θεό». Θαύμασαν τή διάκρισή του ἀκούγοντάς τα καί ἔφυγαν πολύ ὠφελημένοι.

15. Ρωτήθηκε ὁ ἴδιος ἀββᾶς Ἀγάθων: «Τί εἶναι σπουδαι-

ματικὸς κόπος ἢ ἡ φυλακὴ τῶν ἔνδον; Εἶπε δὲ ὁ Γέρων· Ἔοικε δένδρῳ ὁ ἄνθρωπος· ὁ τοίνυν σωματικὸς κόπος φύλλον ἐστίν, ἡ δὲ τῶν ἔνδον φυλακὴ ὁ καρπός ἐστιν. Ἐπειδὴ δὲ κατὰ τὸ γεγραμμένον πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται, φανερόν ἐστιν ὅτι διὰ τὸν καρπόν ἐστιν ἡμῖν ἡ σπουδὴ πᾶσα, τουτέστιν ἡ τοῦ νοὸς φυλακή. Χρεία δέ ἐστι καὶ τῆς ἐκ τῶν φύλλων σκέπης καὶ εὐκοσμίας, ἅτινά ἐστιν ὁ σωματικὸς κόπος.

16. Ἦν δὲ ὁ ἀββᾶς Ἀγάθων σοφὸς ἐν τῷ διανοητικῷ καὶ ἄοκνος ἐν τῷ σωματικῷ καὶ αὐτάρκης ἐν πᾶσιν, ἔν τε τῷ ἐργοχείρῳ καὶ τῇ τροφῇ καὶ τῇ ἐσθῆτι.

17. Αὐτὸς συνεδρίου γενομένου περὶ πράγματός τινος ἐν Σκήτει καὶ λαβόντος τύπον, ὕστερον ἐλθὼν εἶπεν αὐτοῖς· Οὐ καλῶς ἐτυπώσατε τὸ πρᾶγμα. Οἱ δὲ εἶπον πρὸς αὐτόν· Σὺ τίς εἶ, ὅτι ὅλως λαλεῖς; Ὁ δὲ εἶπεν αὐτοῖς· Υἱὸς ἀνθρώπου· γέγραπται γάρ· Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνετε, υἱοὶ τῶν ἀνθρώπων;

18. Ὁ αὐτὸς εἶπεν· Ἐὰν ὀργίλος νεκρὸν ἐγείρῃ, οὐκ ἔστι δεκτὸς παρὰ τῷ Θεῷ.

19. Εἶπεν ὁ ἀββᾶς Ἀγάθων· Ἀγαπητός μου τις ἐὰν ᾖ καθ' ὑπερβολήν, καὶ γνῶ ὅτι κατάγει με εἰς ἐλάττωμα, ἀποκόπτω αὐτοῦ.

20. Ἔλεγεν ὁ ἀββᾶς Δανιὴλ ὅτι, πρὶν ἔλθῃ ὁ ἀββᾶς Ἀρ-

8. Ματθ. 3, 10.

ότερο; Ὁ σωματικός κόπος ἤ ἡ ἐσωτερική ἐπαγρύπνηση;» Ὁ Γέροντας εἶπε: «Ὁ ἄνθρωπος μοιάζει μέ δένδρο· ὁ σωματικός κόπος εἶναι ἡ φυλλωσιά, ἐνῶ ἡ ἐπαγρύπνηση ἡ ἐσωτερική εἶναι ὁ καρπός. Καί ἐπειδή σύμφωνα μ' αὐτά πού λέει ἡ Γραφή, κάθε δένδρο πού δέν κάνει καλό καρπό τό κόβουν καί τό ρίχνουν στή φωτιά[8], εἶναι φανερό ὅτι ὅλη μας ἡ φροντίδα εἶναι νά ἀποκτήσουμε καρπό· μέ ἄλλα λόγια ἐσωτερική ἐπαγρύπνηση. Χρειάζεται ὅμως καί ἡ προστασία τῶν φύλλων καί ἡ ὀμορφιά τους· καί αὐτά εἶναι ὁ σωματικός κόπος».

16. Ὁ ἀββᾶς Ἀγάθων ἦταν σοφός στή σκέψη, ἀκούραστος στόν σωματικό κόπο καί αὐτάρκης σέ ὅλα: καί στό ἐργόχειρο καί στήν τροφή καί στήν ἐνδυμασία.

17. Αὐτός ὁ ἀββᾶς Ἀγάθων ὅταν ἔγινε συμβούλιο στή Σκήτη γιά κάποιο θέμα καί πῆραν κάποια ἀπόφαση, πῆγε μετά καί τούς εἶπε: «Δέν εἶναι σωστή ἡ ἀπόφασή σας». Καί οἱ ἄλλοι τοῦ εἶπαν: «Ποιός εἶσαι σύ καί μιλᾶς;» Καί τούς ἀποκρίθηκε: «Ἕνας ἄνθρωπος. Διότι ἡ Γραφή λέει: Εἶναι λοιπόν ἀλήθεια, ἄνθρωποι, ὅτι λέτε τό δίκαιο καί οἱ κρίσεις σας εἶναι εὐθεῖς[9];»

18. Ὁ ἴδιος εἶπε: «Ἕνας ὀργίλος καί νεκρό νά ἀναστήσει, δέν εἶναι δεκτός ἀπό τόν Θεό».

19. Εἶπε ὁ ἀββᾶς Ἀγάθων: «Ἐάν κάποιος μοῦ εἶναι ὑπερβολικά ἀγαπητός ἀλλά καταλάβω ὅτι μέ παρασύρει σέ κάποιο ἐλάττωμα, κόβω ἀμέσως τίς σχέσεις μου μαζί του».

20. Διηγοῦνταν ὁ ἀββᾶς Δανιήλ τό ἑξῆς: «Πρίν ἔλθει ὁ

9. Ψαλμ. 57, 1.

σένιος πρὸς τοὺς πατέρας μου καὶ αὐτὸς ἔμεινα μετὰ τοῦ ἀββᾶ Ἀγάθωνος. Ἠγάπα δὲ ὁ ἀββᾶς Ἀγάθων τὸν ἀββᾶν Ἀλέξανδρον, ὅτι ἀσκητὴς ἦν καὶ ἐπιεικής. Συνέβη δὲ ὅλους τοὺς μαθητὰς αὐτοῦ πλύνειν τὰ θρύα εἰς τὸν ποταμόν, καὶ ὁ ἀββᾶς Ἀλέξανδρος ἐπιεικῶς ἔπλυνεν. Οἱ δὲ λοιποὶ ἀδελφοὶ εἶπον τῷ Γέροντι· Ὁ ἀδελφὸς Ἀλέξανδρος οὐδὲν ποιεῖ. Καὶ θέλων αὐτοὺς θεραπεῦσαι εἶπεν αὐτῷ· Ἀδελφὲ Ἀλέξανδρε, καλῶς πλῦνον αὐτά, ὅτι λινάριά εἰσι. Καὶ ὡς ἤκουσεν ἐλυπήθη· καὶ μετὰ ταῦτα παρεκάλεσεν αὐτὸν ὁ Γέρων λέγων· Μὴ γὰρ οὐκ ᾔδειν ὅτι καλῶς ποιεῖς; Ἀλλὰ τοῦτο εἶπόν σοι ἐπὶ αὐτῶν, ἵνα θεραπεύσω αὐτῶν τὸν λογισμὸν ἐν τῇ σῇ ὑπακοῇ, ἀδελφέ.

21. Διηγήσατό τις τῶν Πατέρων ὅτι ἦν τις Γέρων πονικὸς εἰς τὰ Κελλία φορῶν ψίαθον καὶ ἀπελθὼν παρέβαλε τῷ ἀββᾷ Ἀμμωνᾷ. Ἰδὼν δὲ αὐτὸν ὁ Γέρων φοροῦντα τὸν ψίαθον λέγει αὐτῷ· Τοῦτο οὐδέν σε ὠφελεῖ.

Καὶ ἠρώτησεν αὐτὸν λέγων· Τρεῖς λογισμοὶ ὀχλοῦσί μοι· ἢ τὸ πελάζεσθαι ἐν τῇ ἐρήμῳ ἢ ἵνα ἀπέλθω ἐπὶ ξενιτείαν, ὅπου οὐδείς με γινώσκει, ἢ ἵνα ἐγκλείσω ἐμαυτὸν εἰς κελλίον καὶ μηδενὶ ἀπαντῶ διὰ δύο ἐσθίων. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀμμωνᾶς· Οὐδὲν τούτων συμφέρει σοι ποιῆσαι, ἀλλὰ μᾶλλον κάθου εἰς τὸ κελλίον σου καὶ ἔσθιε μικρὸν καθ' ἡμέραν καὶ ἔχε διὰ παντὸς τὸν λόγον τοῦ τελώνου ἐν τῇ καρδίᾳ σου καὶ δύνασαι σωθῆναι.

10. Θρύα: Εἶδος φυτῶν πού εὐδοκιμεῖ σέ βαλτώδεις τόπους καί τά ὁποῖα οἱ μοναχοί τά χρησιμοποιοῦσαν γιά πλέξιμο καλαθιῶν (κοινῶς: βοῦρλα).

11. Μέ ἀσκητική ἔννοια.

ἀββᾶς Ἀρσένιος κοντά στούς Πατέρες μου, ἔμενα καί ἐγώ μαζί μέ τόν ἀββᾶ Ἀγάθωνα. Ὁ ἀββᾶς Ἀγάθων λοιπόν ἀγαποῦσε τόν ἀββᾶ Ἀλέξανδρο, ἐπειδή ἦταν ἀσκητικός καί πράος. Συνέβη κάποια φορά ὅλοι οἱ μαθητές του νά πλένουν στόν ποταμό τά θρύα[10]. Καί ὁ ἀββᾶς Ἀλέξανδρος ἔπλενε ἤρεμα.

Οἱ ὑπόλοιποι ἀδελφοί εἶπαν στόν Γέροντα: Ὁ ἀδελφός Ἀλέξανδρος δέν κάνει τίποτε. Καί θέλοντας νά τούς ἀναπαύσει τόν λογισμό, τοῦ λέει: Ἀδελφέ Ἀλέξανδρε, πλύνε τα καλά, γιατί θά γίνουν λινάρια. Λυπήθηκε ὁ Ἀλέξανδρος σάν τ' ἄκουσε ἀλλά κατόπιν τόν παρηγόρησε ὁ Γέροντας μέ τοῦτα τά λόγια: Μήπως ἐγώ δέν ἤξερα ὅτι κάνεις καλά τή δουλειά σου; Ἀλλά σοῦ τό 'πα αὐτό χάριν τῶν ἀδελφῶν, γιά νά τούς θεραπεύσω τόν λογισμό μέ τή δική σου ὑπακοή, ἀδελφέ».

21. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες ὅτι ὑπῆρχε ἕνας Γέροντας ἐργατικός στά Κελλία πού φοροῦσε ψάθα. Ξεκίνησε λοιπόν καί πῆγε στόν ἀββᾶ Ἀμμωνᾶ*. Ὅταν τόν εἶδε ὁ Γέροντας ντυμένο μέ τό ψαθί, τοῦ λέει: «Αὐτό δέν σέ ὠφελεῖ καθόλου».

Ἐκεῖνος τοῦ ἔθεσε τό ἑξῆς θέμα: «Μέ ἐνοχλοῦν —εἶπε— τρεῖς λογισμοί· ἤ νά πάω στήν ἔρημο ἤ νά ξενιτευθῶ σέ τόπο πού κανείς δέν μέ ξέρει ἤ νά ζήσω ἔγκλειστος στό κελί καί νά μή συναντιέμαι μέ κανέναν, τρώγοντας κάθε δύο μέρες». Καί ὁ ἀββᾶς Ἀμμωνᾶς τοῦ ἀποκρίθηκε: «Τίποτε ἀπ' αὐτά δέν σοῦ συμφέρει νά κάνεις. Προτιμότερο εἶναι νά μείνεις στό κελί σου[11], νά τρῶς ἀπό λίγο κάθε μέρα καί νά ἔχεις πάντοτε τόν λόγο τοῦ τελώνη[12] στήν καρδιά σου. Ἔτσι μπορεῖς νά σωθεῖς».

12. Λουκ. 18, 13.

22. Παρέβαλόν ποτε τρεῖς Γέροντες τῷ ἀββᾷ Ἀχιλλᾷ καὶ ὁ εἷς ἐξ αὐτῶν εἶχε φήμην κακήν. Εἶπε δὲ αὐτῷ ὁ εἷς τῶν Γερόντων· Ἀββᾶ, ποίησόν μοι μίαν σαγήνην. Ὁ δὲ εἶπεν· Οὐ ποιῶ. Καὶ ὁ ἄλλος εἶπε· Ποίησον ἀγάπην, ἵνα ἔχωμέν σου μνημόσυνον εἰς τὴν μονήν, ποίησον ἡμῖν μίαν σαγήνην. Ὁ δὲ ἔφη· Οὐ σχολάζω. Λέγει αὐτῷ ὁ ἄλλος, ὁ ἔχων τὴν κακὴν φήμην· Ἐμοὶ ποίησον μίαν σαγήνην, ἵνα ἔχω ἐκ τῶν χειρῶν σου, ἀββᾶ. Ὁ δὲ ἀποκριθεὶς εὐθέως εἶπεν αὐτῷ· Ἐγώ σοι ποιήσω. Καὶ εἶπον αὐτῷ κατ' ἰδίαν οἱ δύο Γέροντες· Πῶς ἡμεῖς παρεκαλέσαμέν σε καὶ οὐκ ἠθέλησας ἡμῖν ποιῆσαι καὶ τούτῳ εἶπες· Ἐγώ σοι ποιήσω; Λέγει αὐτοῖς ὁ Γέρων· Εἶπον ὑμῖν οὐ ποιῶ, καὶ οὐκ ἐλυπήθητε, ὡς μὴ σχολάζοντός μου. Τούτῳ δὲ ἐὰν μὴ ποιήσω, ἐρεῖ ὅτι διὰ τὰς ἁμαρτίας μου ἀκούων ὁ Γέρων οὐκ ἠθέλησε ποιῆσαι καὶ εὐθὺς κόπτομεν τὸ σχοινίον. Διήγειρα οὖν αὐτοῦ τὴν ψυχήν, ἵνα μὴ τῇ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

23. Ἔλεγεν ὁ ἀββᾶς Ἀμμώης ὅτι· Παρέβαλον ἐγὼ καὶ ὁ ἀββᾶς Βιτίμιος τῷ ἀββᾷ Ἀχιλλᾷ καὶ ἠκούσαμεν αὐτοῦ μελετῶντος τὸν λόγον τοῦτον· Μὴ φοβοῦ, Ἰακώβ, καταβῆναι εἰς Αἴγυπτον. Καὶ ἐπὶ πολὺ ἔμεινε μελετῶν τὸν λόγον τοῦτον. Καὶ ὡς ἐκρούσαμεν, ἤνοιξεν ἡμῖν καὶ ἐπηρώτησε· Πόθεν ἐστέ; Καὶ φοβηθέντες εἰπεῖν ἐκ τῶν Κελλίων, εἴπομεν· Ἐκ τοῦ ὄρους τῆς Νιτρίας· καὶ λέγει· Τί ὑμῖν ποιήσω, ὅτι ἀπὸ μήκοθέν ἐστε. Καὶ εἰσήγαγεν ἡμᾶς καὶ εὕρομεν αὐτὸν ἐργασάμενον τὴν νύκτα πολλὴν σειρὰν καὶ ἠρωτήσαμεν αὐτὸν εἰπεῖν ἡμῖν λόγον καὶ εἶπεν· Ἐγὼ ἀπὸ ὀψὲ ἕως ἄρτι ἔπλεξα εἴκοσι ὀργυιὰς καὶ φύσει οὐ χρῄζω αὐτάς· ἀλλὰ μήποτε ἀγανακτήσῃ ὁ

13. Πρβλ. Β' Κορ. 2, 7.

22. Κάποτε τρεῖς Γέροντες πῆγαν στόν ἀββᾶ Ἀχιλλᾶ* καί ὁ ἕνας ἀπ' αὐτούς εἶχε κακή φήμη. Εἶπε λοιπόν ὁ ἕνας ἀπό τούς Γέροντες: «Ἀββᾶ, φτιάξε μου ἕνα δίχτυ». Κι ἐκεῖνος εἶπε: «Δέν μπορῶ νά τό κάνω». Καί ὁ δεύτερος εἶπε: «Κάνε ἀγάπη, γιά νά σέ θυμόμαστε στή μονή· κάνε μας ἕνα δίχτυ». «Δέν εὐκαιρῶ» τοῦ ἀπάντησε. Τοῦ λέει ὁ τρίτος, πού εἶχε τήν κακή φήμη: «Κάνε γιά μένα ἕνα δίχτυ, ἀββᾶ, νά τό ἔχω ἀπό τά χέρια σου». Κι ἐκεῖνος ἀμέσως ἀποκρίθηκε καί τοῦ εἶπε: «Ἐγώ θά σοῦ φτιάξω».

Λίγο ἀργότερα τόν ρώτησαν οἱ δύο Γέροντες ἰδιαίτερα: «Πῶς ἐμεῖς σέ παρακαλέσαμε καί δέν θέλησες νά μᾶς τό φτιάξεις, ἐνῶ σ' αὐτόν εἶπες, ἐγώ θά σοῦ τό φτιάξω»; Κι ὁ Γέροντας τούς ἐξήγησε: «Σ' ἐσᾶς εἶπα ὅτι δέν θά τό κάνω καί δέν κακοκαρδιστήκατε, γιατί δέν εὐκαιρῶ. Σ' αὐτόν ἐάν δέν τοῦ κάνω, θά πεῖ: Ἄκουσε ὁ Γέροντας ὅτι εἶμαι ἁμαρτωλός καί γι' αὐτό δέν θέλησε νά τό κάνει. Καί ἀμέσως κόβουμε τό σχοινί. Ἐνθάρρυνα λοιπόν τήν ψυχή του γιά νά μή τόν καταπιεῖ ἡ λύπη, ἔτσι ὅπως εἶναι[13]».

23. Ἔλεγε ὁ ἀββᾶς Ἀμμώης: «Πῆγα μαζί μέ τόν ἀββᾶ Βιτίμιο στόν ἀββᾶ Ἀχιλλᾶ καί τόν ἀκούσαμε πού μελετοῦσε τό ρητό: Μή φοβᾶσαι, Ἰακώβ, νά κατεβεῖς στήν Αἴγυπτο[14]. Καί ἔκανε πολλή ὥρα μελετώντας το. Ὅταν χτυπήσαμε, μᾶς ἄνοιξε καί ρώτησε: Ἀπό ποῦ εἶστε; Διστάσαμε νά ποῦμε ἀπό τά Κελλία καί εἴπαμε ἀπό τό ὄρος τῆς Νιτρίας. Τί νά σᾶς κάνω —εἶπε— ἀφοῦ εἶστε ἀπό μακριά; Καί μᾶς ἔβαλε μέσα καί εἴδαμε τή δουλειά πού ἔκανε τή νύκτα, μιά μεγάλη πλεξούδα. Τόν παρακαλέσαμε νά μᾶς πεῖ κάποιον λόγο, καί μᾶς εἶπε: Ἐγώ ἀπό βραδύς ὥς αὐτή τήν ὥρα ἔπλεξα εἴκοσι ὀργιές, καί φυσικά δέν τίς χρειάζομαι. Ἀλλά μή τυχόν ἀγα-

14. Γέν. 46, 3.

Θεὸς καὶ ἐγκαλέσῃ μοι λέγων· Διὰ τί δυνάμενος ἐργάσασθαι οὐκ εἰργάσω; Διὰ τοῦτο κοπιῶ καὶ ποιῶ ὅλην τὴν δύναμίν μου. Καὶ ὠφεληθέντες ἀνεχωρήσαμεν.

24. Ἔλεγον διὰ τὸν ἀββᾶν Ἀμμώην ὅτι ἐποίησε πεντήκοντα ἀρτάβας σίτου ποτὲ πρὸς χρείαν αὐτοῦ καὶ ἔβαλεν εἰς τὸν ἥλιον. Καὶ πρὶν ξηρανθῆναι αὐτὸν καλῶς, εἶδε πρᾶγμα ἐν τῷ τόπῳ μὴ ὠφελοῦν αὐτὸν καὶ λέγει τοῖς παιδαρίοις αὐτοῦ· Ἄγωμεν ἔνθεν. Οἱ δὲ σφόδρα ἐλυπήθησαν. Ἰδὼν δὲ αὐτοὺς λυπουμένους λέγει αὐτοῖς· Λυπεῖσθε διὰ τὸν ἄρτον; Ἀληθῶς οἶδα ἐγώ τινας φυγόντας καὶ ἐάσαντας κεκονιαμένας τὰς θυρίδας μετὰ βιβλίων μεμβρανῶν οὐδὲ κλείσαντας τὰς θυρίδας· ἀλλὰ ἀπῆλθον ἀνεωγμένας καταλιπόντες αὐτάς.

25. Ἔλεγον περί τινος Γέροντος ὅτι ἐποίησε πεντήκοντα ἔτη μήτε ἄρτον ἐσθίων μήτε ὕδωρ πίνων ταχύ. Καὶ ἔλεγεν ὅτι· Ἀπέκτεινα τὴν πορνείαν καὶ τὴν φιλαργυρίαν καὶ τὴν κενοδοξίαν.

Καὶ ἦλθε πρὸς αὐτὸν ὁ ἀββᾶς Ἀβραὰμ ἀκούσας τὸν λόγον, ὃν εἶπεν ὁ Γέρων, καὶ λέγει αὐτῷ· Σὺ εἶπας τὸν λόγον τοῦτον; Καὶ λέγει· Ναί. Καὶ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ἀβραάμ· Ἰδού, εἰσέρχῃ εἰς τὸ κελλίον σου καὶ εὑρίσκεις εἰς τὸ ψιάθιόν σου γυναῖκα κοιμωμένην· δύνασαι λογίσασθαι ὅτι οὐκ ἔστι γυνή; Λέγει· Οὔ· ἀλλὰ πολεμῶ τῷ λογισμῷ μὴ ἅψασθαι αὐτῆς. Λέγει οὖν ὁ ἀββᾶς Ἀβραάμ· Ἰδοὺ οὐκ ἀπέκτεινας, ἀλλὰ ζῇ τὸ πάθος, δέδεται δέ. Πάλιν, ὡς περιπατεῖς, βλέπεις λίθον καὶ ὄστρακον, μέσον δὲ τούτων χρυσόν· δύναται ἡ διάνοιά

15. Ἀρτάβη: μέτρο χωρητικότητος περσικό (ὑπάρχει καί αἰγυπτιακό) πού ἰσοῦται μ' ἕνα μέδιμνο, δηλαδή 45 κιλά περίπου.

νακτήσει ὁ Θεός ἐναντίον μου καί μέ κατακρίνει λέγοντας: Γιατί, ἐνῶ εἶχες δυνάμεις νά δουλέψεις κι ἄλλο, δέν δούλεψες; Γι' αὐτό κοπιάζω καί βάζω ὅλη μου τήν δύναμη. Μετά τόν λόγο αὐτόν ἀναχωρήσαμε ὠφελημένοι».

24. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀμμώη ὅτι κάποτε ἔκανε πενήντα ἀρτάβες[15] σιτάρι γιά τίς ἀνάγκες του καί τό ἔβαλε στόν ἥλιο. Ἀλλά πρίν ξηραθεῖ ἀκόμη καλά, παρατήρησε κάτι στόν τόπο αὐτόν πού δέν τόν ὠφελοῦσε. Καί εἶπε στούς ὑποτακτικούς του: «Ἄς φύγουμε ἀπό 'δῶ» κι ἐκεῖνοι πολύ λυπήθηκαν. Βλέποντάς τους λυπημένους, τούς λέει: «Λυπᾶσθε γιά τό ψωμί; Σᾶς διαβεβαιώνω ὅτι γνωρίζω ἐγώ κάποιους πού ἔφυγαν καί ἄφησαν ἀσβεστωμένες τίς κόγχες, γεμάτες βιβλία ἀπό μεμβράνη, καί οὔτε τίς κάλυψαν, ἀλλά ἔφυγαν ἐγκαταλείποντάς τες ἀνοικτές».

25. Διηγοῦνταν γιά κάποιον Γέροντα ὅτι πενήντα χρόνια πέρασε χωρίς νά τρώει ψωμί οὔτε ἔπινε συχνά νερό. Καί ἔλεγε: «Φόνευσα τήν πορνεία, τή φιλαργυρία καί τήν κενοδοξία».

Σάν ἄκουσε ὁ ἀββᾶς Ἀβραάμ τόν λόγο πού εἶπε ὁ Γέροντας, πῆγε, τόν βρῆκε καί τοῦ λέει: «Ἐσύ εἶπες τόν λόγο αὐτόν;» «Ναί» τοῦ ἀπαντᾶ. «Ἄς ποῦμε —συνεχίζει ὁ ἀββᾶς Ἀβραάμ— μπαίνεις στό κελί σου καί βρίσκεις πάνω στό ψαθί σου μιά γυναίκα νά κοιμᾶται· μπορεῖς νά πεῖς μέ τόν νοῦ σου ὅτι δέν εἶναι γυναίκα;» «Ὄχι —ἀποκρίνεται— ἀλλά πολεμῶ τόν λογισμό μου νά μήν τήν ἀγγίξω». Λέει τότε ὁ ἀββᾶς Ἀβραάμ: «Νά πού δέν τό φόνευσες τό πάθος· ζεῖ, ἀλλά εἶναι δεμένο.

Ἐπίσης, καθώς περπατᾶς βλέπεις λιθάρια καί ὄστρακα καί ἀνάμεσά τους χρυσάφι. Μπορεῖς νά πεῖς μέ τό μυαλό

σου λογίσασθαι τοῦτον ὥσπερ ταῦτα; Λέγει· Οὐχί· ἀλλὰ πολεμῶ τῷ λογισμῷ μὴ λαβεῖν αὐτόν. Καὶ λέγει ὁ Γέρων· Ἰδοὺ ζῇ, ἀλλὰ δέδεται. Λέγει πάλιν ὁ ἀββᾶς Ἀβραάμ· Ἰδοὺ ἀκούεις περὶ δύο ἀδελφῶν ὅτι ὁ μὲν εἷς ἀγαπᾷ σε, ὁ δὲ ἄλλος μισεῖ σε καὶ κακολογεῖ σε· ἐὰν οὖν ἔλθωσι πρὸς σέ, τοὺς δύο ἐξ ἴσου ἔχεις; Λέγει· Οὐχί· ἀλλὰ πολεμῶ τῷ λογισμῷ ἀγαθοποιῆσαι τῷ μισοῦντί με ὡς τῷ ἀγαπῶντί με. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀβραάμ· Ὥστε ζῶσι τὰ πάθη, μόνον δὲ δεσμοῦνται ὑπὸ τῶν ἁγίων.

26. Ἔλεγε περί τινος τῶν Πατέρων ὁ ἀββᾶς Ἀβραὰμ ὅτι γραφεὺς ἦν καὶ οὐκ ἤσθιεν ἄρτον. Ἦλθεν οὖν ἀδελφὸς παρακαλῶν αὐτὸν γράψαι αὐτῷ βιβλίον. Ὁ οὖν Γέρων ἔχων τὸν νοῦν αὐτοῦ εἰς τὴν θεωρίαν ἔγραψε παρὰ στίχον καὶ οὐκ ἔστιξεν. Ὁ δὲ ἀδελφὸς λαβὼν καὶ θέλων στίξαι εὗρε παρὰ λόγους καὶ λέγει τῷ Γέροντι· Παρὰ στίχον ἐστίν, ἀββᾶ. Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε, πρῶτον ποίησον τὰ γεγραμμένα καὶ τότε ἔρχῃ καὶ γράφω σοι καὶ τὴν λοιπάδα.

27. Ἠρώτησέ ποτε ὁ ἀββᾶς Ἀγάθων τὸν ἀββᾶν Ἀλώνιον· Πῶς θέλω κρατῆσαι τῆς γλώσσης μου, ἵνα μὴ λαλῇ ψεῦδος; Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀλώνιος· Ἐὰν μὴ ψεύδῃ, πολλὰς ἁμαρτίας μέλλεις ποιεῖν. Ὁ δὲ εἶπε· Πῶς; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἰδοὺ δύο ἄνθρωποι ἐπὶ σοῦ φόνον ἐποίησαν· καὶ ὁ εἷς ἔφυγεν εἰς τὸ κελλίον σου καὶ ἰδοὺ ὁ ἄρχων ζητεῖ αὐτὸν καὶ ἐρωτᾷ σε λέ-

16. Θεωρία: βλ. ὑποσημ. 1156 σελ. 162.

σου ὅτι καί τό χρυσάφι εἶναι ὅ,τι οἱ πέτρες καί τά ὄστρακα;» «Ὄχι —ἀποκρίνεται— ἀλλά πολεμῶ τόν λογισμό μου νά μήν τό πάρω». «Νά πού ζεῖ τό πάθος, ἀλλά εἶναι δεμένο» λέει ὁ ἀββᾶς Ἀβραάμ καί ἀναφέρει ἄλλο παράδειγμα: «Ἀκοῦς γιά δυό ἀδελφούς ὅτι ὁ ἕνας σέ ἀγαπᾶ καί ὁ ἄλλος σέ μισεῖ καί σέ κακολογεῖ. Ἐάν ἔρθουν καί σέ βροῦν, θά ἔχεις καί τούς δυό στήν ἴδια μοίρα;» Λέει: «Ὄχι, ἀλλά θά πολεμήσω μέ τόν λογισμό, ὥστε νά κάνω τό καλό σ' αὐτόν πού μέ μισεῖ, ὅπως καί σ' ἐκεῖνον πού μέ ἀγαπᾶ». «Ἑπομένως —τοῦ λέει ὁ ἀββᾶς Ἀβραάμ— τά πάθη ζοῦν, ἀλλά δένονται μέ δεσμά ἀπό τούς ἁγίους».

26. Ἔλεγε γιά κάποιον ἀπό τούς Πατέρες ὁ ἀββᾶς Ἀβραάμ ὅτι ἦταν ἀντιγραφέας καί δέν ἔτρωγε ψωμί. Πῆγε λοιπόν κάποιος ἀδελφός καί τόν παρακάλεσε νά τοῦ ἀντιγράψει ἕνα βιβλίο. Ὁ Γέροντας ὅμως καθώς ὁ νοῦς του ἦταν δοσμένος σέ πνευματική θεωρία[16], ἔγραψε τό κείμενο παραλείποντας σειρές καί δέν ἔβαλε καί στίξη. Ὁ ἀδελφός πού ἔκανε τήν παραγγελία, τό πῆρε καί θέλοντας νά βάλει στίξη, εἶδε ὅτι ἔλειπαν φράσεις ἀπ' τό κείμενο καί εἶπε στόν Γέροντα: «Ἀββᾶ, λείπουν σειρές». Καί ὁ Γέροντας τοῦ λέει: «Πήγαινε, ἐφάρμοσε πρῶτα αὐτά πού γράφθηκαν καί τότε ἔλα καί σοῦ γράφω καί τά ὑπόλοιπα».

27. Κάποτε ρώτησε ὁ ἀββᾶς Ἀγάθων τόν ἀββᾶ Ἀλώνιο*: «Πῶς θά μπορέσω νά κυριαρχήσω στή γλῶσσα μου, ὥστε νά μήν πεῖ ποτέ τό ψέμα;» Καί ὁ ἀββᾶς Ἀλώνιος ἀπαντᾶ: «Ἐάν βάλεις τόν ὅρο νά μήν πεῖς ψέμα, θά κινδυνεύσεις πολλές ἁμαρτίες νά κάνεις». «Πῶς;» ρωτάει ἐκεῖνος. Καί ὁ Γέροντας τοῦ λέει: «Ἄς ὑποθέσουμε, δυό ἄνθρωποι ἔκαναν φόνο μπροστά σου· καί ὁ ἕνας κατέφυγε στό κελί σου. Καί, νά, ὁ ἄρχοντας τόν ἀναζητεῖ καί σέ ρωτάει: Εἶδες νά γίνεται κανένας

γων· Ἐπὶ σοῦ φόνος γέγονεν; Ἐὰν μὴ ψεύσῃ, παραδίδως τὸν ἄνθρωπον εἰς θάνατον. Μᾶλλον ἄφες αὐτὴν ἐνώπιον τοῦ Θεοῦ χωρὶς δεσμῶν. Αὐτὸς γὰρ οἶδε τὰ πάντα.

28. Ἔλεγον περί τινος Γέροντος εἰς τὴν Θηβαΐδα Ἀντιανοῦ ὅτι πολλὰς πολιτείας ἐποίησεν ἐν τῇ νεότητι αὐτοῦ καὶ εἰς τὸ γῆρας αὐτοῦ ἠσθένησε καὶ ἐτυφλώθη. Καὶ πολλὴν παράκλησιν οἱ ἀδελφοὶ διὰ τὴν ἀσθένειαν αὐτοῦ ἐποίουν καὶ ἔβαλλον εἰς τὸ στόμα αὐτοῦ. Καὶ ἠρώτησαν τὸν ἀββᾶν Ἀϊὼ περὶ τούτου, τί γίνεται διὰ τὴν πολλὴν παράκλησιν ταύτην. Καὶ λέγει αὐτοῖς· Λέγω ὑμῖν ὅτι, ἐὰν ἡ καρδία αὐτοῦ θέλῃ καὶ συγκαταβαίνῃ ἡδέως, ἐὰν φάγῃ ἓν φοινίκιν, ὁ Θεὸς αἴρει αὐτὸ ἐκ τῶν κόπων αὐτοῦ· ἐὰν δὲ μὴ συγκαταβαίνῃ, ἀλλὰ μὴ θέλων λαμβάνῃ, ὁ Θεὸς τηρεῖ τὸν κόπον αὐτοῦ σῶον, ὅτι μὴ θέλων βιάζεται· κἀκεῖνοι τὸν μισθὸν ἔχουσι.

29. Κατελείφθη ποτὲ τῷ ἀββᾷ Γελασίῳ παρὰ Γέροντός τινος, καὶ αὐτοῦ περὶ τὴν Νικόπολιν τὴν οἴκησιν ἔχοντος, κελλίον καὶ τὸ περὶ αὐτὸ χωρίον. Γεωργὸς δέ τις Βακάτου τοῦ τότε πρωτεύοντος τῆς Νικοπόλεως τῆς κατὰ Παλαιστίνην, συγγενὴς ὢν τοῦ κοιμηθέντος Γέροντος, προσελθὼν τῷ αὐτῷ Βακάτῃ ἠξίου λαβεῖν τὸ αὐτὸ χωρίον ὡς δῆθεν ἐκ τοῦ νόμου εἰς αὐτὸν ἐλθεῖν ὀφείλοντος. Ὁ δέ (Βακάτης), δραγάτης γὰρ ἦν αὐτοῦ, χειρὶ τὸ χωρίον λαβεῖν ἐπειρᾶτο παρὰ τοῦ ἀββᾶ Γε-

17. Θηβαΐδα: βλ. ὑποσημ. 5 σελ. 24.

φόνος; Ἐάν δέν χρησιμοποιήσεις ψέμα, παραδίνεις τόν ἄνθρωπο σέ θάνατο. Προτιμότερο εἶναι νά ἀφήσεις τή γλώσσα σου χωρίς δέσμευση ἐνώπιον τοῦ Θεοῦ. Γιατί Αὐτός γνωρίζει τά πάντα».

28. Ἔλεγαν γιά κάποιον Γέροντα στή Θηβαΐδα[17], τόν Ἀντιανό, ὅτι πολλές καί διάφορες ἀσκήσεις ἔκανε στή νεότητά του καί στά γηρατειά του ἀρρώστησε καί τυφλώθηκε. Οἱ ἀδελφοί ἐξαιτίας τῆς ἀρρώστιας του τοῦ 'καναν πολλά φαγητά καί τόν τάϊζαν.

Ρώτησαν λοιπόν τόν ἀββᾶ Ἀϊώ, ποιό θά εἶναι τό ἀποτέλεσμα γι' αὐτόν καθώς τοῦ προσφέρουν αὐτή τήν παρηγοριά μέ τά πολλά φαγητά; Καί τούς λέει: «Ἐγώ πιστεύω ὅτι καί ἕνα χουρμά νά φάει, γιατί τό ζητάει ἡ καρδιά του καί συγκαταβαίνει μέ εὐχαρίστηση, τό ἀφαιρεῖ ὁ Θεός αὐτό ἀπό τούς κόπους του. Ἄν ὅμως δέν συγκατατίθεται, ἀλλά τό παίρνει χωρίς νά τό θέλει, ὁ Θεός διατηρεῖ τόν κόπο του ἀκέραιο, γιατί, ἐνῶ δέν τό θέλει, ἀναγκάζεται. Καί ἐκεῖνοι θά πάρουν τόν μισθό τους».

29. Κάποτε στόν ἀββᾶ Γελάσιο* ἄφησε κληρονομιά ἕνας Γέροντας, πού κατοικοῦσε κι αὐτός κοντά στή Νικόπολη, τό κελί του καί τό γύρω ἀπ' αὐτό κτῆμα. Ἕνας γεωργός τοῦ τότε προύχοντα τῆς Νικόπολης τῆς Παλαιστίνης[18], τοῦ Βακάτη, συγγενής τοῦ κεκοιμημένου Γέροντα, παρουσιάσθηκε στόν ἴδιο τόν Βακάτη καί πρόβαλε τήν ἀξίωση νά πάρει τό παραπάνω κτῆμα, γιατί τάχα ἔπρεπε σύμφωνα μέ τόν νόμο νά περιέλθει σ' αὐτόν. Καί ὁ Βακάτης, καθώς τόν εἶχε ἐπιστάτη στά κτήματά του, ἐπεχείρησε διά τῆς βίας νά πάρει τό κτῆμα ἀπό τόν ἀββᾶ Γελάσιο. Ἀλλά ὁ ἀββᾶς Γελάσιος,

18. Νικόπολις Παλαιστίνης: Παλαιά Ἐμμαούς.

λασίου. Μὴ θέλων δὲ κελλίον μοναχικὸν παραδοῦναι κοσμικῷ ὁ αὐτὸς ἀββᾶς Γελάσιος οὐ παρεχώρησεν.

Παρατηρησάμενος δὲ ὁ Βακάτης τὰ ζῶα τοῦ ἀββᾶ Γελασίου μεταφέροντα τὰς ἐλαίας τοῦ καταλειφθέντος αὐτῷ χωρίου, βιαίως ἀποσπάσας αὐτὰ εἰς τὸν οἶκον αὐτοῦ τὰς ἐλαίας λαβών, μόλις μετὰ ἀτιμίας ἀπέλυσε τὰ ζῶα μετὰ τῶν κτηνιτῶν αὐτῶν. Ὁ δὲ μακάριος Γέρων τοῦ μὲν καρποῦ οὐδ' ὅλως ἀντεποιήθη, τῆς δὲ δεσποτείας τοῦ χωρίου οὐ παρεχώρησε διὰ τὴν εἰρημένην αἰτίαν.

Ὑφ' ὧν ἐξ αὐθαδείας ὁ Βακάτης, χρειῶν καὶ ἄλλων ἑλκουσῶν αὐτόν, φιλόδικος γὰρ ἦν, ἐπὶ Κωνσταντινούπολιν ὁρμᾷ, πεζῇ τὴν ὁδοιπορίαν ποιούμενος.

Γενόμενος δὲ κατὰ τὴν Ἀντιόχειαν, τότε ὡς μεγάλου φωστῆρος λάμποντος τοῦ ἁγίου Συμεών, τὰ κατ' αὐτὸν ἀκούσας, ὑπὲρ ἄνθρωπον γὰρ ἦν, ἐπεθύμησεν ὡς Χριστιανὸς τὸν ἅγιον θεάσασθαι. Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ στύλου ὁ ἅγιος Συμεὼν εὐθὺς εἰσελθόντα εἰς τὸ μοναστήριον ἠρώτησε· Πόθεν εἶ καὶ ποῦ πορεύῃ; Ὁ δέ φησιν· Ἀπὸ Παλαιστίνης εἰμὶ καὶ εἰς Κωνσταντινούπολιν ὑπάγω. Ὁ δὲ πρὸς αὐτόν· Καὶ τίνος χάριν; Λέγει αὐτῷ ὁ Βακάτης· Διὰ χρείας πολλὰς καὶ ἐλπίζω δι' εὐχῶν τῆς ἁγιωσύνης σου ἐπαναλῦσαι καὶ προσκυνῆσαι τὰ ἅγιά σου ἴχνη. Καὶ λέγει αὐτῷ ὁ ἅγιος Συμεών· Οὐ θέλεις, ἀνέλπιστε τῶν ἀνθρώπων, εἰπεῖν ὅτι κατὰ τοῦ ἀνθρώπου τοῦ Θεοῦ

19. Πεζῇ: (ἐνν. ὁδῷ) δηλαδή διά ξηρᾶς καί ὄχι ἀπαραιτήτως διά τῶν ἰδίων ποδῶν. Πιθανότατα στήν περίπτωση αὐτή νά ἔγινε τό ταξείδι μέ λεκτίκιο, εἶδος φορητοῦ θρόνου, τό ὁποῖο χρησιμοποιοῦνταν ἀπό ὑψηλά ἱστάμενα πρόσωπα καί τό μετέφεραν δοῦλοι καί ὄχι ζῶα. Ἄλλωστε στή συνέχεια τῆς διηγήσεως, κατά τήν ἐπιστροφή του, ἀναφέρεται χρήση λεκτικίου. Βλ. *Μ. Γεροντικόν* τόμ. Β' σελ. 232 ὑποσημ. 81.

20. Πρόκειται γιά τόν ἅγιο Συμεών τόν Στυλίτη, μεγάλο ἀσκητή καί θαυματουργό ἅγιο. Καταγόμενος ἀπό τήν πόλη Σισάν ἀσκήτευσε στήν περιοχή αὐτή, στά ὅρια Συρίας καί Κιλικίας, κατά τόν 5ο αἰ. Ἡ μνήμη του ἑορτάζεται τήν 1η Σεπτεμβρίου. Τόν βίο του καί τά θαύματά του μᾶς τά διασώζει ὁ Θεοδώρητος Κύρου στή *Φιλόθεο ἱστορία* του (PG 82, 1464 κ.ἑ.).

μή θέλοντας νά παραδώσει σέ κοσμικό ἕνα κελί πού ἀνῆκε σέ μοναχό, δέν τό παραχώρησε.

Παραφύλαξε λοιπόν ὁ Βακάτης καί βλέποντας τά ζῶα τοῦ ἀββᾶ Γελασίου νά μεταφέρουν τίς ἐλιές ἀπό τό χωράφι, πού τοῦ εἶχε παραχωρηθεῖ ἀπό τόν κεκοιμημένο, τά ἀπέσπασε διά τῆς βίας καί τά ὁδήγησε στό σπίτι του, ὅπου πῆρε τίς ἐλιές, καί, ἀφοῦ κακοφέρθηκε στούς ἀγωγιάτες, μετά δυσκολίας τούς ἄφησε νά φύγουν μέ τά ζῶα. Καί ὁ μακάριος Γέροντας τόν καρπό δέν τόν διεκδίκησε καθόλου, ἀλλά τήν κυριότητα τοῦ χωραφιοῦ δέν τήν παραχώρησε γιά τόν λόγο πού ἀναφέραμε.

Μετά ἀπ' αὐτά ὁ Βακάτης παρακινούμενος ἀπό τήν ἀλαζονεία του —ἄν καί τόν εἵλκυαν καί ἄλλοι λόγοι, γιατί ἦταν φιλόδικος— ξεκινᾶ ἀποφασιστικός νά πάει στήν Κωνσταντινούπολη πεζῇ[19], (γιά νά κανονίσει τήν ὑπόθεση τοῦ κτήματος).

Ὅταν ἔφθασε στήν Ἀντιόχεια —ἦταν τότε πού σάν μεγάλο φωτεινό ἀστέρι ἔλαμπε στόν τόπο αὐτό ὁ ἅγιος Συμεών[20]— ἄκουσε τά σχετικά μ' αὐτόν, τά ὁποῖα βέβαια ἦταν ὑπεράνθρωπα, καί θέλησε ὡς Χριστιανός νά δεῖ τόν ἅγιο. Ὅταν λοιπόν τόν εἶδε πάνω ἀπό τόν στύλο ὁ ἅγιος Συμεών νά μπαίνει στό μοναστήρι, τόν ρώτησε ἀμέσως: «Ἀπό ποῦ ἔρχεσαι καί ποῦ πηγαίνεις;» Κι ἐκεῖνος εἶπε: «Ἀπό τήν Παλαιστίνη εἶμαι καί πάω στήν Κωνσταντινούπολη». «Καί γιά ποιόν λόγο;» συνέχισε ὁ ἅγιος. «Γιά πολλές ὑποθέσεις —ἀπάντησε— καί ἐλπίζω μέ τίς εὐχές τῆς ἁγιοσύνης σου νά ἐπιστρέψω καί νά προσκυνήσω τά ἅγια πόδια σου». Καί ὁ ἅγιος Συμεών τοῦ λέει: «Ἄνθρωπέ μου, πού ἔχει χαθεῖ γιά σένα κάθε ἐλπίδα, δέν θέλεις νά ὁμολογήσεις: πηγαίνω ἐναν-



Ἀπό τή ζωή τοῦ ἁγίου Συμεὼν τοῦ Στυλίτη

ἀνέρχομαι· ἀλλ' οὐκ εὔοδά σοί ἐστιν, οὔτε ὄψῃ ἔτι τὸν οἶκόν σου. Ἐὰν οὖν πείθῃ τῇ συμβουλίᾳ μου, ἐντεῦθεν ἤδη πρὸς αὐτὸν ὁρμᾷς καὶ μετανοεῖς αὐτῷ, εἴ γε ἐν τοῖς ζῶσιν ὢν καταλάβῃς τὸν τόπον. Εὐθέως οὖν ληφθεὶς ὑπὸ πυρετοῦ καὶ ὑπὸ τῶν συνόντων ἐν λεκτικίῳ βληθεὶς ἠπείγετο κατὰ τὸν λόγον τοῦ ἁγίου Συμεὼν καταλαβεῖν τὴν χώραν καὶ μετανοῆσαι τῷ ἀββᾷ Γελασίῳ. Ἀλλὰ φθάσας τὴν Βηρυτὸν ἐτελεύτησε, μὴ θεασάμενος τὸν οἶκον αὐτοῦ κατὰ τὴν προφητείαν τοῦ ἁγίου. Ταῦτα ὁ υἱός, Βακάτης καὶ αὐτὸς λεγόμενος, μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ πολλοῖς καὶ ἀξιοπίστοις ἀνδράσι διηγήσατο.



Μικρογραφίες ἀπό τόν κώδικα 14 τῆς Ἱ. Μ. Ἐσφιγμένου (11ος αἰ.)

τίον τοῦ ἀνθρώπου τοῦ Θεοῦ! Δέν θά εὐοδωθεῖ λοιπόν τό ταξίδι σου καί δέν θά ξαναδεῖς τό σπίτι σου. Ἄν θέλεις νά μ' ἀκούσεις, τρέξε αὐτή τή στιγμή πίσω σ' αὐτόν καί βάλε του μετάνοια, ἄν βέβαια προλάβεις ζωντανός νά φθάσεις». Ἀλλά ἀμέσως τόν ἔπιασε πυρετός· τόν ἔβαλαν οἱ σύντροφοί του σέ λεκτίκιο (ἀρχοντικό φορεῖο) καί βιαζόταν σύμφωνα μ' αὐτά πού εἶπε ὁ ἅγιος Συμεών νά γυρίσει στόν τόπο του καί νά βάλει μετάνοια στόν ἀββᾶ Γελάσιο. Ἀλλά μόλις ἔφθασε στή Βηρυτό, πέθανε, χωρίς ν' ἀντικρύσει τό σπίτι του, ὅπως προφήτευσε ὁ ἅγιος.

Αὐτά ὁ γιός του, πού κι αὐτός ὀνομαζόταν Βακάτης, μετά τόν θάνατο τοῦ πατέρα του τά διηγήθηκε σέ πολλούς ἀξιόπιστους ἀνθρώπους.

30. Ἔλεγον περὶ τοῦ ἀββᾶ Γελασίου ὅτι πολλάκις ἐνοχληθεὶς ὑπὸ τῶν λογισμῶν ἀπελθεῖν εἰς τὴν ἔρημον, μιᾷ τῶν ἡμερῶν λέγει τῷ μαθητῇ αὐτοῦ· Ποίησον ἀγάπην, ἀδελφέ, καὶ εἴ τι δ' ἂν ποιήσω, βάστασον καὶ μηδὲν λαλήσεις μοι τὴν ἑβδομάδα ταύτην. Καὶ λαβὼν βαΐνην ῥάβδον ἤρξατο περιπατεῖν εἰς τὸ αὐλίδιον αὐτοῦ καὶ κοπιάσας ἐκάθισε μικρὸν καὶ πάλιν ἀναστὰς περιεπάτει. Γενομένης δὲ ἑσπέρας λέγει τῷ λογισμῷ· Ὁ εἰς τὴν ἔρημον περιπατῶν ἄρτον οὐκ ἐσθίει ἀλλὰ βοτάνας· σὺ δὲ διὰ τὴν ἀσθένειάν σου φάγε λεπτολάχανα. Καὶ ποιήσας οὕτω πάλιν λέγει τῷ λογισμῷ· Ὁ εἰς τὴν ἔρημον ὑπὸ στέγην οὐ κοιμᾶται ἀλλ' ὑπὸ τὸν ἀέρα. Καὶ σὺ οὖν ποίησον οὕτω· καὶ κλίνας ἑαυτὸν κοιμᾶται εἰς τὸ αὐλίδιον. Ποιήσας οὖν τρεῖς ἡμέρας καθ' ἑσπέραν ἐσθίων μικρὰς σέρρεις, τὰς δὲ ἡμέρας περιπατῶν ἐν τῷ μοναστηρίῳ καὶ τὰς νύκτας κοιμώμενος ὑπὸ τὸν ἀέρα, ἐκοπίασε καὶ ἐπιτιμήσας τῷ λογισμῷ τῷ ὀχλοῦντι αὐτῷ ἤλεγχεν αὐτὸν λέγων· Εἰ οὐ δύνασαι ποιῆσαι τὰ ἔργα τῆς ἐρήμου, κάθου εἰς τὸ κελλίον σου μεθ' ὑπομονῆς κλαίων τὰς ἁμαρτίας σου καὶ μὴ πελάζου· πανταχοῦ γὰρ ὁ τοῦ Θεοῦ ὀφθαλμὸς βλέπει τὰ ἔργα τῶν ἀνθρώπων καὶ οὐδεὶς αὐτοῦ λανθάνει καὶ συνιεῖ τοὺς ἀγαθὸν ἐργαζομένους.

31. Ἔλεγον περὶ τοῦ ἀββᾶ Δανιὴλ ὅτι, ὅταν ἦλθον οἱ βάρβαροι εἰς Σκῆτιν, ἔφυγον οἱ Πατέρες. Καὶ λέγει ὁ Γέρων· Εἰ μὴ φροντίζει μου ὁ Θεός, ἵνα τί καὶ κάθημαι ὧδε; Καὶ

30. Ἔλεγαν γιά τόν ἀββᾶ Γελάσιο[21] ὅτι πολλές φορές τόν ἐνόχλησαν λογισμοί νά φύγει στήν ἔρημο. Κάποια μέρα λοιπόν λέει στόν ὑποτακτικό του: «Κάνε ἀγάπη, ἀδελφέ, καί ὅ,τι τυχόν κάνω, ὑπόμεινέ το καί μή μοῦ μιλήσεις τήν ἑβδομάδα αὐτή». Πῆρε κατόπιν ἕνα ραβδί φοινικιᾶς καί ἄρχισε νά περπατάει στή μικρή του αὐλή. Κάποια στιγμή κουράσθηκε καί κάθισε λίγο, ἀλλά πάλι σηκώθηκε καί ἄρχισε νά περπατάει.

Ὅταν ἄρχισε νά βραδιάζει, λέει στόν ἑαυτό του· «Αὐτός πού κάνει δρόμο στήν ἔρημο, ψωμί δέν τρώει· τρώει ἄγρια χόρτα. Ἐσύ λόγω τῆς ἀδυναμίας σου φάγε ἀπό τά χορταρικά τοῦ κήπου». Ἔτσι ἔκανε καί κατόπιν εἶπε: «Αὐτός πού μένει στήν ἔρημο, δέν κοιμᾶται κάτω ἀπό στέγη ἀλλά στό ὕπαιθρο. Καί σύ λοιπόν κάνε τό ἴδιο».

Ἔγειρε καί κοιμήθηκε στήν αὐλή. Ἔκανε λοιπόν ἔτσι τρεῖς μέρες· τήν ἡμέρα περπατοῦσε στόν χῶρο τοῦ ἀσκητηρίου, τό ἀπόγευμα ἔτρωγε λίγες πικραλίδες καί τήν νύκτα κοιμόταν στό ὕπαιθρο. Ἀπέκαμε ὅμως ἀπό τόν κόπο καί ἐπέπληξε τόν λογισμό πού τόν ἐνοχλοῦσε καί εἶπε ἐλέγχοντας τόν ἑαυτό του: «Ἐάν δέν μπορεῖς νά κάνεις αὐτά πού πρέπει νά κάνουν οἱ ἐρημίτες, κάτσε στό κελί σου ὑπομονετικά κλαίοντας τίς ἁμαρτίες σου καί μήν περιπλανιέσαι. Γιατί τό βλέμμα τοῦ Θεοῦ βλέπει παντοῦ τά ἔργα τῶν ἀνθρώπων καί κανείς δέν τοῦ ξεφεύγει· γνωρίζει καλά αὐτούς πού ἐργάζονται τό καλό».

31. Ἔλεγαν σχετικά μέ τόν ἀββᾶ Δανιήλ ὅτι, ὅταν ἦλθαν οἱ βάρβαροι στή Σκήτη, οἱ Πατέρες ἔφυγαν καί ὁ Γέροντας εἶπε: «Ἐάν δέν ἔχει τή φροντίδα μου ὁ Θεός, γιά ποιόν λόγο

21. Τό ἀπόφθεγμα αὐτό ἀναφέρεται καί στό Ζ33 τοῦ Β' τόμου τοῦ *Μ. Γεροντικοῦ* ἀλλά ἐκεῖ ἀποδίδεται στόν ἀββᾶ Λογγίνο.

παρῆλθε διὰ τῶν βαρβάρων καὶ οὐκ εἶδον αὐτόν. Τότε λέγει πρὸς ἑαυτόν· Ἰδοὺ ἐφρόντισέ μου ὁ Θεὸς καὶ οὐκ ἀπέθανον· ποίησον καὶ σὺ τὸ ἀνθρώπινον καὶ φύγε ὡς οἱ Πατέρες.

32. Ἔλεγε πάλιν ὁ ἀββᾶς Δανιὴλ ὅτι, ὅσον τὸ σῶμα θάλλει, τοσοῦτον ἡ ψυχὴ λεπτύνεται· καὶ ὅσον τὸ σῶμα λεπτύνεται, τοσοῦτον ἡ ψυχὴ θάλλει.

33. Διηγήσατο ὁ ἀββᾶς Δανιὴλ ὅτι, ὅτε ἦν ἐν Σκήτει ὁ ἀββᾶς Ἀρσένιος, ἦν τις ἐκεῖ μοναχὸς κλέπτων τὰ σκεύη τῶν Γερόντων. Καὶ ἔλαβεν αὐτὸν ὁ ἀββᾶς Ἀρσένιος εἰς τὴν κέλλαν αὐτοῦ, θέλων αὐτὸν κερδῆσαι καὶ τοὺς Γέροντας ἀναπαῦσαι καὶ λέγει αὐτῷ· Εἴ τι ἂν θέλῃς, ἐγώ σοι παρέχω· μόνον μὴ κλέψῃς. Καὶ ἔδωκεν αὐτῷ χρυσίον καὶ κέρμα καὶ ἱμάτια καὶ πᾶσαν τὴν χρείαν αὐτοῦ. Ὁ δὲ ἀπελθὼν πάλιν ἔκλεπτεν. Οἱ οὖν Γέροντες, ἰδόντες ὅτι οὐκ ἐπαύσατο, ἐδίωξαν αὐτὸν λέγοντες ὅτι· Ἐὰν εὑρεθῇ ἀδελφὸς ἔχων ἀσθενείας ἐλαττώματα, χρὴ βαστάζειν αὐτόν· ἐὰν δὲ κλέπτῃ, διώξατε αὐτόν, ὅτι καὶ τὴν ψυχὴν αὐτοῦ ζημιοῖ καὶ ὅλους τοὺς ἐν τῷ τόπῳ ταράττει.

34. Ἠρωτήθη ὁ μακάριος Ἐπιφάνιος· Διὰ τί δέκα μὲν εἰσιν αἱ νομικαὶ ἐντολαί, ἐννέα δὲ οἱ μακαρισμοί; Καὶ ἔφη· Ἰσάριθμος τῶν αἰγυπτιακῶν μαστίγων ἡ δεκάλογος· τριπλῆς δὲ Τριάδος εἰκὼν ἡ τῶν μακαρισμῶν ἀρίθμησις.

35. Ἠρωτήθη ὁ αὐτὸς εἰ ἀρκεῖ εἷς δίκαιος δυσωπῆσαι

22. Ἔξ. 20, 1-17. 23. Ματθ. 5, 3-12.

κάθομαι ἐδῶ;» Πέρασε λοιπόν ἀνάμεσα ἀπό τούς βαρβάρους καί δέν τόν εἶδαν. Τότε εἶπε στόν ἑαυτό του: «Νά πού ὁ Θεός φρόντισε γιά μένα καί δέν πέθανα. Κάνε καί σύ τό ἀνθρώπινο χρέος καί φύγε ὅπως ἔφυγαν οἱ Πατέρες».

32. Εἶπε ἐπίσης ὁ ἀββᾶς Δανιήλ: «Ὅσο ἀκμάζει τό σῶμα, τόσο ἡ ψυχή ἀδυνατίζει· καί ὅσο τό σῶμα ἀδυνατίζει, τόσο ἡ ψυχή ἀκμάζει».

33. Διηγήθηκε ὁ ἀββᾶς Δανιήλ ὅτι ὅταν ὁ ἀββᾶς Ἀρσένιος ἦταν στή Σκήτη, ὑπῆρχε ἐκεῖ κάποιος μοναχός πού ἔκλεβε τά σκεύη τῶν Γερόντων. Θέλοντας ὁ ἀββᾶς Ἀρσένιος καί αὐτόν νά κερδίσει καί τούς Γέροντες νά ἀναπαύσει, τόν παίρνει στό κελί του καί τοῦ λέει: «Ὅ,τι θελήσεις ἐγώ θά σοῦ τό δίνω, μόνο νά μήν κλέψεις». Τοῦ 'δωσε μάλιστα χρυσάφι καί χρήματα καί ροῦχα καί ὅ,τι ἄλλο χρειαζούμενο. Αὐτός ὅμως ἔφυγε καί συνέχισε νά κλέβει.

Οἱ Γέροντες λοιπόν βλέποντας ὅτι δέν ἔπαυσε νά κλέβει, τόν ἔδιωξαν καταλήγοντας στήν ἑξῆς ἀρχή: «Ἐάν ἕνας ἀδελφός ἔχει ἐλαττώματα ἀπό ἀνθρώπινη ἀδυναμία, πρέπει νά τόν ὑπομένουμε. Ἄν ὅμως κλέβει, διῶξτε τον, γιατί καί τήν ψυχή του βλάπτει καί ταράζει ὅλους, ὅσοι μένουν στόν τόπο ἐκεῖνο».

34. Ρώτησαν τόν μακάριο Ἐπιφάνιο*: «Γιατί οἱ ἐντολές τοῦ Μωσαϊκοῦ Νόμου εἶναι δέκα[22], ἐνῶ οἱ μακαρισμοί εἶναι ἐννιά[23];» Καί ἀποκρίθηκε: «Ὁ δεκάλογος τοῦ Νόμου ἔχει τόν ἴδιο ἀριθμό μέ τίς πληγές τῶν Αἰγυπτίων[24]· ἐνῶ ὁ ἀριθμός τῶν μακαρισμῶν συμβολίζει τριπλά τήν ἁγία Τριάδα».

35. Ρωτήθηκε ὁ ἴδιος ἐάν ἀρκεῖ ἕνας δίκαιος ἄνθρωπος

24. Ἔξ. κεφ. 7-11.

τὸν Θεόν. Καὶ ἔφη· Ναί· Αὐτὸς γὰρ εἶπεν· Ἐρευνήσατε ἕνα ποιοῦντα κρῖμα καὶ δικαιοσύνην καὶ ἵλεως ἔσομαι παντὶ τῷ λαῷ.

36. Παριόντος ποτὲ τοῦ μακαρίου Ἐφραίμ, ἐξ ὑποβολῆς τινος ἔρχεται μία ἑταιρὶς κολακεύειν αὐτὸν εἰς αἰσχρὰν μῖξιν· εἰ δὲ μή, κἂν εἰς ἀγανάκτησιν κινῆσαι αὐτόν, ὅτι οὐδέποτέ τις εἶδεν αὐτὸν ὀργιζόμενον. Καὶ λέγει πρὸς αὐτήν· Ἀκολούθει μοι. Πλησιάσας δὲ τόπῳ πολυόχλῳ λέγει αὐτῇ· Ἐν τῷ τόπῳ τούτῳ δεῦρο καθὼς ἠθέλησας. Ἐκείνη δὲ θεασαμένη τὸν ὄχλον λέγει αὐτῷ· Πῶς δυνάμεθα τοῦτο ποιῆσαι, τοσούτου ὄχλου ἑστῶτος, καὶ οὐκ αἰσχυνόμεθα; Ὁ δὲ λέγει πρὸς αὐτήν· Εἰ ἀνθρώπους αἰσχυνόμεθα, πολλῷ μᾶλλον τὸν Θεὸν τὸν τὰ κρυπτὰ τοῦ σκότους ἐλέγχοντα. Ἡ δὲ ἐντραπεῖσα ἀπῆλθεν ἄπρακτος.

37. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ζήνωνος ὅτι ἀπ᾽ ἀρχῆς οὐκ ἤθελε λαβεῖν παρά τινος τίποτε. Καὶ ἐντεῦθεν οἱ φέροντες ἀπήρχοντο λυπούμενοι, ὅτι οὐκ ἐλάμβανε. Καὶ ἄλλοι ἤρχοντο πρὸς αὐτὸν λαβεῖν θέλοντες, ὡς παρὰ μεγάλου Γέροντος, καὶ οὐκ εἶχε τί δοῦναι αὐτοῖς καὶ αὐτοὶ ὑπῆγον λυπούμενοι. Λέγει ὁ Γέρων· Τί ποιήσω, ὅτι καὶ οἱ φέροντες λυποῦνται καὶ οἱ λαβεῖν θέλοντες; Τοῦτο μᾶλλον συμφέρει· εἴ τις φέρει, λαμβάνω καί, εἴ τις αἰτεῖται, παρέχω αὐτῷ. Καὶ οὕτω ποιήσας ἀνεπαύετο καὶ πάντας ἐπληροφόρει.

γιά νά κινήσει τόν Θεό σέ εὐσπλαχνία· καί εἶπε: «Ναί· γιατί ὁ ἴδιος ὁ Θεός εἶπε: Ψάξτε νά βρεῖτε ἕναν ἄνθρωπο ὁ ὁποῖος νά εἶναι στήν πράξη δίκαιος καί εὐσεβής καί θά φανῶ σπλαχνικός γιά ὅλο τό λαό»[25].

36. Κάποτε καθώς βάδιζε ὁ μακάριος Ἐφραίμ, ἀπό κάποια δαιμονική ὑποβολή τόν πλησιάζει μιά κοινή γυναίκα λέγοντάς του κολακευτικά λόγια, γιά νά σμίξει μαζί της ἤ ἔστω νά τόν κάνει νά ἀγανακτήσει, γιατί ποτέ κανείς δέν τόν εἶδε νά ὀργίζεται. Καί τῆς λέει ἐκεῖνος: «Ἀκολούθησέ με». Ὅταν ἔφθασαν σ᾽ ἕναν τόπο πολυσύχναστο, τῆς λέει: «Ἐδῶ ἔλα νά γίνει αὐτό πού θέλησες». Ἐκείνη καθώς εἶδε τό πλῆθος, τοῦ λέει: «Πῶς μποροῦμε νά τό κάνουμε αὐτό μπροστά σέ τόσο κόσμο χωρίς νά ντροπιασθοῦμε;» Καί τῆς ἀπαντᾶ ἐκεῖνος: «Ἐάν τούς ἀνθρώπους ντρεπόμαστε, πολύ περισσότερο νά ντραποῦμε τόν Θεό, ὁ ὁποῖος βλέπει καί γνωρίζει ὅσα γίνονται στά κρυφά καί στό σκοτάδι». Ντροπιασμένη ἐκείνη ἀπομακρύνθηκε ἄπρακτη.

37. Ἔλεγαν γιά τόν ἀββᾶ Ζήνωνα* ὅτι στήν ἀρχή δέν ἤθελε νά παίρνει τίποτε ἀπό κανέναν. Γι᾽ αὐτόν τόν λόγο ὅμως αὐτοί πού τοῦ ἔφερναν κάτι, ἔφευγαν λυπημένοι, ἐπειδή δέν τά ἔπαιρνε. Καί ἄλλοι πάλι ἔρχονταν θέλοντας νά πάρουν κάποια εὐλογία, καθώς τόν εὐλαβοῦνταν ὡς μεγάλο Γέροντα, καί δέν εἶχε τί νά τούς δώσει· ἔτσι ἔφευγαν κι αὐτοί λυπημένοι. Συλλογιέται ὁ Γέροντας: «Τί νά κάνω; Καί αὐτοί πού φέρνουν λυποῦνται καί οἱ ἄλλοι πού θέλουν νά πάρουν. Μᾶλλον συμφέρει νά κάνω τοῦτο: Ἄν κάποιος φέρνει, νά τό παίρνω, καί ἄν κάποιος ζητάει, νά τοῦ δίνω». Ἔτσι λοιπόν κάνοντας ἔνιωθε ἀναπαυμένος, ἀλλά καί ὅλους τούς ἱκανοποιοῦσε.

---

25. Ἱερ. 5, 1.

38. Ἦλθον πρὸς αὐτὸν ἀδελφοὶ καὶ ἠρώτησαν αὐτὸν λέγοντες· Τί ἐστι τὸ ἐν τῷ Ἰὼβ γεγραμμένον· Οὐρανὸς δὲ οὐ καθαρὸς ἐνώπιον Αὐτοῦ; Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπεν αὐτοῖς· Ἀφῆκαν οἱ ἀδελφοὶ τὰς ἁμαρτίας αὐτῶν καὶ περὶ τῶν οὐρανίων ἐρευνῶσιν. Αὕτη δέ ἐστιν ἡ ἑρμηνεία τοῦ λόγου· ἐπειδὴ Αὐτός ἐστι μόνος καθαρός, διὰ τοῦτο εἶπεν· Οὐρανὸς δὲ οὐ καθαρός ἐστι.

39. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ζήνωνος ὅτι μικροφυὴς μὲν ἦν καὶ ἰσχνὸς τῷ σώματι, σύννους δὲ ὅλος καὶ προθυμίας καὶ θέρμης πρὸς τὸν Θεὸν πεπληρωμένος. Εἶχε δὲ καὶ συμπάθειαν πολλὴν πρὸς τοὺς ἀνθρώπους. Τούτῳ πανταχόθεν ἤρχοντο πολλοὶ κοσμικοί τε καὶ μοναχοὶ καὶ ἀνετίθεντο τοὺς λογισμοὺς αὐτῶν καὶ ἐθεραπεύοντο.

Τινὶ γοῦν τῶν Πατέρων πλησίον ποτὲ μείναντι τοῦ ἁγίου Ζήνωνος συνετύχομεν· καὶ κινήσαντος πρὸς ἡμᾶς λόγον ὠφελείας, ἠρωτήσαμεν αὐτόν τινα λογισμὸν οὕτως εἰπόντες· Ἐάν τις ἔχῃ λογισμὸν καὶ ὁρᾷ ἑαυτὸν ἡττώμενον καὶ πολλάκις ἀναγινώσκῃ εἰς ἑαυτὸν καὶ ἀκούῃ πῶς εἶπον οἱ Πατέρες περὶ καθαρότητος καὶ θέλῃ κατορθῶσαι καὶ οὐ δύναται, καλόν ἐστιν ἀπαγγεῖλαί τινι τῶν Πατέρων ἢ σπουδάσαι ὀφείλει χρήσασθαι ὡς ἀνέγνω καὶ ἀρκεσθῆναι τῇ ἑαυτοῦ συνειδήσει; Καὶ εἶπεν ἡμῖν ὁ Γέρων ὅτι· Ὀφείλει ἐξαγγεῖλαι ἄλλῳ δυναμένῳ ὠφελῆσαι αὐτὸν καὶ μὴ πεποιθέναι ἐφ᾽ ἑαυτῷ· οὐ γὰρ δύναταί τις ἑαυτῷ ὠφελῆσαι ἢ βοηθῆσαι, καὶ μάλιστα ἐὰν φθάσῃ καταπονηθῆναι ὑπὸ τοῦ πάθους.

26. Ἰώβ 15, 15. Οἱ ἄγγελοι καί οἱ ἅγιοι, πού κατοικοῦν στόν οὐρανό, ὑπολείπονται σέ καθαρότητα ἐν συγκρίσει πρός τήν ἄπειρη καθαρότητα καί ἁγιότητα τοῦ Θεοῦ. Κατά τόν π. Ἰωήλ Γιαννακόπουλο γίνεται ἴσως στό χωρίο αὐτό καί ὑπαινιγμός τῆς πτώσεως τῶν ἀγγέλων. Βλ. Π.Δ. τοῦ ἰδίου, τόμ. 8ος σελ. 113.

38. Ἐπισκέφθηκαν τόν ἀββᾶ Ζήνωνα μερικοί ἀδελφοί καί τόν ρώτησαν: «Τί σημαίνει αὐτό πού εἶναι γραμμένο στό βιβλίο τοῦ Ἰώβ: Ὁ οὐρανός δέν εἶναι καθαρός ἐνώπιον Αὐτοῦ[26];» Ἀποκρίθηκε ὁ Γέροντας καί τούς εἶπε: «Ἔπαυσαν οἱ ἀδελφοί νά νοιάζονται γιά τίς ἁμαρτίες τους καί ἐρευνοῦν γιά τά οὐράνια. Τό ρητό ἔχει τήν ἑξῆς ἔννοια: Ἐπειδή Αὐτός εἶναι ὁ μόνος καθαρός, γι᾽ αὐτό εἶπε: ὁ οὐρανός δέν εἶναι καθαρός».

39. Ἔλεγαν γιά τόν ἀββᾶ Ζήνωνα ὅτι ἦταν μικρόσωμος καί ἀδύνατος ἀλλά βυθισμένος στόν στοχασμό καί ὅλος προθυμία καί θέρμη πρός τόν Θεό. Ἔδειχνε μάλιστα καί πολλή συμπάθεια πρός τούς ἀνθρώπους. Προσέρχονταν ἀπό παντοῦ πολλοί, καί κοσμικοί καί μοναχοί, τοῦ ἐμπιστεύονταν τούς λογισμούς τους καί εὕρισκαν τή γιατρειά τους.

Συναντήσαμε λοιπόν ἕναν ἀπό τούς Πατέρες πού ἔμενε κάποτε κοντά στόν ἅγιο Ζήνωνα· καί καθώς ἄρχισε νά μᾶς λέει ψυχωφέλιμα, τοῦ ἐκθέσαμε τόν ἑξῆς λογισμό μας: «Ἐάν —τοῦ εἴπαμε— ἔχει κάποιος λογισμό σαρκικό καί βλέπει τόν ἑαυτό του νά νικιέται καί συχνά διαβάζει μόνος του καί πληροφορεῖται τί εἶπαν οἱ Πατέρες γιά τήν καθαρότητα καί θέλει νά τήν πραγματοποιήσει ἀλλά δέν μπορεῖ, εἶναι σωστό νά τό ἀναφέρει σέ κάποιον ἀπό τούς Πατέρες ἢ ὀφείλει νά φροντίσει νά κάνει αὐτά πού διάβασε στά βιβλία καί νά ἀρκεσθεῖ στήν πληροφορία τῆς συνειδήσεώς του;» Καί ὁ Γέροντας μᾶς εἶπε: «Ὀφείλει νά τό φανερώσει σέ ἄλλον πού μπορεῖ νά τόν ὠφελήσει καί νά μήν ἔχει ἐμπιστοσύνη στόν ἑαυτό του· γιατί δέν μπορεῖ κανείς νά ὠφελήσει τόν ἑαυτό του ἢ νά τόν βοηθήσει καί μάλιστα ἄν ἔχει ἤδη καταπονηθεῖ ἀπό τό πάθος.

Ἐμοὶ γάρ, φησίν, ἐν τῇ νεότητί μου συνέβη τι τοιοῦτον. Εἶχον γὰρ ψυχικὸν πάθος καὶ ἡττώμην εἰς αὐτό. Καὶ ἀκούων περὶ τοῦ ἀββᾶ Ζήνωνος ὅτι πολλοὺς ἐθεράπευεν, ἠβουλήθην ἀπελθεῖν καὶ ἀναγγεῖλαι αὐτῷ· καὶ ἐνεπόδιζέ με ὁ διάβολος λέγων ὅτι, ἐπεὶ οἶδας τί ὀφείλεις ποιῆσαι, χρῆσαι ὡς ἀναγινώσκεις καὶ τί ὑπάγεις καὶ σκανδαλίζεις τὸν Γέροντα; Καὶ ὅτε ἠπειγόμην τοῦ ἀπελθεῖν, μικρὸν ὁ πόλεμος ἐκουφίζετο ἐπ᾿ ἐμοῦ, ἵνα μὴ ἀπέλθω. Ὅτε δὲ ἐπειθόμην τοῦ μὴ ἀπελθεῖν πρὸς τὸν Γέροντα, πάλιν κατεπόντιζέ με τὸ πάθος καὶ πάλιν ἐπύκτευον ἀπελθεῖν καὶ τὸ αὐτό μοι ἐδολιεύετο ὁ ἐχθρὸς μὴ συγχωρῶν με ἐξαγγεῖλαι τῷ Γέροντι. Καὶ πολλάκις ἀπῆλθον εἰς τὸν Γέροντα εἰπεῖν αὐτῷ καὶ οὐκ ἠφίει με ὁ ἐχθρὸς αἰσχύνην φέρων τῇ καρδίᾳ μου καὶ λέγων ὅτι· Ἐπεὶ οἶδας πῶς ὀφείλεις ἑαυτὸν θεραπεῦσαι, τί χρεία λέγειν τινί; Σὺ γὰρ ἀμελεῖς ἑαυτοῦ· οἶδας πῶς εἶπαν οἱ Πατέρες. Καὶ ταῦτα, φησίν, ὑπέβαλέ μοι ὁ ἀντίδικος, ἵνα μὴ φανερώσω τὸ πάθος τῷ ἰατρῷ καὶ θεραπευθῶ. Καὶ ὁ μὲν Γέρων ἐνόει ὅτι ἔχω λογισμούς· οὐκ ἤλεγχέ μοι δὲ ἀναμένων ἕως οὗ ἐγὼ αὐτὸς ἀναγγείλω αὐτούς. Ἐδίδασκέ με δὲ περὶ ὀρθοῦ βίου καὶ ἀπέλυεν.

Ὕστερον δὲ θλιβόμενος καὶ κλαίων εἶπον τῇ ψυχῇ μου· Ἕως πότε, ἀθλία ψυχή, οὐ θέλεις θεραπευθῆναι; Εἰ ἀπὸ μήκοθεν ἔρχονται πρὸς τὸν Γέροντα καὶ θεραπεύονται, σὺ οὐκ αἰσχύνῃ ἐγγὺς ἔχουσα τὸν ἰατρὸν καὶ μὴ θεραπευομένη; Καὶ πυρωθείς, φησί, τὴν καρδίαν ἀνέστην καὶ εἶπον ἐν ἑαυτῷ ὅτι, ἐὰν ἀπέλθω πρὸς τὸν Γέροντα καὶ μὴ εὕρω ἐκεῖ τινα, οἶδα ὅτι θέλημα Θεοῦ ἐστιν ἀναγγεῖλαι αὐτῷ τοὺς λογισμούς μου. Καὶ δὴ ἀπελθὼν οὐδένα εὗρον. Ὁ δὲ Γέρων κατὰ τὴν συνήθειαν

Γιατί σέ μένα —εἶπε— ὅταν ἤμουν νέος, συνέβη κάτι τέτοιο. Εἶχα δηλαδή ἕνα ψυχικό πάθος καί μ᾿ ἔπαιρνε ἀπό κάτω. Ἀκούοντας ὅμως γιά τόν ἀββᾶ Ζήνωνα ὅτι πολλούς γιάτρευε, θέλησα νά πάω καί νά τοῦ τά ἐξαγορεύσω, ἀλλά μέ ἐμπόδιζε ὁ διάβολος λέγοντας: Ἐφόσον γνωρίζεις τί ὀφείλεις νά κάνεις, κάνε ὅπως λένε τά βιβλία· ποιός ὁ λόγος νά πᾶς καί νά σκανδαλίζεις τόν Γέροντα; Καί ὅταν πιεζόμουν ἀπό τή σκέψη τῆς ἀναχώρησης, ὑποχωροῦσε λίγο ὁ πόλεμος, γιά νά μήν ξεκινήσω. Ἀλλά καθώς ἔπαιρνα τήν ἀπόφαση νά μήν πάω στόν Γέροντα, βούλιαζα πάλι μέσα στό πάθος· καί ξανά πάλευα γιά νά φύγω καί μέ τόν ἴδιο τρόπο μέ παγίδευε ὁ πονηρός καί δέν μέ ἄφηνε νά τό φανερώσω στόν Γέροντα. Πολλές φορές μάλιστα πῆγα ὥς ἐκεῖ νά τοῦ τό πῶ καί δέν μέ ἄφηνε ὁ ἐχθρός κάνοντάς με νά ντραπῶ καί μοῦ ψιθύριζε: Ἀφοῦ ξέρεις πῶς πρέπει νά γιατρέψεις τόν ἑαυτό σου, τί χρειάζεται νά τό πεῖς σέ ἄλλον; Ἐσύ ἀμελεῖς τόν ἑαυτό σου, ἐφόσον γνωρίζεις τί εἶπαν οἱ Πατέρες. Καί αὐτούς τούς λογισμούς —εἶπε— ἔριχνε μέσα μου ὁ ἀντίδικος, γιά νά μή φανερώσω τό πάθος στόν γιατρό καί θεραπευθῶ. Βέβαια ὁ Γέροντας καταλάβαινε ὅτι ἔχω λογισμούς, ἀλλά δέν μέ ρωτοῦσε, ἕως ὅτου ἐγώ ὁ ἴδιος τούς ἀναγγείλω. Μοῦ μιλοῦσε γιά τόν σωστό τρόπο ζωῆς καί μ᾿ ἄφηνε νά φύγω.

Μετά ἀπό λίγο καιρό, θλιμμένος καθώς ἤμουν καί κλαίγοντας εἶπα στήν ψυχή μου: Μέχρι πότε, ἀθλία ψυχή, δέν θά θέλεις νά γιατρευθεῖς; Ἄν ἀπό μακριά ἔρχονται στόν Γέροντα καί θεραπεύονται, ἐσύ δέν ντρέπεσαι πού ἔχεις δίπλα σου τόν γιατρό καί δέν γιατρεύεσαι; Ἔνιωσα ἐκείνη τή στιγμή νά φλογίζεται ἡ καρδιά μου, σηκώθηκα ἐπάνω καί εἶπα στόν ἑαυτό μου: Ἄν πάω στόν Γέροντα καί τόν βρῶ μόνον, σίγουρα εἶναι θέλημα Θεοῦ νά τοῦ πῶ τούς λογισμούς μου. Καί πράγματι πῆγα καί δέν βρῆκα κανέναν. Ὁ Γέροντας,

ἐδίδασκέ με περὶ σωτηρίας ψυχῆς καὶ ὅπως τις καθαρθῇ ἀπὸ ῥυπαρῶν λογισμῶν. Ἐμοῦ δὲ πάλιν αἰσχυνομένου καὶ μὴ ἐξαγγέλλοντος, παρεκάλεσα αὐτὸν ἀπολῦσαί με. Καὶ ἀναστὰς ὁ Γέρων ἐποίησεν εὐχὴν καὶ προέπεμπέ με περιπατῶν ἔμπροσθέν μου ἕως τῆς ἔξω θύρας. Ἐγὼ δὲ βασανιζόμενος ὑπὸ τῶν λογισμῶν εἰπεῖν ἢ μὴ εἰπεῖν τῷ Γέροντι, ὀλίγον ὀλίγον περιεπάτουν ὀπίσω. Ὁ δὲ Γέρων οὐ προσέσχε μοι, ἀλλ' ἐκράτησε τὴν θύραν πρὸς τὸ ἀνοῖξαί μοι. Ὡς δὲ ἐπὶ πολὺ εἶδέ με βασανιζόμενον ὑπὸ τῶν λογισμῶν, στρέφεται πρός με καὶ κρούων τὸ στῆθός μου λέγει μοι· Τί ἔχεις; Κἀγὼ ἄνθρωπός εἰμι. Ὡς δὲ εἶπέ μοι ὁ Γέρων τὸν λόγον τοῦτον, ἐνόμισα ὅτι τὴν καρδίαν μου ἔνυξε καὶ πίπτω ἐπὶ πρόσωπον εἰς τοὺς πόδας αὐτοῦ, παρακαλῶν αὐτὸν μετὰ δακρύων καὶ λέγων· Ἐλέησόν με.

Ὁ δὲ λέγει μοι· Τί ἔχεις; Ἐγὼ δὲ εἶπον· Οἶδας τί χρείαν ἔχω. Καὶ λέγει μοι· Σοῦ χρεία εἰπεῖν τί ἔχεις. Ἐμοῦ δὲ μετ' αἰσχύνης ἀναγγείλαντος τό πάθος μου, λέγει μοι· Καὶ διὰ τί ᾐσχύνθης, εἰπέ μοι; Οὔκ εἰμι κἀγὼ ἄνθρωπος; Θέλεις εἴπω σοι τὰ ἐμά; Οὐκ ἔχεις τρία ἔτη ἔχων τοὺς λογισμοὺς τούτους ἐρχόμενος ὧδε καὶ μὴ ἐξαγγέλλων αὐτούς; Ἐμοῦ δὲ προσπεσόντος καὶ παρακαλοῦντος καὶ λέγοντος αὐτῷ· Ἐλέησόν με διὰ τὸν Θεόν, εἶπέ μοι· Ὕπαγε· μὴ ἀμέλει τῆς εὐχῆς σου καὶ μηδενὸς καταλαλήσῃς. Ἀπῆλθον οὖν εἰς τὸ κελλίον μου καὶ μὴ ἀμελήσας τῆς εὐχῆς μου, χάριτι Χριστοῦ καὶ εὐχαῖς τοῦ Γέροντος, οὐκέτι ὠχλήθην ὑπὸ τοῦ πάθους ἐκείνου.

Μετὰ δὲ ἐνιαυτόν, φησίν, ἐπῆλθέ μοι λογισμὸς τοιοῦτος ὅτι· Μήποτε ὁ Θεὸς κατὰ τὸ ἔλεος Αὐτοῦ ἐποίησε μετὰ σοῦ καὶ οὐχὶ ἕνεκεν τοῦ Γέροντος; Καὶ ἀπέρχομαι πρὸς αὐτὸν θέλων πειράσαι αὐτόν. Καὶ λαβὼν αὐτὸν κατ' ἰδίαν ἔβαλον

ὅπως συνήθιζε, ἄρχισε νά μοῦ μιλάει γιά τή σωτηρία τῆς ψυχῆς καί μέ τί τρόπο κανείς θά καθαρθεῖ ἀπό τούς ρυπαρούς λογισμούς. Καί ἐπειδή μ' ἔπιασε πάλι ἡ ντροπή, δέν ἔκανα τήν ἐξαγόρευση καί τόν παρεκάλεσα νά μοῦ κάνει ἀπόλυση. Σηκώθηκε ὁ Γέροντας, ἔκανε μιά προσευχή καί μέ ξεπροβοδοῦσε ὥς τήν ἔξω πόρτα βαδίζοντας μπροστά ἀπό μένα. Ἐγώ βασανιζόμουν ἀπό τούς λογισμούς νά τούς πῶ ἤ νά μή τούς πῶ στόν Γέροντα καί περπατοῦσα ἀπό πίσω ἀργά-ἀργά. Ὁ Γέροντας δέν μέ κοίταξε καί ἔπιασε τήν πόρτα νά μοῦ τήν ἀνοίξει. Καί καθώς μέ εἶδε πολλή ὥρα νά βασανίζομαι ἀπό τούς λογισμούς, στράφηκε καί κτυπώντας τό στῆθος μου μοῦ εἶπε: Τί ἔχεις; Κι ἐγώ ἄνθρωπος εἶμαι. Μέ τόν λόγο αὐτόν πού μοῦ εἶπε ὁ Γέροντας, μοῦ φάνηκε ὅτι μοῦ διαπέρασε τήν καρδιά· πέφτω κατά πρόσωπο στά πόδια του παρακαλώντας τον μέ δάκρυα: Ἐλέησέ με.

Κι ἐκεῖνος μέ ρώτησε: Τί ἔχεις; Γνωρίζεις —τοῦ ἀποκρίθηκα— τί χρειάζομαι. Μοῦ λέει τότε: Εἶναι δικό σου χρέος νά πεῖς τί σοῦ συμβαίνει. Καί ὅταν ντροπιασμένος ἀνακοίνωσα τό πάθος μου, μοῦ εἶπε: Καί γιατί ντράπηκες; Πές μου. Δέν εἶμαι κι ἐγώ ἄνθρωπος; Θέλεις νά σοῦ πῶ τά δικά μου; Δέν πᾶνε τρία χρόνια πού ἔρχεσαι ἐδῶ ἔχοντας τούς λογισμούς αὐτούς καί δέν τούς ἐξαγορεύεις; Καί καθώς πεσμένος στά πόδια του παρακαλοῦσα καί τοῦ ἔλεγα: Σπλαχνίσου με γιά τ' ὄνομα τοῦ Θεοῦ, μοῦ εἶπε: Πήγαινε· μήν παραμελεῖς τήν προσευχή σου καί μήν κατηγορήσεις κανέναν. Γύρισα στό κελί μου καί δέν παραμέλησα τήν προσευχή μου. Ἔτσι μέ τή χάρη τοῦ Χριστοῦ καί μέ τίς εὐχές τοῦ Γέροντα δέν ξαναενοχλήθηκα πιά ἀπό τό πάθος ἐκεῖνο.

Μετά ἀπό ἕνα χρόνο —συνέχισε— μοῦ ἦρθε ἕνας τέτοιος λογισμός: Μήπως ὁ Θεός, ἐπειδή εἶναι σπλαχνικός, σέ θεράπευσε καί ὄχι χάριν τοῦ Γέροντα; Πηγαίνω λοιπόν στόν Γέροντα θέλοντας νά ἐξακριβώσω ἀπό τά λόγια του τί ἀ-

αὐτῷ μετάνοιαν λέγων· Παρακαλῶ τὴν θεοφιλίαν σου, πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ περὶ τοῦ λογισμοῦ ἐκείνου οὗ ποτε ἐξήγγειλά σοι. Καὶ ἀφῆκέ με κείμενον εἰς τοὺς πόδας αὐτοῦ καὶ σιωπήσας μικρὸν λέγει μοι· Ἀνάστα· ἔχε ἐπιστήμην. Ἐγὼ δὲ τοῦτο ἀκούσας ἐβουλόμην εἰ κατέπιέ με ἡ γῆ ἀπὸ αἰσχύνης. Καὶ ἀναστὰς οὐκ ἠδυνάμην ἀτενίσαι τῷ Γέροντι καὶ ἀπῆλθον θαυμάζων ἐν τῷ κελλίῳ μου.

Ὁ δὲ Γέρων πρὸς βεβαίωσιν τῶν αὐτοῦ ἀρετῶν καὶ ἡμῶν ὠφέλειαν, διηγήσατο ἡμῖν καὶ τοῦτο, ὅτι ποτὲ δύο ἀδελφοὶ μένοντες ἐν Λαύρᾳ τινί, ἕκαστος ἐν ἰδιάζοντι κελλίῳ, παρέβαλον ἀλλήλοις καὶ εἶπεν ὁ εἷς τῷ ἑτέρῳ· Ἡδέως ἔχω ἀπελθεῖν πρὸς τὸν ἀββᾶν Ζήνωνα καὶ ἀναθέσθαι αὐτῷ τινα λογισμόν. Εἶπε δὲ καὶ ὁ ἄλλος· Κἀγὼ θέλω λογισμὸν εἰπεῖν αὐτῷ. Καὶ ἀπῆλθον οἱ δύο ὁμοῦ· καὶ λαβὼν αὐτὸν ἕκαστος κατ᾽ ἰδίαν ἐξήγγειλεν αὐτῷ τοὺς λογισμοὺς αὐτοῦ. Καὶ ὁ μὲν προσέπεσε τῷ Γέροντι μετὰ πολλῶν δακρύων παρακαλῶν αὐτόν. Ὁ δὲ Γέρων εἶπεν αὐτῷ· Ὕπαγε, μὴ προδῷς ἑαυτὸν καὶ μὴ καταλαλήσῃς τινὸς καὶ μὴ ἀμελήσῃς τῆς εὐχῆς σου. Καὶ ἀπελθὼν

27. Παρόλο πού μέ τά πρῶτα λόγια του πρός τόν Γέροντα ὁ θεραπευμένος ἀπό τό πάθος ἀδελφός δέν ἀναφέρεται εὐθέως καί εὐκρινῶς στόν πρόσφατο πειρασμικό λογισμό του —ἄλλωστε ἡ πρόθεσή του ἦταν νά ἐκμαιεύσει τό ζητούμενο ἔμμεσα— ὁ διακριτικός ἀββᾶς ὅμως ἀντιλαμβάνεται πῶς ἔχουν τά πράγματα καί μέ τίς δυό λέξεις πού τοῦ λέει τόν ἀνακαλεῖ στήν τάξη: «Ἔχε ἐπιστήμην: Μάθε νά γνωρίζεις σωστά τά πράγματα».

Στήν προκειμένη περίπτωση ἡ ἐνδεδειγμένη τοποθέτηση τοῦ ἀδελφοῦ κατά τήν ἐμφάνιση τοῦ λογισμοῦ, θά ἦταν ἡ ἑξῆς: Ἀναμφισβήτητα ὁποιοδήποτε ἀγαθό, ἰδιαίτερα στόν πνευματικό χῶρο, ξεκινάει ἀπό τόν Θεό. «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (Ἰω. 15, 5). «Πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον» (Ἰακ. 1, 17). Ἄλλωστε ὁ Κύριος ἐνανθρωπήσας γιά τή σωτηρία τοῦ ἐκπεσόντος ἀνθρώπου ἵδρυσε τήν Ἐκκλησία, τῆς ὁποίας κεφαλή εἶναι ὁ Ἴδιος. Καί ἡ Ἐκκλησία, πού εἶναι ὁ Χριστός παρατεινόμενος εἰς τούς αἰῶνας, ἐκπροσωπεῖται ἀπό τόν κλῆρο (ἐπισκόπους, ἱερεῖς πού ἔχουν ἀποστολική διαδοχή) καί παρέχει ἐσαεί τήν Χάρι τοῦ Ἁγίου Πνεύματος καί τήν ἁγιαστική ἐνέργεια

κριβῶς συνέβη. Τόν πῆρα ἰδιαιτέρως, τοῦ 'βαλα μετάνοια καί τοῦ εἶπα: Παρακαλῶ τή θεοφιλία σου, πάτερ, προσευχήσου γιά μένα, γιά τόν λογισμό ἐκεῖνο πού κάποτε σοῦ τόν ἐξαγόρευσα. Μέ ἄφησε πεσμένο στά πόδια του καί, ἀφοῦ ἔμεινε σιωπηλός ὁ ἴδιος λίγη ὥρα, μετά μοῦ εἶπε: Σήκω ἐπάνω καί μάθε νά γνωρίζεις σωστά τά πράγματα[27]. Ἐγώ μόλις τ' ἄκουσα, ἔνιωσα τόση ντροπή πού θά προτιμοῦσα νά μέ κατάπινε ἡ γῆ. Σηκώθηκα, ἀλλά δέν μποροῦσα νά δῶ στό πρόσωπο τόν Γέροντα καί ἔφυγα γιά τό κελί μου κατάπληκτος».

Ὁ Γέροντας γιά νά ἐπιβεβαιώσει τίς ἀρετές τοῦ ἀββᾶ Ζήνωνα καί νά μᾶς οἰκοδομήσει, μᾶς διηγήθηκε καί τό ἑξῆς: «Κάποτε δυό ἀδελφοί πού ἔμεναν σέ μιά Λαύρα, ὁ καθένας σέ χωριστό κελί, συναντήθηκαν καί εἶπε ὁ ἕνας στόν ἄλλο: Εὐχαρίστως θά πήγαινα στόν ἀββᾶ Ζήνωνα νά τοῦ ἐμπιστευθῶ κάποιον λογισμό μου. Κι ἐγώ —εἶπε ὁ ἄλλος— θέλω νά τοῦ πῶ ἕναν λογισμό μου. Ἔτσι πῆγαν καί οἱ δυό μαζί. Τόν πῆρε ὁ καθένας ἰδιαιτέρως καί τοῦ ἀνέφερε τούς λογισμούς του. Ἀλλά ὁ ἕνας ἔπεσε στά πόδια τοῦ Γέροντα παρακαλώντας τον μέ δάκρυα. Καί ὁ Γέροντας τοῦ εἶπε: Πήγαινε· μήν παραδώσεις τόν ἑαυτό σου στόν ἐχθρό, μήν κατηγορήσεις κανέναν καί μήν ἀμελήσεις τήν προσευχή σου.

στούς πιστούς. Ἑπομένως ὁ λογισμός τοῦ ἀδελφοῦ ἄν στή θεραπεία τῆς ψυχῆς του συνετέλεσε ἤ ὄχι ἡ ἐξαγόρευση τοῦ πάθους του στόν Γέροντα ἦταν ἀδικαιολόγητος, σαφῶς πειρασμικός καί ὁ φωτισμένος Γέροντας τόν ἀνακαλεῖ στήν τάξη.

Ἡ λέξη ἐπιστήμη στά ἐκκλησιαστικά κείμενα φέρει καί τήν ἔννοια τῆς πειθαρχίας ἐν τῇ Ἐκκλησίᾳ. Θά μπορούσαμε νά ποῦμε ὅτι τοῦ συνιστᾶ καί τήν ἀνάγκη τῆς ὑπακοῆς καί τῆς πειθαρχίας στήν τάξη τῆς Ἐκκλησίας. «Αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δέ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων» (Ἐφ. 4, 11-12). Καί «Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γάρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες» (Ἑβρ. 13, 17).

ὁ ἀδελφὸς ἐθεραπεύθη. Ὁ δὲ ἄλλος ἐξαγγείλας τὸν λογισμὸν αὐτοῦ εἶπεν αὐτῷ· Εὖξαι ὑπὲρ ἐμοῦ. Οὐκ ᾔτησε δὲ ἐπιπόνως.

Μετὰ οὖν χρόνον τινὰ συνέβη αὐτοῖς παραβαλεῖν ἀλλήλοις καὶ εἶπεν ὁ εἷς τῷ ἑτέρῳ· Ὅτε παρεβάλομεν τῷ Γέροντι, ἀπήγγειλας αὐτῷ τὸν λογισμὸν ὃν εἶπες ὅτι θέλω αὐτῷ εἰπεῖν; Ὁ δὲ εἶπε· Ναί. Καὶ λέγει αὐτῷ· Ἆρα ὠφελήθης ἀναγγείλας αὐτῷ; Ὁ δὲ εἶπε· Ναί· εὐχαῖς τοῦ Γέροντος ἐθεράπευσέ με ὁ Θεός. Καὶ λέγει· Ἐγὼ κἂν ἐξήγγειλα, οὐκ ᾐσθάνθην θεραπείαν. Λέγει αὐτῷ ὁ ὠφεληθείς· Καὶ πῶς παρεκάλεσας τὸν Γέροντα; Ὁ δὲ λέγει· Εἶπον αὐτῷ· Εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι τόνδε τὸν λογισμὸν ἔχω. Ὁ δὲ ἄλλος εἶπεν· Ἐγὼ τέως ἐξαγγέλλων αὐτῷ ἔβρεξα τοὺς πόδας αὐτοῦ ἐκ τῶν δακρύων, παρακαλῶν αὐτὸν εὔξασθαι περὶ ἐμοῦ· καὶ διὰ τῶν εὐχῶν αὐτοῦ, ἰάσατό με ὁ Θεός.

Ταῦτα δὲ ἔλεγεν ἡμῖν ὁ Γέρων ὅτι· Ὀφείλει ὁ παρακαλῶν τινα τῶν Πατέρων περὶ λογισμῶν μετὰ πόνου καὶ ἐξ ὅλης καρδίας ὡς τὸν Θεὸν αἰτεῖν καὶ ἐπιτυγχάνει. Ὁ δὲ ἀμελῶς ἐξαγγέλλων οὐ μόνον οὐκ ὠφελεῖται, ἀλλὰ καὶ κατακρίνεται.

40. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας· Ἡ ἁπλότης καὶ τὸ μὴ μετρεῖν ἑαυτὸν ἁγνίζει τὴν καρδίαν ἀπὸ τῶν πονηριῶν.

41. Εἶπε πάλιν· Ὅστις περιπατεῖ μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν πανουργίᾳ, οὐ μὴ παρέλθῃ αὐτὸν λύπη καρδίας.

42. Εἶπε πάλιν· Ὅστις λαλεῖ ἄλλο καὶ ἔχει ἄλλο ἐν τῇ

φυγε ὁ ἀδελφός καί θεραπεύθηκε. Ὁ ἄλλος ἀνακοίνωσε τόν λογισμό του καί τοῦ εἶπε: Προσευχήσου γιά μένα. Δέν τό ζήτησε ὅμως μέ πόνο ψυχῆς.

Μετά ἀπό κάποιο χρονικό διάστημα συναντήθηκαν καί εἶπε ὁ ἕνας στόν ἄλλο: Ὅταν πήγαμε στόν Γέροντα τοῦ ἀνέφερες τόν λογισμό πού ἔλεγες, θέλω νά τοῦ πῶ; Ναί· τοῦ ἀπάντησε ὁ ἄλλος. Ρωτᾶ ὁ πρῶτος: καί ὠφελήθηκες πού τοῦ τό εἶπες; Ναί —λέει ἐκεῖνος— χάρις στίς εὐχές τοῦ Γέροντα μέ θεράπευσε ὁ Θεός. Ἐγώ —συνεχίζει ὁ πρῶτος— ἄν καί τοῦ τό ἀνέφερα, δέν ἔνιωσα καμιά γιατρειά. Τόν ρωτᾶ αὐτός πού ὠφελήθηκε: Καί πῶς παρακάλεσες τόν Γέροντα; Τοῦ εἶπα —ἀποκρίθηκε— προσευχήσου γιά μένα, γιατί ἔχω αὐτόν ἐδῶ τόν λογισμό. Ἐγώ —λέει ὁ ἄλλος— τήν ὥρα πού τοῦ ἐξαγόρευα, ἔβρεξα τά πόδια του μέ δάκρυα παρακαλώντας τον νά εὐχηθεῖ γιά μένα· καί χάρις στίς εὐχές του μέ γιάτρεψε ὁ Θεός».

Αὐτά μᾶς τά ἔλεγε ὁ Γέροντας μέ τήν ἔννοια ὅτι αὐτός πού παρακαλεῖ κάποιον ἀπό τούς Πατέρες γιά λογισμούς, ὀφείλει μέ πόνο ψυχῆς καί μ' ὅλη του τήν καρδιά νά ζητάει ὡσάν ἀπό τόν Θεό καί σίγουρα ἐπιτυγχάνει. Ἐνῶ ὅποιος ὀκνηρά ζητάει, ὄχι μόνο δέν ὠφελεῖται ἀλλά καί ἐπιβαρύνεται.

40. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας*: «Ἡ ἁπλότητα καί τό νά μήν ἔχουμε περί πολλοῦ τόν ἑαυτό μας, καθαρίζει τήν καρδιά ἀπό τήν πονηρία».

41. Εἶπε ἀκόμη: «Ὅποιος συμπεριφέρεται στόν ἀδελφό του μέ πανουργία[28], δέν θά τοῦ λείψει ἡ λύπη».

42. Εἶπε ἐπίσης: «Ὅποιος ἄλλα λέει καί ἄλλα ἔχει στήν

28. Πανουργία: δόλος, ἀπάτη, κακοήθεια.

καρδίᾳ αὐτοῦ ἐν πονηρίᾳ, ἡ λειτουργία τοῦ τοιούτου ματαία ἐστί· μὴ κολληθῇς τινι τοιούτῳ, ἵνα μὴ σπιλώσῃ σε ἐκ τοῦ ἰοῦ αὐτοῦ τοῦ μεμιασμένου.

43. Εἶπε πάλιν· Τὸ κέρδος καὶ ἡ τιμὴ καὶ ἡ ἀνάπαυσις πολεμοῦσι τὸν ἄνθρωπον ἕως θανάτου. Οὐ χρὴ δὲ τούτοις συγκαταβαίνειν.

44. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης· Ἐὰν ἔξῃς φιλίαν μετά τινος καὶ συμβῇ αὐτῷ εἰς πειρασμὸν πορνείας ἐμπεσεῖν καὶ δύνασαι, δὸς αὐτῷ χεῖρα, ἕλκυσον αὐτὸν ἄνω· εἰ δὲ εἰς αἵρεσιν ἐμπέσῃ καὶ μὴ πεισθῇ σοι ἀποστραφῆναι ἐξ αὐτῆς, ταχέως κόψον αὐτὸν ἀπὸ σοῦ, μήποτε βραδύνων συγκατασπασθῇς αὐτῷ εἰς τὸν βόθρον.

45. Ἦλθέ τις τῶν Γερόντων πρὸς τὸν ἀββᾶν Θεόδωρον καὶ εἶπεν αὐτῷ· Ἰδοὺ ὁ δεῖνα ὁ ἀδελφὸς ὑπέστρεψεν εἰς τὸν κόσμον. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ἐπὶ τοῦτο θαυμάζεις; Μὴ θαυμάσῃς· ἀλλὰ θαύμασον μᾶλλον, ἐὰν ἀκούσῃς ὅτι δύναταί τις ἐκφυγεῖν ἀπὸ τοῦ στόματος τοῦ ἐχθροῦ.

46. Ὁ αὐτός ποτε παρέβαλε τῷ ἀββᾷ Ἰωάννῃ τῷ ἀπὸ γεννήσεως εὐνούχῳ καὶ λαλούντων αὐτῶν εἶπεν· Ὅταν ἤμην εἰς Σκῆτιν, τὰ ἔργα τῆς ψυχῆς ἦν τὸ ἔργον ἡμῶν· τὸ δὲ ἐργόχειρον πάρεργον εἴχομεν· νῦν δὲ τὸ ἔργον τῆς ψυχῆς γέγονεν ὡς πάρεργον καὶ τὸ πάρεργον ἔργον.

Ἠρώτησεν αὐτὸν ἀδελφὸς λέγων· Ποῖόν ἐστι τὸ ἔργον τῆς ψυχῆς, ὃ νῦν ὡς πάρεργον ἔχομεν; Καὶ ποῖόν ἐστι τὸ πάρεργον, ὃ νῦν ἔργον ἔχομεν; Καὶ λέγει ὁ Γέρων· Πάντα τὰ γι-

καρδιά του μέ πονηριά, ἡ ἐργασία ἑνός τέτοιου ἀνθρώπου πάει χαμένη. Μήν προσκολληθεῖς σέ τέτοιον ἄνθρωπο, γιά νά μή σέ μολύνει μέ τό σιχαμερό δηλητήριό του».

43. Εἶπε πάλι: «Ὁ πειρασμός τοῦ κέρδους, τῆς δόξας καί τῆς καλοπέρασης πολεμοῦν τόν ἄνθρωπο μέχρι τήν ὥρα τοῦ θανάτου. Ὅμως δέν πρέπει κανείς νά ἐνδώσει σ' αὐτά».

44. Εἶπε ὁ ἀββᾶς Θεόδωρος* τῆς Φέρμης: «Ἐάν ἔχεις φιλία μέ κάποιον καί συμβεῖ νά πέσει αὐτός σέ σαρκικό ἁμάρτημα, ἅπλωσε τό χέρι σου, ἐάν μπορεῖς, καί τράβηξέ τον ἐπάνω. Ἄν ὅμως πέσει σέ αἵρεση καί δέν πείθεται στά λόγια σου γιά νά τήν ἀποστραφεῖ, ἀμέσως κόψε κάθε σχέση μαζί του· γιατί μέ τήν ἀργοπορία, ὑπάρχει κίνδυνος νά γκρεμισθεῖς κι ἐσύ μαζί του στόν λάκκο».

45. Πῆγε κάποιος ἀπό τούς Γέροντες στόν ἀββᾶ Θεόδωρο καί τοῦ εἶπε: «Νά, ὁ τάδε ἀδελφός γύρισε στόν κόσμο». Καί ὁ Γέροντας τοῦ ἀποκρίνεται: «Γι' αὐτό τό πράγμα ἀπορεῖς; Μήν ἀπορεῖς γι' αὐτό. Μᾶλλον νά ἀπορεῖς, ἐάν ἀκούσεις ὅτι μπορεῖ κάποιος νά γλυτώσει ἀπό τό στόμα τοῦ ἐχθροῦ».

46. Ὁ ἴδιος ἀββᾶς συναντήθηκε κάποτε μέ τόν ἀββᾶ Ἰωάννη, τόν εὐνοῦχο ἐκ γενετῆς. Καθώς συζητοῦσαν, εἶπε: «Ὅταν ἤμουν στή Σκήτη, τό κύριο ἔργο μας ἦταν ἡ ἐργασία τῆς ψυχῆς καί τό ἐργόχειρο τό θεωρούσαμε πάρεργο. Τώρα τό ἔργο τῆς ψυχῆς ἔγινε ὡς πάρεργο, καί τό πάρεργο ἔγινε ἔργο».

Τόν ρώτησε τότε ἕνας ἀδελφός: «Ποιό εἶναι τό ἔργο τῆς ψυχῆς τό ὁποῖο τώρα τό ἔχουμε ὡς πάρεργο; Καί ποιό εἶναι τό πάρεργο, τό ὁποῖο τώρα τό ἔχουμε κύριο ἔργο;». Καί ὁ Γέ-

νόμενα διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ ἔργον τῆς ψυχῆς ἐστι· τὸ δὲ εἰς λόγον ἑαυτοῦ ἐργάζεσθαι καὶ συνάγειν, τοῦτο πάρεργον ἔχειν ὀφείλομεν.

Καὶ λέγει ὁ ἀδελφός· Σαφήνισόν μοι τὴν ὑπόθεσιν ταύτην. Καὶ λέγει ὁ Γέρων· Ἰδοὺ ἀκούεις περὶ ἐμοῦ ὅτι ἀσθενῶ καὶ ὀφείλεις ἐπισκέψασθαί με καὶ λέγεις ἐν ἑαυτῷ· Καταλιπεῖν ἔχω τὸ ἔργον μου καὶ νῦν ἀπελθεῖν; Ἀλλὰ πληρώσω τὸ ἔργον μου καὶ οὕτως ἀπέρχομαι. Ἔρχεταί σοι καὶ ἄλλη ἀφορμὴ καὶ τάχα οὐδὲ ὅλως ὑπάγεις. Πάλιν ἄλλος ἀδελφὸς λέγει σοι· Δός μοι χεῖρα, ἀδελφέ. Καὶ λέγεις· Ἔχω ἀφῆσαι τὸ ἔργον μου καὶ ἀπελθεῖν ἐργάσασθαι μετ᾽ αὐτοῦ; Ἐὰν οὖν μὴ ἀπέλθῃς, ἀφίῃς τὴν ἐντολὴν τοῦ Θεοῦ, ὅ ἐστι τὸ ἔργον τῆς ψυχῆς, καὶ ποιεῖς τὸ πάρεργον, ὅ ἐστι τὸ ἔργον τῶν χειρῶν.

47. Ὁ αὐτὸς εἶπεν· Ἄλλη ἀρετὴ οὐκ ἔστιν ὡς τὸ μὴ ἐξουθενεῖν.

48. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Θεόδωρον λέγων· Θέλω ἐπιτελέσαι τὰς ἐντολάς. Λέγει αὐτῷ ὁ Γέρων περὶ τοῦ ἀββᾶ Θεωνᾶ ὅτι εἶπεν αὐτῷ ποτε ὅτι θέλω πληρῶσαι τὸν λογισμόν μου μετὰ τοῦ Θεοῦ. Καὶ λαβὼν σιτία ἐποίησεν ἄρτον καὶ ἐκάθισεν εἰς τὸ κελλίον.

29. Πρβλ. «Οὐδὲν βαρύτερον οὐδὲ χαλεπώτερον τοῦ κατακρῖναι ἢ ἐξουδενῶσαι τὸν πλησίον». Ἀββᾶ Δωροθέου, *Ἀσκητικά*, Διδ. ΣΤ', 71.

30. Στό ἀλφαβητικό Γεροντικό ὑπάρχει μιά παραλλαγή τοῦ ἀποφθέγματος, πού διαφοροποιεῖται ἀπό τό σημεῖο αὐτό: «...Καὶ λαβὼν σιτίαν εἰς τὸ ἀρτοκοπεῖον, ἐποίησεν ἄρτους· καὶ αἰτησάντων αὐτὸν πτωχῶν, ἔδωκε τοὺς ἄρτους. Καὶ πάλιν αἰτησάντων ἄλλων, ἔδωκε τὰ σπυρίδια καὶ τὸ ἱμάτιον ὃ ἐφόρει· καὶ εἰσῆλθεν εἰς τὸ κελλίον περιζωσάμενος τὸ μαφόριον. Καὶ οὕτω πάλιν ἐμέμφετο ἑαυτὸν λέγων ὅτι οὐκ ἐπλήρωσα τὴν ἐντολὴν τοῦ Θεοῦ».

ροντας ἀποκρίνεται: «Ὅλα ὅσα γίνονται, γιατί εἶναι ἐντολή τοῦ Θεοῦ, εἶναι ἔργο τῆς ψυχῆς. Ἐνῶ τό νά δουλεύουμε καί νά μαζεύουμε γιά τίς ἀνάγκες μας, αὐτό ὀφείλουμε νά τό ἔχουμε πάρεργο».

Παρακαλεῖ ὁ ἀδελφός: «Διευκρίνησέ μου τό θέμα αὐτό». Καί λέει ὁ Γέροντας: «Ἄς ποῦμε, ἀκοῦς γιά μένα ὅτι ἀρρώστησα καί ἔχεις χρέος νά μέ ἐπισκεφθεῖς· ἀλλά συλλογίζεσαι: Πρέπει νά ἀφήσω τήν ἐργασία μου καί νά πάω τώρα; Ἄς τήν τελειώσω, καί μετά πηγαίνω. Στό μεταξύ σοῦ παρουσιάζεται καί ἄλλη ἀφορμή καί ἴσως δέν πᾶς καθόλου. Ἐπίσης ἄλλος ἀδελφός σοῦ λέει: Δός μου ἕνα χέρι, ἀδελφέ. Καί σκέφτεσαι: Μπορῶ νά ἀφήσω τήν ἐργασία μου καί νά πάω νά δουλέψω μαζί του; Ἄν λοιπόν δέν πᾶς, παραμελεῖς τήν ἐντολή τοῦ Θεοῦ, πού εἶναι τό ἔργο τῆς ψυχῆς, καί ἐκτελεῖς τό πάρεργο, πού εἶναι τό ἐργόχειρο».

47. Ὁ ἴδιος εἶπε: «Καμιά ἀρετή δέν μπορεῖ νά ἀναμετρηθεῖ μέ τήν ἀρετή: νά μήν ἐξουθενώνουμε τόν ἄλλον»[29].

48. Κάποιος ἀδελφός εἶπε τόν λογισμό του στόν ἀββᾶ Θεόδωρο: «Θέλω νά ἐκτελέσω πλήρως τίς ἐντολές τοῦ Θεοῦ». Καί ὁ Γέροντας τοῦ ἀνέφερε γιά τόν ἀββᾶ Θεωνᾶ ὅτι τοῦ εἶπε κάποτε: «Θέλω ὁ λογισμός μου νά ταυτίζεται πλήρως μέ τή βούληση τοῦ Θεοῦ[30]. Πῆρε κατόπιν σιτάρι, ἔκανε ψωμί καί ἔμεινε στό κελί του»[31].

31. Ἡ φράση τοῦ ἀρχαίου κειμένου ἐδῶ στό ἀπόφθεγμά μας «ἐκάθισεν εἰς τὸ κελλίον», πού λείπει ἀπό τό ἀλφαβητικό Γεροντικό, ἔχει τήν ἰδιάζουσα ἔννοια γιά τούς ἀναχωρητές, ὅτι ἄρχισε (ἤ συνέχισε) μέσα στό κελί τόν ἀναχωρητικό του βίο. Ὅλον τόν ἀγώνα δηλαδή, τή σκληρή σωματική ἄσκηση, τή νυχθήμερη προσευχή ὑπέρ τῆς σωτηρίας ὅλων, καί τήν ὅλη «κρυπτή» ἐσωτερική

49. Ἠρώτησεν ὁ ἀββᾶς Ἀβραὰμ ὁ Ἴβηρ τὸν ἀββᾶν Θεόδωρον τὸν Ἐλευθεροπολίτην λέγων· Πῶς καλῶς ἐστι, πάτερ; Δόξαν περιποιήσωμαι ἐμαυτῷ ἢ ἀτιμίαν; Ὁ δὲ Γέρων λέγει· Τέως ἐγὼ θέλω περιποιήσασθαι δόξαν ἢ ἀτιμίαν. Ἐὰν γὰρ ποιήσω καλὸν ἔργον καὶ δοξασθῶ, δύναμαι κατακρίνειν τὸν λογισμόν μου, ὅτι οὐκ εἰμι ἄξιος τῆς δόξης ταύτης· ἡ δὲ ἀτιμία ἀπὸ φαύλων πραγμάτων γίνεται. Πῶς οὖν δύναμαι παρακαλέσαι τὴν καρδίαν μου σκανδαλισθέντων ἐν ἐμοὶ τῶν ἀνθρώπων; Κρεῖσσον οὖν τὸ ἀγαθὸν ποιεῖν καὶ δοξάζεσθαι. Ὁ δὲ ἀββᾶς Ἀβραὰμ εἶπε· Καλῶς εἶπας, πάτερ.

50. Ἠρωτήθη παρά τινος ἡ ἀμμᾶς Θεοδώρα περὶ τῶν ἀκοῶν· Πῶς δύνανται ἁπαξαπλῶς δεχόμεναι φωνὰς κοσμικῶν ἢ οἱασδήποτ᾽ οὖν εἶναι τῷ Θεῷ μόνως; Καὶ λέγει αὐτῷ· Ὥσπερ, ἐὰν κάθῃ εἰς τράπεζαν καί εἰσιν ἐδέσματα πολλὰ καὶ μεταλαμβάνεις μέν, οὐχ ἡδέως δέ, οὕτω καὶ ἐὰν λόγοι κοσμικοὶ εἰς τὰς ἀκοάς σου ἔλθωσιν, τὴν καρδίαν σου ἔχε πρὸς τὸν Θεὸν καὶ ταύτῃ τῇ διαθέσει μετὰ ἡδονῆς οὐκ ἀκούεις, οὐδὲν ἐβλάβης.



49. Ὁ ἀββᾶς Ἀβραάμ ἀπό τήν Ἰβηρία[32] ρώτησε τόν ἀββᾶ Θεόδωρο τόν Ἐλευθεροπολίτη[33]: «Ποιό εἶναι τό σωστό, πάτερ; Νά ἐπιζητῶ δόξα γιά τόν ἑαυτό μου ἤ ἀτιμία;» Καί ὁ Γέροντας λέει: «Ἐγώ πάντως προτιμῶ νά δοξασθῶ παρά νά ἀτιμασθῶ. Γιατί ἄν κάνω ἕνα καλό ἔργο καί δοξασθῶ, μπορῶ νά κατακρίνω τόν λογισμό μου ὅτι δέν ἀξίζω τή δόξα αὐτή. Ἐνῶ ἡ ἀτιμία προέρχεται ἀπό φαῦλες πράξεις. Πῶς λοιπόν μπορῶ νά παρηγορήσω τήν καρδιά μου, ἄν ἐξαιτίας μου σκανδαλίσθηκαν οἱ ἄνθρωποι; Προτιμότερο λοιπόν εἶναι νά κάνει κανείς τό καλό καί ἄς τοῦ ἀποδίδουν δόξα». Καί ὁ ἀββᾶς Ἀβραάμ εἶπε: «Σωστά εἶναι ὅσα εἶπες, πάτερ».

50. Ρωτήθηκε ἀπό κάποιον ἡ ἀμμᾶς Θεοδώρα σχετικά μέ τά ἀκούσματα πού φθάνουν στ᾽ αὐτιά μας: «Πῶς εἶναι δυνατόν —εἶπε— ὅταν γενικά τ᾽ αὐτιά μας δέχονται λόγια κοσμικῶν ἀνθρώπων ἤ ὁποιαδήποτε ἄλλα ἄσχετα, νά παραμένουν προσανατολισμένα στόν Θεό μόνο;» Καί ἡ ἀμμᾶς τοῦ λέει: «Ὅπως ἀκριβῶς ἄν κάθεσαι σέ τραπέζι ὅπου ὑπάρχουν πολλά φαγητά καί τρῶς βέβαια, ἀλλά ὄχι μέ εὐχαρίστηση, τό ἴδιο καί ὅταν κοσμικά λόγια φθάνουν στ᾽ αὐτιά σου· τήν καρδιά σου νά ἔχεις στραμμένη στόν Θεό καί μ᾽ αὐτή τή διάθεση δέν θ᾽ ἀκοῦς μέ εὐχαρίστηση καί δέν παθαίνεις καμιά ζημιά».

ἐργασία στά βάθη τῆς καρδιᾶς γιά τήν κάθαρση καί τήν ἕνωση μετά τοῦ Θεοῦ. Βλ. ὑποσημ. 115 σελ. 161 κ.ἑ.

Προβάλλοντας τό παράδειγμα τοῦ ἀββᾶ Θεωνᾶ ὁ ἀββᾶς Θεόδωρος, δίνει στόν ἀδελφό πού ἐρωτᾶ τήν ἀπάντηση.

32. Ἰβηρία: ἀρχαία ὀνομασία χωρῶν α) παρά τόν Καύκασο, σημερινή Γεωργία καί β) τῆς Ἱσπανίας καί Πορτογαλίας (Ἰβηρική χερσόνησος).

33. Ἡ Ἐλευθερόπολις ἦταν ἀρχαία πόλη στή Δ. Παλαιστίνη (περί τά 40 χλμ. ἀπό τά Ἱεροσόλυμα). Θεωρεῖται πατρίδα τοῦ ἁγίου Ἐπιφανίου, μετέπειτα ἐπισκόπου Σαλαμῖνος Κύπρου, ὁ ὁποῖος ἵδρυσε στήν περιοχή πολλά μοναστήρια.

51. Εὐκαίρησάν τινες Γέροντες εἰς Σκῆτιν ἐσθίοντες μετ' ἀλλήλων· ἦν δὲ μετ' αὐτῶν ὁ ἀββᾶς Ἰωάννης. Καὶ ἀνέστη τις πρεσβύτερος δοῦναι τὸ βαυκάλιον τοῦ νεροῦ καὶ οὐδεὶς κατεδέξατο αὐτὸ λαβεῖν παρ' αὐτοῦ, εἰ μὴ Ἰωάννης ὁ Κολοβός. Ἐθαύμασαν οὖν καὶ εἶπον αὐτῷ· Πῶς σὺ μικρότερος πάντων ὢν ἐτόλμησας ὑπηρετηθῆναι παρὰ τοῦ πρεσβυτέρου; Καὶ εἶπεν αὐτοῖς· Ἐγώ, ὅτε ἐγείρομαι δοῦναι τὸ βαυκάλιον, χαίρω, ἐὰν πάντες λάβωσιν, ἵνα ἔχω μισθόν. Κἀγὼ οὖν διὰ τοῦτο ἔλαβον, ἵνα ποιήσω αὐτῷ μισθὸν ἔχειν καὶ ἵνα μὴ λυπηθῇ ὡς μηδενὸς παρ' αὐτοῦ δεξαμένου. Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἐθαύμασαν καὶ ὠφελήθησαν ἐπὶ τῇ διακρίσει αὐτοῦ.

52. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἰωάννην λέγων· Πῶς ἡ ψυχή μου ἔχουσα τραύματα οὐκ αἰσχύνεται καταλαλεῖν τοῦ πλησίον; Λέγει αὐτῷ ὁ Γέρων παραβολὴν διὰ τὴν καταλαλιάν· Ἄνθρωπός τις ἦν πτωχὸς καὶ εἶχε γυναῖκα. Εἶδε δὲ καὶ ἄλλην πιθανὴν καὶ ἔλαβε καὶ ταύτην. Ἦσαν δὲ ἀμφότεραι γυμναί. Γενομένης δὲ πανηγύρεως ἔν τινι τόπῳ, παρεκάλεσαν αὐτὸν λέγουσαι· Ἆρον ἡμᾶς μετὰ σοῦ. Καὶ λαβὼν τὰς δύο ἔβαλεν εἰς πίθον καὶ ἐμβὰς εἰς πλοῖον ἦλθεν εἰς τὸν τόπον.

Ὅτε δὲ γέγονε καῦμα καὶ ἡσύχασαν οἱ ἄνθρωποι, ἀναβλέψασα ἡ μία καὶ μηδένα ἰδοῦσα ἐξεπήδησεν εἰς τὴν κοπρίαν. Καὶ συνάξασα παλαιὰ ῥάκη ἐποίησεν ἑαυτῇ περίζωμα· καὶ λοιπὸν μετὰ παρρησίας περιεπάτει. Ἡ δὲ ἄλλη ἔσω καθημένη γυμνὴ ἔλεγεν· Ἰδοὺ αὕτη ἡ πόρνη οὐκ αἰσχύνεται περιπατοῦσα γυμνή. Διαπονηθεὶς δὲ ὁ ἀνὴρ αὐτῆς εἶπεν· Ὢ θαῦμα! Αὕτη κἂν σκέπει τὴν ἀσχημοσύνην αὐτῆς· σὺ δὲ ὅλη

51. Εἶχαν τήν εὐκαιρία κάποτε μερικοί Γέροντες στή Σκήτη νά συμφάγουν· μαζί τους ἦταν καί ὁ ἀββᾶς Ἰωάννης. Σηκώθηκε κάποια στιγμή ἕνας γηραλέος στήν ἡλικία νά προσφέρει τό κανάτι τοῦ νεροῦ καί κανείς δέν ἅπλωσε τό χέρι νά τό πάρει ἀπό τό χέρια του, ἐκτός ἀπό τόν Ἰωάννη* τόν Κολοβό. Ἀπόρησαν μ' αὐτό καί τοῦ λένε: «Πῶς ἐσύ ἐνῶ εἶσαι μικρότερος ἀπ' ὅλους, τόλμησες νά ὑπηρετηθεῖς ἀπό τόν μεγαλύτερο;» Καί τούς ἀποκρίθηκε: «Ἐγώ ὅταν σηκώνομαι νά δώσω τό κανάτι, χαίρομαι ἄν τό πάρουν ὅλοι, γιά νά 'χω μισθό. Κι ἐγώ τώρα γι' αὐτό τό πῆρα, γιά νά συντελέσω νά 'χει μισθό καί νά μή λυπηθεῖ πώς κανείς δέν τό πῆρε ἀπό τά χέρια του». Μ' αὐτά πού εἶπε, θαύμασαν τή διάκρισή του καί ὠφελήθηκαν.

52. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ἰωάννη: «Πῶς ἡ ψυχή μου ἐνῶ ἔχει τραύματα, δέν ντρέπεται νά κατηγορεῖ τόν πλησίον;» Καί τοῦ λέει ὁ Γέροντας μιά παραβολή γιά τήν καταλαλιά. «Ἕνας ἄνθρωπος φτωχός εἶχε γυναίκα. Εἶδε ὅμως καί μιά ἄλλη ὡραία καί πῆρε κι αὐτήν. Καί ἦσαν καί οἱ δύο γυμνές. Γινόταν σέ κάποιον τόπο πανηγύρι καί τόν παρακάλεσαν: Πάρε κι ἐμᾶς μαζί σου. Τίς παίρνει λοιπόν καί τίς δυό καί τίς βάζει σ' ἕνα πιθάρι. Ἔτσι μπαίνει σ' ἕνα καράβι καί φθάνει στόν τόπο τοῦ πανηγυριοῦ.

Κάποια ὥρα πού ἔκανε πολλή ζέστη καί οἱ ἄνθρωποι ἀποσύρθηκαν στά καταλύματά τους, ἡ μιά ἀπ' τίς δυό σήκωσε τό κεφάλι της καί μή βλέποντας κανένα, πήδηξε ἔξω στήν κοπριά. Ἐκεῖ μάζεψε παλιά κουρέλια καί ἔκανε ἕνα πρόχειρο ροῦχο μέ τό ὁποῖο κάλυψε τή γύμνια της. Ἔτσι ἄρχισε νά περπατάει θαρρετά. Ἡ ἄλλη πού καθόταν στό πιθάρι γυμνή, ἔλεγε: Νά αὐτή ἡ πόρνη δέν ντρέπεται νά γυρνάει γυμνή. Ἐνοχλήθηκε ὁ ἄνδρας της καί τῆς λέει: Περίεργο! Αὐτή τουλάχιστον σκεπάζει τήν ἀσχημοσύνη της. Ἐνῶ ἐσύ

γυμνὴ εἶ καὶ ταῦτα οὐκ αἰσχύνῃ λαλοῦσα; Οὕτως ἐστὶ καὶ τὸ τῆς καταλαλιᾶς.

53. Ἔλεγε πάλιν τῷ ἀδελφῷ ὁ Γέρων περὶ τῆς ψυχῆς τῆς θελούσης μετανοῆσαι· Πόρνη ἦν ὡραία ἐν πόλει καὶ πολλοὺς φίλους εἶχεν. Ἐλθὼν δὲ πρὸς αὐτὴν εἷς ἄρχων εἶπεν αὐτῇ· Συνθοῦ μοι σωφρονεῖν κἀγώ σε λαμβάνω εἰς γυναῖκα. Ἡ δὲ συνέθετο αὐτῷ. Καὶ λαβὼν αὐτὴν ἀπήγαγεν εἰς τὸν οἶκον αὐτοῦ. Οἱ δὲ φίλοι αὐτῆς ζητοῦντες αὐτὴν ἔλεγον· Ὁ δεῖνα ὁ ἄρχων ἔλαβεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ· ἐὰν οὖν ἀπέλθωμεν εἰς τὸν οἶκον αὐτοῦ καὶ μάθῃ, τιμωρεῖται ἡμᾶς. Ἀλλὰ δεῦτε ὀπίσω τῆς οἰκίας καὶ συρίσωμεν αὐτῇ· καὶ γνωρίζουσα τὸν συρισμὸν καταβαίνει πρὸς ἡμᾶς, καὶ ἡμεῖς ἀναίτιοι εὑρισκόμεθα. Ἀκούσασα οὖν τοῦ συρισμοῦ ἐσφράγισε τὰ ὦτα αὐτῆς καὶ εἰσεπήδησεν εἰς τὸν ἐνδότατον κοιτῶνα καὶ ἔκλεισε τὰς θύρας.

Ἔλεγε δὲ τὴν πόρνην εἶναι τὴν ψυχήν, οἱ δὲ φίλοι αὐτῆς εἰσι τὰ πάθη καὶ οἱ ἄνθρωποι, ὁ δὲ ἄρχων ἐστὶν ὁ Χριστός, ἡ δὲ οἰκία ἡ ἐσωτάτη ἐστὶν ἡ αἰωνία μονή, οἱ δὲ συρίζοντες αὐτῇ εἰσιν οἱ πονηροὶ δαίμονες. Αὐτὴ δὲ διαπαντὸς φεύγει πρὸς τὸν Κύριον.

54. Ἠρώτησέ τις τῶν Πατέρων τὸν ἀββᾶν Ἰωάννην τὸν Κολοβόν· Τί ἐστι μοναχός; Ὁ δὲ εἶπε· Κόπος· ὁ γὰρ μοναχὸς εἰς πᾶν ἔργον κοπιᾷ· οὗτος μοναχός.

55. Ἦλθόν ποτε τὸν ἀββᾶν Ἰσαὰκ ποιῆσαι πρεσβύτερον. Καὶ ἀκούσας ἔφυγεν εἰς Αἴγυπτον καὶ ἀπῆλθεν εἰς ἀγρὸν καὶ ἐκρύβη ἀναμέσον τοῦ χόρτου. Κατεδίωξαν οὖν οἱ Πατέρες ὀπίσω αὐτοῦ. Καὶ φθάσαντες εἰς αὐτὸν τὸν ἀγρὸν κατέλυσαν

εἶσαι ὁλόγυμνη καί μάλιστα δέν ντρέπεσαι νά μιλᾶς. Ἔτσι συμβαίνει καί μέ τήν καταλαλιά».

53. Εἶπε ἐπίσης ὁ Γέροντας στόν ἀδελφό γιά τήν ψυχή πού θέλει νά μετανοήσει: «Ἦταν μιά πόρνη ὄμορφη σέ κάποια πόλη καί εἶχε πολλούς φίλους. Τήν βρῆκε ἕνας ἄρχοντας καί τῆς λέει: Δός μου τόν λόγο σου νά ἀφήσεις τήν ἁμαρτωλή ζωή καί ἐγώ σέ παίρνω γιά γυναίκα μου. Αὐτή συμφώνησε καί ὁ ἄρχοντας τήν πῆρε καί τήν πῆγε στό σπίτι του.

Οἱ φίλοι της τήν ἀναζητοῦσαν καί ἔλεγαν: Ὁ τάδε ἄρχοντας τήν πῆρε στό σπίτι του. Ἄν ἐμφανιστοῦμε στό σπίτι του καί τό μάθει, θά μᾶς τιμωρήσει. Νά πᾶμε λοιπόν πίσω ἀπό τό σπίτι καί νά τῆς σφυρίξουμε. Αὐτή γνωρίζει τό συνθηματικό σφύριγμα καί θά κατεβεῖ. Ἔτσι ἐμεῖς ἀπαλλασσόμαστε ἀπό τήν εὐθύνη. Ἐκείνη ἄκουσε τό σφύριγμα, ἀλλά βούλωσε τ᾽ αὐτιά της καί κατέφυγε βιαστικά στόν βαθύτερο κοιτώνα κλείνοντας τίς πόρτες».

Τήν πόρνη τήν ἀνέφερε σάν σύμβολο τῆς ψυχῆς· οἱ φίλοι συμβολίζουν τά πάθη καί τούς ἀνθρώπους· ὁ ἄρχοντας εἶναι ὁ Χριστός, ἐνῶ ὁ ἐσώτατος κοιτώνας εἶναι ἡ αἰώνια κατοικία· αὐτοί πού σφυρίζουν στήν ψυχή εἶναι οἱ πονηροί δαίμονες. Καί αὐτή καταφεύγει συνεχῶς πρός τόν Κύριο.

54. Ρώτησε κάποιος ἀπό τούς Πατέρες τόν ἀββᾶ Ἰωάννη τόν Κολοβό: «Τί σημαίνει μοναχός;» Κι ἐκεῖνος ἀποκρίθηκε: «Κόπος. Γιατί ὁ μοναχός σέ κάθε ἔργο κοπιάζει. Αὐτός εἶναι μοναχός».

55. Πῆγαν κάποτε νά κάνουν πρεσβύτερο τόν ἀββᾶ Ἰσαάκ. Ἐκεῖνος σάν τό ἄκουσε, ἔφυγε στήν Αἴγυπτο, πῆγε σέ κάποιο χωράφι καί κρύφθηκε μέσα στά σπαρτά. Οἱ Πατέρες τόν πῆραν ἀπό πίσω. Φθάνοντας σ᾽ αὐτόν τόν ἀγρό σταμά-

ἀναπαῆναι μικρὸν ἐκεῖ· ἦν γὰρ νύξ. Καὶ τὸν ὄνον ἀπέλυσαν βόσκεσθαι. Ὁ δὲ ὄνος ἀπελθὼν ἔστη κατὰ τοῦ Γέροντος. Καὶ τὸ πρωὶ ζητοῦντες τὸν ὄνον εὗρον καὶ τὸν ἀββᾶν Ἰσαὰκ καὶ ἐθαύμασαν. Θέλοντες δὲ αὐτὸν δῆσαι, οὐκ ἀφῆκε λέγων· Οὐκέτι φεύγω· θέλημα γὰρ Θεοῦ ἐστι καί, ὅπου δ' ἂν φύγω, εἰς αὐτὸ ἔρχομαι.

56. Εἶπεν ὁ ἀββᾶς Ἰσαάκ· Μὴ φέρετε ὧδε παιδία· τέσσαρες γὰρ ἐκκλησίαι εἰς Σκῆτιν ἔρημοι γεγόνασι διὰ τὰ παιδία.

57. Ἠρώτησεν ὁ ἀββᾶς Ποιμὴν τὸν ἀββᾶν Ἰωσὴφ λέγων· Τί ποιήσω, ὅταν προσεγγίζῃ τὰ πάθη; Ἀντιστῶ αὐτοῖς ἢ ἀφήσω εἰσελθεῖν; Λέγει αὐτῷ ὁ Γέρων· Ἄφες αὐτὰ εἰσελθεῖν καὶ πολέμησον μετ' αὐτῶν. Ἀνακάμψας οὖν ἐν Σκήτει ἐκάθητο.

Καὶ ἐλθών τις τῶν Θηβαίων ἐκεῖ ἔλεγε τοῖς ἀδελφοῖς ὅτι· Ἠρώτησα τὸν ἀββᾶν Ἰωσὴφ λέγων ὅτι· Ἐὰν προσεγγίσῃ μοι πάθος, ἀντιστῶ αὐτῷ ἢ ἀφήσω εἰσελθεῖν; Καὶ εἶπέ μοι· Μὴ ἀφήσῃς ὅλως εἰσελθεῖν τὰ πάθη, ἀλλ' εὐθέως ἔκκοψον αὐτά. Ἀκούσας δὲ ὁ ἀββᾶς Ποιμὴν ὅτι οὕτως εἶπε τῷ Θηβαίῳ ὁ ἀββᾶς Ἰωσὴφ ἀναστὰς ἀπῆλθε πρὸς αὐτὸν εἰς Πανεφὼ καὶ λέγει αὐτῷ· Ἀββᾶ, ἐγὼ ἐπίστευσά σοι τοὺς λογισμούς μου καὶ ἰδοὺ ἄλλως εἶπας τῷ Θηβαίῳ. Λέγει αὐτῷ ὁ Γέρων· Οὐκ οἶδας ὅτι ἀγαπῶ σε; Καὶ εἶπε· Ναί. Καὶ λέγει· Οὐ σὺ ἔλεγες ὡς ἑαυτῷ εἰπέ μοι; Καὶ εἶπεν· Οὕτως ἔχει. Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν γὰρ εἰσέλθωσι τὰ πάθη καὶ δῷς καὶ λάβῃς μετ' αὐτῶν, δοκιμώτερόν σε καθιστῶσιν. Ἐγὼ δὲ ὡς ἐμαυτῷ ἐλάλησά σοι. Εἰσὶ δὲ ἄλλοι, οἷς οὐδὲ προσεγγίσαι τὰ πάθη συμφέρει· ἀλλ' εὐθέως ἐκκόψαι αὐτὰ χρείαν ἔχουσιν.

34. Δηλαδή: στό θέλημα τοῦ Θεοῦ.

35. Βλ. ὑποσημ. 5 σελ. 24.

36. Πανεφὼ ἢ Πανέφυσις: Ἀρχαία πόλη τῆς Κάτω Αἰγύπτου. Σήμερα φέρει τό ὄνομα Μεντζάλα ἐλ Χαγίτ. Βλ. Χάρτη σελ. 8-9.

τησαν νά ξεκουραστοῦν λίγο, γιατί τούς βρῆκε ἡ νύκτα. Τόν ὄνο τόν ἄφησαν νά βοσκήσει καί πῆγε τό ζῶο καί στάθηκε ἀπέναντι ἀπό τόν Γέροντα. Τό πρωί ζητώντας τόν ὄνο, βρῆκαν καί τόν ἀββᾶ Ἰσαάκ καί θαύμασαν. Θέλοντας νά τόν δέσουν, δέν τούς ἄφησε λέγοντας: «Δέν φεύγω πιά· εἶναι θέλημα Θεοῦ, καί ὅπου κι ἄν φύγω, σ' αὐτό θά ἐπιστρέψω[34]».

56. Εἶπε ὁ ἀββᾶς Ἰσαάκ: «Μή φέρνετε ἐδῶ παιδιά. Τέσσερες ἐκκλησίες στή Σκήτη ἐρημώθηκαν ἐξαιτίας τῶν παιδιῶν».

57. Ρώτησε ὁ ἀββᾶς Ποιμήν τόν ἀββᾶ Ἰωσήφ: «Ὅταν μέ πλησιάζουν τά πάθη, τί νά κάνω; Νά ἀντισταθῶ σ' αὐτά ἤ νά τά ἀφήσω νά μποῦν;» Κι ὁ Γέροντας τοῦ λέει: «Ἄφησέ τα νά μποῦν καί πολέμησέ τα». Γύρισε λοιπόν στή Σκήτη καί συνέχιζε τήν ἄσκησή του.

Κάποια μέρα πῆγε ἐκεῖ κάποιος ἀπό τούς Θηβαίους μοναχούς[35] καί ἔλεγε στούς ἀδελφούς: «Ρώτησα τόν ἀββᾶ Ἰωσήφ, ἄν μέ προσεγγίσει ἕνα πάθος, νά ἀντισταθῶ ἤ νά τ' ἀφήσω νά εἰσέλθει; Καί μοῦ εἶπε: Μήν ἀφήνεις καθόλου νά εἰσέρχονται τά πάθη, ἀλλά ἀμέσως ἀπόρριψέ τα». Σάν ἄκουσε ὁ ἀββᾶς Ποιμήν ὅτι ἔτσι εἶπε στόν Θηβαῖο ὁ ἀββᾶς Ἰωσήφ, σηκώθηκε καί πῆγε στήν Πανεφώ[36], τόν βρίσκει καί τοῦ λέει: «Ἀββᾶ, ἐγώ σοῦ ἐμπιστεύθηκα τούς λογισμούς μου καί νά πού στόν Θηβαῖο εἶπες ἄλλα πράγματα». Καί ὁ Γέροντας τοῦ λέει: «Δέν τό ξέρεις ὅτι σέ ἀγαπῶ;» «Ναί» ἀποκρίθηκε. Καί συνεχίζει: «Δέν μοῦ ἔλεγες ἐσύ νά σοῦ μιλῶ ὅπως θά μιλοῦσα στόν ἑαυτό μου;» «Ναί —ἀπαντᾶ— ἔτσι εἶναι». Λέει τότε ὁ Γέροντας: «Ἄν δηλαδή τά πάθη εἰσέλθουν καί ἔρθεις ἀντιμέτωπος μ' αὐτά, σέ καθιστοῦν πιό ἱκανό. Ἐγώ σοῦ μίλησα ὅπως θά μιλοῦσα στόν ἑαυτό μου. Εἶναι ὅμως ἄλλοι πού δέν τούς συμφέρει οὔτε νά τούς προσεγγίσουν τά πάθη. Καί πρέπει αὐτοί εὐθύς ἐξαρχῆς νά τά ἀποκρούσουν».

58. Ἀδελφός τις ἠρώτησε τὸν ἀββᾶν Ἰωσὴφ λέγων· Τί ποιήσω ὅτι οὔτε κακοπαθῆσαι δύναμαι οὔτε ἐργάσασθαι καὶ δοῦναι ἀγάπην; Λέγει αὐτῷ ὁ Γέρων· Εἰ οὐ δύνασαι τούτων οὐδὲ ἓν ποιῆσαι, κἂν τήρησον τὴν καρδίαν σου ἀπὸ τοῦ πλησίον, ἀπὸ παντὸς κακοῦ, καὶ σῴζῃ.

59. Ἔλεγέ τις τῶν ἀδελφῶν ὅτι· Παρέβαλόν ποτε εἰς Ἡράκλειον τὸ κάτω πρὸς τὸν ἀββᾶν Ἰωσὴφ καὶ εἶχεν ἐν τῷ μοναστηρίῳ συκάμινον ὡραῖον πάνυ καὶ λέγει μοι ἀπὸ πρωΐ· Ὕπαγε· φάγε. Ἦν δὲ Παρασκευὴ καὶ οὐκ ἀπῆλθον διὰ τὴν νηστείαν καὶ παρακαλέσας αὐτὸν εἶπον· Διὰ τὸν Θεὸν εἰπέ μοι τὸν λογισμὸν τοῦτον· ἰδοὺ σὺ ἔλεγές μοι· Ὕπαγε· φάγε· ἐγὼ δὲ διὰ τὴν νηστείαν οὐκ ἀπῆλθον. Καὶ ἤμην αἰσχυνόμενος τὴν σὴν ἐντολήν, λογιζόμενος ποίῳ λογισμῷ ἔλεγέ μοι ὁ Γέρων. Τί οὖν εἶχον ποιῆσαι ὅτι ἔλεγές μοι· Ὕπαγε. Ὁ δὲ εἶπεν· Οἱ Πατέρες ἐξαρχῆς οὐ λέγουσι τοῖς ἀδελφοῖς τὰ ὀρθὰ ἀλλὰ μᾶλλον τὰ στρεβλὰ καί, ἐὰν ἴδωσιν ὅτι ποιοῦσι τὰ στρεβλά, οὐκέτι λαλοῦσιν αὐτοῖς τὰ στρεβλά, ἀλλὰ τὴν ἀλήθειαν ἰδόντες ὅτι εἰς πάντα ὑπήκοοί εἰσι.

60. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἰωσὴφ λέγων ὅτι· Θέλω ἐξελθεῖν ἐκ τοῦ κοινοβίου καὶ καθίσαι κατὰ μόνας. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὅπου βλέπεις τὴν ψυχήν σου ἀναπαυομένην καὶ μὴ βλαπτομένην, κάθισον. Λέγει αὐτῷ ὁ ἀδελφός· Καὶ εἰς

37. Τόν ὅρο ἀνάπαυση τῆς ψυχῆς (ἀναπαύω-ομαι) στή διδαχή τῶν Γερόντων δέν πρέπει νά τόν συγχέουμε μέ τήν ἔννοια τοῦ βολέματος ἤ ἀκόμη τήν συναισθηματική ἱκανοποίηση, πού μπορεῖ νά προέρχεται ἀπό διάφορους λόγους ἄσχετους. Ἀναπαύεται ἡ ψυχή σημαίνει ὅτι βρίσκει τίς προϋποθέσεις, στόν

58. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ἰωσήφ: «Τί νά κάνω; Δέν εἶμαι ἱκανός οὔτε νά κακοπαθήσω οὔτε νά ἐργαστῶ καί νά δώσω ἐλεημοσύνη». Ὁ Γέροντας τοῦ λέει: «Ἄν κανένα ἀπ' αὐτά δέν μπορεῖς νά κάνεις, τουλάχιστον φύλαξε τήν καρδιά σου καθαρή ἀπέναντι τοῦ πλησίον ἀπό κάθε κακό καί θά σωθεῖς».

59. Ἔλεγε κάποιος ἀπό τούς ἀδελφούς: «Πῆγα κάποτε στό Ἡράκλειο, πού εἶναι στήν πεδιάδα, στόν ἀββᾶ Ἰωσήφ. Στό μοναστήρι του εἶχε μιά πολύ ὡραία μουριά καί μοῦ εἶπε ἀπό τό πρωί: Πήγαινε καί φάγε. Ἦταν ὅμως Παρασκευή καί δέν πῆγα λόγω τῆς νηστείας. Τόν παρεκάλεσα κατόπιν καί τοῦ εἶπα: Γιά τ' ὄνομα τοῦ Θεοῦ μίλησέ μου γιά τόν λογισμό αὐτόν. Νά, ἐσύ μοῦ ἔλεγες, πήγαινε καί φάγε, καί ἐγώ δέν πῆγα, ἐπειδή ἦταν νηστεία. Ἀλλά ἔνιωθα ντροπιασμένος γιά τήν ἀθέτηση τῆς ἐντολῆς σου, καθώς σκεπτόμουν, ποιά ἔννοια νά εἶχαν τά λόγια τοῦ Γέροντα; Τί λοιπόν ἔπρεπε νά κάνω; Γιατί μοῦ ἔλεγες: Πήγαινε. Κι ἐκεῖνος εἶπε: Οἱ Πατέρες δέν λένε ἐξαρχῆς στούς ἀδελφούς τά σωστά, ἀλλά μᾶλλον τά στραβά. Καί ἄν δοῦν ὅτι κάνουν τά στραβά, τότε πιά δέν τούς λένε τά στραβά ἀλλά τήν ἀλήθεια, γιατί βλέπουν ὅτι σ' ὅλα εἶναι ὑπάκουοι».

60. Ἕνας ἀδελφός ζήτησε τή γνώμη τοῦ ἀββᾶ Ἰωσήφ: «Θέλω νά φύγω —τοῦ εἶπε— ἀπό τό Κοινόβιο καί νά ἀσκητεύσω μόνος». Καί ὁ Γέροντας τοῦ λέει: «Ὅπου βλέπεις ὅτι ἀναπαύεται[37] ἡ ψυχή σου καί δέν βλάπτεται, μεῖνε». «Καί

τόπο πού μένει, νά ὠφελεῖται καί νά προάγεται κατά Θεόν· καί τότε ἀκολουθεῖ ἡ ἀνάπαυση καί ὡς πληρότητα ψυχῆς, ὡς χαρά καί εἰρήνη πού εἶναι καρποί τοῦ ἁγίου Πνεύματος. Ἄλλωστε καί στίς ἀποκρίσεις τοῦ Γέροντα, καί στήν

κοινόβιον ἀναπαύομαι καὶ κατὰ μόνας· τί οὖν θέλεις ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Εἰ ἀναπαύῃ εἰς τὸ κοινόβιον καὶ κατὰ μόνας, στῆσον τοὺς δύο λογισμούς σου ὡς ἐν ζυγῷ καὶ ὅπου βλέπεις ὅτι πλέον ἐκεῖ ὠφελεῖται καὶ κατάγει ὁ λογισμός σου, τοῦτο ποίησον.

61. Παρεβάλομεν ἐγὼ καὶ ὁ σοφιστὴς Σωφρόνιος τῷ ἀββᾷ Ἰωσὴφ εἰς τὸ Ἔνατον. Ὁ δὲ Γέρων ἀσμένως μετὰ πάσης προθυμίας ὡμίλει ἡμῖν. Ἦν δὲ Γέρων πάσῃ ἀρετῇ κεκοσμημένος ἔχων πεῖραν καὶ τῆς ἔξω παιδείας. Ἡμῶν δὲ καθεζομένων καὶ ὁμιλούντων περὶ ψυχωφελῶν πραγμάτων, ἰδοὺ φιλόχριστός τις ἐλθὼν ἀπὸ Ἀϊλὰ δίδωσι τῷ Γέροντι νομίσματα τρία λέγων· Δέξαι ταῦτα, τίμιε πάτερ, ὅπως εὔξῃ ὑπὲρ τοῦ πλοίου μου, ὅτι ἐνεθηκίασα καὶ ἀπέστειλα αὐτὸ εἰς Αἰθιοπίαν. Ὁ δὲ Γέρων οὐδόλως προσέσχεν αὐτῷ. Ὁ δὲ κύριος Σωφρόνιος λέγει τῷ Γέροντι· Δέξαι αὐτά, πάτερ, καὶ δὸς αὐτὰ ἀδελφοῖς χρῄζουσι. Καὶ λέγει ὁ Γέρων· Διπλῆ αἰσχύνη ἐστί, τέκνον, ἵνα λάβω ἅπερ μὴ χρῄζω καὶ ἰδίαις χερσὶ θερίσω ἀλλοτρίας ἀκάνθας. Εἴθε τὰς τῆς ἰδίας ψυχῆς μου θερίσω ἀκάνθας. Γέγραπται γάρ· Ἐὰν σπείρῃς, τὰ σὰ σπεῖρον, τὰ γὰρ ἀλλότρια ζιζανίων πικρότερα. Καὶ μάλιστα, τέκνον, ὅτι οὐκ ἔστι περὶ ψυχῆς ἡ αἴτησις.

Καὶ λέγει αὐτῷ· Τί οὖν; Ὅσα ποιεῖ ἄνθρωπος εἰς ἐλεημοσύνην, οὐ λογίζεται αὐτὰ ὁ Θεός; Καὶ λέγει ὁ Γέρων· Τέκνον, πολλαί εἰσι διαφοραὶ ἐπὶ τοῦ σκοποῦ τῆς ἐλεημοσύνης. Ἔστι

πρώτη καί στήν δεύτερη, σαφῶς προβάλλεται ὡς προϋπόθεση ἡ οἰκοδομή τῆς ψυχῆς.

Μερικές φορές χρησιμοποιεῖται μέ τήν ἔννοια τῆς ξεκούρασης, τῆς ανακούφισης, τῆς ἠρεμίας, τῆς εὐχαρίστησης μέ τήν καλή ἔννοια.

στό Κοινόβιο ἀναπαύομαι —ἀποκρίθηκε ὁ ἀδελφός— καί ζώντας μόνος. Τί θέλεις λοιπόν νά κάνω;» Καί ὁ Γέροντας συνέχισε: «Ἀφοῦ ἀναπαύεσαι καί στό Κοινόβιο καί ζώντας μόνος, βάλε τούς δυό λογισμούς σου σάν σέ ζυγαριά καί ὅπου βλέπεις ὅτι περισσότερο ὠφελεῖται καί γέρνει ὁ λογισμός σου, κάνε αὐτό».

61. Ἐπισκεφθήκαμε ἐγώ καί ὁ σοφός Σωφρόνιος τόν ἀββᾶ Ἰωσήφ στό Ἔνατο[38]. Καί ὁ Γέροντας μᾶς μιλοῦσε μέ πολλή χαρά καί προθυμία. Αὐτός ὁ Γέροντας ἦταν στολισμένος μέ ὅλες τίς ἀρετές· εἶχε μάλιστα καί τήν ἐξωχριστιανική μόρφωση. Καθώς καθόμασταν καί συζητούσαμε ψυχωφέλιμα, νά καί κάποιος φιλόχριστος πού ἐρχόταν ἀπό τόν Ἀϊλά· δίνει στόν Γέροντα τρία νομίσματα λέγοντας: «Δέξου τα, τίμιε πάτερ, γιά νά εὐχηθεῖς γιά τό καράβι μου· γιατί τό φόρτωσα μέ ἐμπόρευμα καί ταξιδεύει γιά τήν Αἰθιοπία». Ὁ Γέροντας ὅμως δέν τοῦ 'δωσε σημασία. Καί ὁ κύριος Σωφρόνιος λέει στόν Γέροντα: «Δέξου τα, πάτερ, καί δῶσ' τα σέ ἀδελφούς πού ἔχουν ἀνάγκη». «Εἶναι διπλή ντροπή, παιδί μου —ἀποκρίθηκε ὁ Γέροντας— νά πάρω αὐτά πού δέν τά ἔχω ἀνάγκη, καί μέ τά ἴδια μου τά χέρια νά θερίσω ξένα ἀγκάθια. Μακάρι νά θερίσω τῆς δικῆς μου ψυχῆς τά ἀγκάθια. Γιατί εἶναι γραμμένο: Ἐάν σπείρεις, νά σπείρεις τά δικά σου, γιατί τά ξένα εἶναι χειρότερα καί ἀπό τά ζιζάνια· καί μάλιστα, παιδί μου, ὅταν ἡ αἴτηση δέν ἀφορᾶ τήν ψυχή».

«Τί συμβαίνει λοιπόν —ρωτάει ἐκεῖνος— ὅσα δίνει ὁ ἄνθρωπος γιά ἐλεημοσύνη, δέν τά λογαριάζει ὁ Θεός;» «Παιδί μου —ἀποκρίνεται ὁ Γέροντας— ἡ ἐλεημοσύνη γίνεται γιά

---

38. Ἔνατον: Συνήθιζαν νά ἀποκαλοῦν τίς Μονές μέ τήν ἀπόσταση πού εἶχαν ἀπό τήν Ἀλεξάνδρεια. Ἔνατον ἦταν αὐτό πού ἀπεῖχε ἐννέα μίλια ἀπό τήν Ἀλεξάνδρεια (ἕνα μίλι = 1.535 μ.).

γάρ τις ποιῶν ἐλεημοσύνην διὰ τὸ εὐλογηθῆναι τὸν οἶκον αὐτοῦ καὶ ὁ Θεὸς εὐλογεῖ τὸν οἶκον αὐτοῦ. Ἄλλος ποιεῖ ἐλεημοσύνην διὰ τὸ πλοῖον αὐτοῦ καὶ ὁ Θεὸς σῴζει τὸ πλοῖον αὐτοῦ. Ἄλλος ποιεῖ ἐλεημοσύνην διὰ τὰ τέκνα αὐτοῦ καὶ ὁ Θεὸς φυλάττει τὰ τέκνα αὐτοῦ. Ἄλλος ποιεῖ διὰ τὸ δοξασθῆναι καὶ ὁ Θεὸς δοξάζει αὐτόν. Καὶ οὐκ ἀθετεῖ ὁ Θεός τινα, ἀλλ' ὃ θέλει ἕκαστος παρέχει αὐτῷ, ὅταν μὴ βλάπτηται ἐκ τούτου ἡ ψυχὴ αὐτοῦ. Ἀλλ' οὗτοι πάντες ἀπέχουσι τὸν μισθὸν αὐτῶν· οὐδὲν γὰρ ἀπέθεντο ἑαυτοῖς παρὰ τῷ Θεῷ, ἐπειδὴ καὶ ὁ σκοπὸς τῆς ἐλεημοσύνης οὐκ ἔστι διὰ τὴν τῆς ψυχῆς ὠφέλειαν. Ἐποίησας ἐλεημοσύνην διὰ τὸ εὐλογηθῆναι τὸν οἶκόν σου; Ὁ Θεὸς εὐλόγησε τὸν οἶκόν σου. Ἐποίησας διὰ τὸ πλοῖον; Ὁ Θεὸς ἔσωσέ σου τὸ πλοῖον. Ἐποίησας διὰ τὰ τέκνα; Ὁ Θεὸς ἐφύλαξε τὰ τέκνα. Ἐποίησας διὰ τὸ δοξασθῆναι; Ὁ Θεὸς ἐδόξασέ σε· τί οὖν σοι χρεωστεῖ; Ποίησον γοῦν διὰ τὴν ψυχήν σου, ἵνα σωθῇ ἡ ψυχή σου. Γέγραπται γάρ· Δῴη σοι Κύριος ὁ Θεὸς κατὰ τὴν καρδίαν σου. Εἰσὶ γὰρ πολλοὶ πλούσιοι καὶ δοκοῦντες ποιεῖν ἐλεημοσύνην παροργίζουσι τὸν Θεόν.

Καὶ λέγομεν αὐτῷ· Σαφήνισον ἡμῖν τὸν λόγον, πάτερ. Ὁ δέ φησιν· Ὁ μὲν Θεὸς προσέταξε τὰς ἀπαρχὰς τῶν γεννημάτων, σίτου καὶ κριθῆς καὶ χεδρόπων, οἴνου τε καὶ ἐλαίου, ἐραίας καὶ ὀπώρας, καὶ ἀπὸ ἀνθρώπων τὰ πρωτότοκα καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, ὥστε μὴ ἔχειν αὐτὰ μῶμον, τουτέστι μὴ εἶναι ὠτότμητα ἢ κολοβόκερκα, καὶ ἀπὸ τῶν καρπῶν τὰ διάφορα προσφέρειν Θεῷ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν. Οἱ δὲ πλούσιοι τὸ ἐναντίον ποιοῦσι· τὰ μέντοι χρήσιμα κατεσθίουσι, τὰ δὲ ἄχρηστα τοῖς πτωχοῖς διδόασι· τὸν μὲν διάφορον οἶνον

39. Ψαλμ. 19, 5.

40. Ἡ πρώτη σημασία τῆς λ. ἐραία τοῦ ἀρχαίου κειμένου σημαίνει κλαδί ἤ τό σκυβαλῶδες τῆς ἐλιᾶς. Ἐδῶ χρησιμοποιεῖται ἀντί τοῦ ἐρέα, ἔριον (μαλλί).

41. Ἔξ. 13, 1-2 καί 14-15· Ἀριθ. 3, 12-13.

διάφορους σκοπούς. Κάποιος κάνει ἐλεημοσύνη γιά νά εὐλογηθεῖ τό σπίτι του καί ὁ Θεός τό εὐλογεῖ. Ἄλλος δίνει ἐλεημοσύνη γιά τό καράβι του καί ὁ Θεός σώζει τό καράβι του. Ἄλλος γιά τά παιδιά του κάνει ἐλεημοσύνη καί ὁ Θεός προστατεύει τά παιδιά του, κι ἄλλος κάνει γιά νά δοξασθεῖ καί ὁ Θεός τόν δοξάζει. Δέν ἀπορρίπτει ὁ Θεός τήν αἴτηση κανενός καί ὅ,τι ζητάει τοῦ τό δίνει, ὅταν φυσικά δέν ζημιώνει ἀπ' αὐτό ἡ ψυχή του. Ἀλλά ὅλοι αὐτοί δέν ἔχουν νά περιμένουν μισθό, γιατί δέν κατέθεσαν τίποτε στόν Θεό γιά λογαριασμό τους, ἐφόσον καί ὁ σκοπός τῆς ἐλεημοσύνης δέν ἀφορᾶ τήν ὠφέλεια τῆς ψυχῆς. Ἔκανες ἐλεημοσύνη γιά νά εὐλογηθεῖ τό σπίτι σου καί ὁ Θεός τό εὐλόγησε· ἔκανες γιά τό καράβι σου καί ὁ Θεός σοῦ ἔσωσε τό καράβι· ἔκανες γιά τά παιδιά σου καί ὁ Θεός τά φύλαξε τά παιδιά· ἔκανες γιά νά δοξασθεῖς καί ὁ Θεός σέ δόξασε. Τί λοιπόν σοῦ χρωστάει; Κάνε γιά τήν ψυχή σου, γιά νά σωθεῖ ἡ ψυχή σου. Γιατί ἡ Γραφή λέει: Θά σοῦ δώσει ὁ Κύριος ὁ Θεός κατά τήν καρδιά σου[39]. Εἶναι πολλοί πλούσιοι πού ἐνῶ φαίνεται ὅτι κάνουν ἐλεημοσύνη, ἐξοργίζουν τόν Θεό».

Τοῦ εἴπαμε τότε: «Ἐξήγησέ μας, πάτερ, τί ἐννοεῖς μ' αὐτό». Καί ἐκεῖνος εἶπε: «Εἶναι ἐντολή Θεοῦ τούς πρώτους καρπούς ἀπό τά γεννήματα, ἀπό τό σιτάρι, τό κριθάρι, τά ὄσπρια, ἀπό τό κρασί καί τό λάδι, τό μαλλί[40] καί τά φροῦτα καί ἀπό τούς ἀνθρώπους τά πρωτότοκα[41], ἀπό τά ζῶα τά καθαρά, πού νά μήν ἔχουν κανένα ψεγάδι, δηλαδή κομμένα αὐτιά ἤ κομμένη οὐρά, καί ἀπό τούς καρπούς τά πιό ἐκλεκτά[42] νά τά προσφέρουμε στόν Θεό γιά τή συγχώρεση τῶν ἁμαρτιῶν μας. Οἱ πλούσιοι λοιπόν κάνουν τό ἀντίθετο. Τά πιό καλά τά καταβροχθίζουν καί τά ἄχρηστα τά δίνουν

42. Ἀπαρχαί: Λευϊτ. 23, 10-14. Βλ. *Λεξικόν ἁγίων Γραφῶν* Γ. Κωνσταντίνου, σελ. 114-5, Ἐκδ. Γρηγόρη, Ἀθῆναι 1973.

πίνουσι, τὸν δὲ ὀξίζοντα χήραις καὶ ὀρφανοῖς παρέχουσιν. Ἱμάτια ῥακώδη καὶ πολύρραφα τοῖς πένησι δίδονται, ὀπώρα βεβρωμένη καὶ σεσηπυῖα ῥογεύεται. Καὶ τὸν Κάϊν μιμούμενοι, ἀπρόσδεκτα γίνονται τὰ ὑπ᾽ αὐτῶν Θεῷ προσφερόμενα. Καὶ ἐάν τις τῶν πλουσίων ἔχῃ υἱοὺς καὶ θυγατέρας εὐμορφοτάτους καὶ ὡραιοτάτους, περὶ προικὸς καὶ γάμου καὶ νεωτέρου εὐειδοῦς τὸν ὀφθαλμὸν σκοπεύων περιάγει φροντίδα ποιούμενος. Εἰ δὲ κέκτηται υἱὸν ἢ θυγατέρα μονόφθαλμον ἢ λειψόμελον ἢ ἰσχνόσωμον, εἰ μὲν ἄρρεν, εἰς μοναστήριον εὐτρεπίζει· εἰ δὲ θῆλυ, εἰς παρθενῶνα αὐτὴν ἑτοιμάζει.

Ἐχρῆν οὖν τοὺς τοιούτους εἰδέναι καὶ διαλογίζεσθαι νηφόντως, ὅτι ἀνθρώπους θνητοὺς καὶ φθαρτοὺς τιμᾶν βουλόμενοι τῶν πρωτείων καὶ τῶν ἐξαιρέτων αὐτοῖς παραχωροῦσιν κἀκεῖνα προσφέρειν σπουδάζουσιν, ἃ μάλιστα πάντων αὐτοῖς τιμιώτερα εἶναι δοκεῖ. Θεῷ δὲ πῶς οὐκ ἐχρῆν τὰ τιμιώτερα καὶ ἐξαίρετα προσάγειν; Φαίνεται γὰρ ὁ Θεὸς καὶ αὐτὴν δὲ τὴν διάθεσιν, τὴν διὰ τῶν λόγων εὐχαριστίαν, ἀπαιτῶν, οὐχ ὡς τῶν ῥημάτων χρῄζων, ἀλλ᾽ ἵνα ἡμᾶς παιδεύσῃ εὐγνώμονας εἶναι καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων ἡμῶν μὴ ἀθετεῖν· ἤγουν τὰ ἅπερ συνεταξάμεθα ἢ ὡρίσαμεν δοῦναι τῷ Θεῷ μετὰ πολλῆς σπουδῆς καὶ προθυμίας, φόβου τε καὶ πόθου διδόναι. Ὥσπερ γὰρ καὶ ἡ τοῦ Νῶε θυσία, κνῖσα καὶ καπνὸς ὑπάρχουσα, ὀσμὴ εὐωδίας ἐνώπιον Κυρίου προσηνέχθη.

43. Νήφω, νήψη, νηφάλιος, νηφαλιότης κλπ.: Ὅλες αὐτές οἱ ἔννοιες στόν χῶρο τῆς πνευματικῆς ζωῆς δηλώνουν τήν κατάσταση τῆς ψυχῆς κατά τήν ὁποία ὁ ἄνθρωπος ἐπαγρυπνεῖ στό νοῦ καί στήν καρδιά (τήρησις τοῦ νοός) καί ἀποκτᾶ σύν τῷ χρόνῳ χάριτι Θεοῦ τήν καθαρότητα νά διακρίνει τά μή ἀρεστά στόν Θεό καί νά ἐλέγχει τίς μή κατά Θεόν κινήσεις τῆς ψυχῆς εἴτε ἐκ τῶν ἔσω εἴτε ἐκ τῶν ἔξω προκαλοῦνται.

Ἡ νήψη εἶναι ἀπαραίτητη γιά τήν ψυχή πού ἀναζητεῖ τόν Θεό.

στούς φτωχούς. Τό καλό κρασί τό πίνουν καί ἐκεῖνο πού πῆρε νά ξυνίζει τό προσφέρουν στίς χῆρες καί τά ὀρφανά. Ροῦχα κουρελιασμένα καί χιλιομπαλωμένα δίνονται στούς φτωχούς· φροῦτα φαγωμένα καί σαπισμένα διανέμονται. Ἔτσι γίνονται μιμητές τοῦ Κάϊν καί οἱ προσφορές τους στόν Θεό δέν γίνονται δεκτές.

Ἐπίσης ἐάν κάποιος πλούσιος ἔχει γιούς καί θυγατέρες μέ ἐξαιρετική ὀμορφιά καί σέ ὥρα γάμου, περιφέρει τό βλέμμα του δῶθε κεῖθε ἐρευνητικά, γιατί ἐνδιαφέρεται γιά προίκα, γιά γάμο καί γιά νέο καί ὄμορφο γαμπρό. Καί ἐάν συμβαίνει νά ἔχει γιό ἤ θυγατέρα μ᾽ ἕνα μάτι ἤ μέ ἀκρωτηριασμένο κάποιο μέλος ἤ μέ πολύ ἀδύνατο σῶμα, ἄν βέβαια εἶναι ἀγόρι, τό προετοιμάζει γιά μοναστήρι, καί ἄν εἶναι κορίτσι τό ἑτοιμάζει γιά κοινόβιο μοναζουσῶν.

Ἔπρεπε λοιπόν κάτι τέτοιοι νά γνωρίζουν καί νά σκέφτονται μέ νηφαλιότητα[43] ὅτι θέλοντας νά τιμοῦν ἀνθρώπους θνητούς καί προσωρινούς, παραχωροῦν σ᾽ αὐτούς τά πρῶτα καί τά διαλεχτά καί φροντίδα ἔχουν νά τούς προσφέρουν, ὅσα αὐτοί θεωροῦν ἀπ᾽ ὅλα πολυτιμότερα. Καί στόν Θεό πῶς δέν ἦταν ἐπιβεβλημένο νά προσφέρουν τά πολυτιμότερα καί τά ἐκλεκτότερα; Γιατί φαίνεται ὁ Θεός νά ἀπαιτεῖ ἀκόμη καί αὐτή τή διάθεσή μας, πού ἐκφράζεται μέ λόγια εὐχαριστίας, ὄχι γιατί ἔχει ἀνάγκη ἀπό τά λόγια, ἀλλά γιά νά μᾶς παιδαγωγήσει νά εἴμαστε εὐγνώμονες καί αὐτά πού βγαίνουν ἀπό τά χείλη μας νά μήν τά ἀθετοῦμε[44]. Δηλαδή ἐκεῖνα πού ἀποφασίσαμε ἤ ὁρίσαμε νά δώσουμε στόν Θεό, νά τά δώσουμε μέ πολύ ζῆλο καί προθυμία, μέ φόβο καί πόθο. Ὅπως ἀκριβῶς καί ἡ θυσία τοῦ Νῶε, ἄν καί ἦταν κνίσα[45] καί καπνός, στόν θρόνο τοῦ Θεοῦ ἔφθασε ὡς εὐωδία. Ἔτσι

44. Ψαλμ. 88, 35.

45. Κνίσα: Ἡ ὀσμή ἀπό τό κρέας πού ψήνεται στή φωτιά.

Οὕτω γὰρ γέγραπται· Καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας. Οὕτω καὶ ἡ τῶν πονηρῶν ἀνδρῶν καρποφορία καὶ θυσία καὶ τὰ δῶρα βδέλυγμα Κυρίῳ λογισθήσεται. Ἄκουσον γὰρ τοῦ προφήτου πρὸς Ἰουδαίους λέγοντος, καίτοι λαοῦ αὐτοῦ ὑπάρχοντος τότε· Τὸ θυμίαμα ὑμῶν βδέλυγμά μοί ἐστι. Καὶ γὰρ ἡ τῶν προσαγόντων πονηρία τὸ θυμίαμα τὸ εὐῶδες εἰς βδέλυγμα ὀφθῆναι παρεσκεύασε.

Χρὴ οὖν πάντα ἄνθρωπον θέλοντα σωθῆναι οὐ μόνον τὰς εὐχὰς καὶ ἐλεημοσύνας ἐν ἁπλότητι καὶ πάσῃ προθυμίᾳ ἐπιτελεῖν, ἀλλὰ καὶ ἃ προσφέρειν μέλλει τῷ Θεῷ, τὰ τιμιώτερα καὶ ἐνδοξότερα προσενεγκεῖν, ἵνα μὴ ἡ προσευχὴ ἡμῶν εἰς κόλπον ἡμῶν μετ' αἰσχύνης ἀποστραφῇ καὶ ἡ θυσία ἡμῶν ἐπίμωμος εὑρεθεῖσα ἀπρόσδεκτος γένηται καὶ οἱ καρποὶ ἡμῶν, σεσηπότες καὶ ἄχρηστοι, ὡς τὰ τοῦ Κάϊν λογισθήσονται δῶρα.

Ἡμεῖς δὲ πάλιν ἠρωτήσαμεν αὐτόν· Ἄρα βλάπτεται ἡ ψυχὴ ἐκ τῆς τοῦ λογισμοῦ συνδυάσεως; Καὶ εἶπεν· Ἐὰν ἐκ τῶν αἰσχρῶν καὶ ἀκαθάρτων οὐ βλάπτεται, οὔτε ἐκ τῶν καθαρῶν καὶ εὐσεβῶν καὶ φιλοθέων ὠφελεῖται. Ὡς γὰρ ταῦτα ὠφελοῦσιν, οὕτω καὶ ἐκεῖνα βλάπτουσι. Κἂν γὰρ μυρίας ἔξωθεν εἰρήνης ἀπολάβωμεν καὶ θεραπείας, ἔνδοθεν δὲ τίκτεται ἡμῖν ἐκ τῶν λογισμῶν ταραχή, ζάλη καὶ θόρυβος, οὐδὲν ὄφελος

46. Γεν. 8, 21.
47. Ἠσ. 1, 13.
48. Ψαλμ. 34, 13.
49. Γεν. 4, 3-5.
50. Ὁ ὅσιος Πέτρος ὁ Δαμασκηνός παρουσιάζει μέ συντομία καί σαφήνεια τίς φάσεις πού περνάει ὁ λογισμός ἀπό τήν ἐμφάνισή του μέχρι τήν κατάληξή του.

Πρώτη φάση εἶναι ἡ προσβολή, δηλαδή ἡ ἐνθύμηση τοῦ κακοῦ (ὅταν πρόκειται γιά ἁμαρτωλό λογισμό)· ἀκολουθεῖ ὁ συνδυασμός, δηλαδή ἡ συζήτηση μέ τόν λογισμό, στήν ὁποία, ἐάν δέν ἀπορρίψει τόν λογισμό ἡ ψυχή, ἀκολουθεῖ ἡ τρίτη φάση πού εἶναι ἡ συγκατάθεση. Ἀπό τήν συγκατάθεση προξενεῖται ἡ αἰχμαλωσία, πού ὁδηγεῖ διά τῆς βίας τήν καρδιά στήν πράξη. Ἐάν

λέει ἡ Γραφή: Ὀσφράνθηκε Κύριος ὁ Θεός εὐωδία[46]. Ὅπως καί οἱ καρποί τῶν πονηρῶν ἀνθρώπων, ἡ θυσία καί τά δῶρα τους θά φθάσουν ὡς βδέλυγμα στόν Κύριο. Ἄκουσε τί λέει ὁ προφήτης στούς Ἰουδαίους, παρόλο πού ἦταν τότε λαός τοῦ Θεοῦ: Τό θυμίαμα πού προσφέρετε εἶναι γιά μένα σιχαμερό[47]. Καί αὐτό γιατί ἡ πονηρία αὐτῶν πού τά πρόσφεραν ἔκανε, ὥστε τό εὐωδιαστό θυμίαμα νά φανεῖ σιχαμερό.

Ὅποιος ἄνθρωπος λοιπόν θέλει νά σωθεῖ, χρειάζεται ὄχι μόνο μέ ἁπλότητα καρδιᾶς καί ὁλοπρόθυμα νά προσφέρει τά ταξίματα καί τίς ἐλεημοσύνες, ἀλλά καί αὐτά πού πρόκειται νά προσφέρει στόν Θεό νά εἶναι τά πιό πολύτιμα καί τά πιό ταιριαστά στή δόξα τοῦ Θεοῦ, ὥστε νά μήν γυρίσει ἡ προσευχή μας πίσω στά στήθη μας[48] προκαλώντας μας ντροπή καί ἡ θυσία μας ἀποδειχθεῖ ἀξιόμεμπτη καί δέν γίνει δεκτή· ἀλλά καί οἱ καρποί μας, σάπιοι καί ἄχρηστοι, ἐκληφθοῦν σάν τά δῶρα τοῦ Κάϊν[49]».

Ἐμεῖς τόν ρωτήσαμε πάλι: «Βλάπτεται ἡ ψυχή ἀπό τήν συνομιλία μέ τούς λογισμούς;»[50] «Ἐάν —ἀποκρίθηκε— ἀπό τούς αἰσχρούς καί ἀκάθαρτους λογισμούς δέν βλάπτεται, οὔτε καί ἀπό τούς καθαρούς, τούς εὐσεβεῖς καί φιλόθεους λογισμούς ὠφελεῖται. Γιατί ὅπως αὐτά ὠφελοῦν, ἔτσι κι ἐκεῖνα βλάπτουν. Καί μάλιστα ἐξωτερικά ἄς ἔχουμε στή διάθεσή μας τήν πιό μεγάλη ἠρεμία καί ἄλλα μέσα γιά νά ἐξασφαλίζουμε τήν ἠρεμία αὐτή· ἄν ὅμως ἐσωτερικά οἱ λογισμοί γεννοβολοῦν ταραχή, ζάλη καί θόρυβο, ἡ ἐξωτερική

χρονίσει ἡ κατάσταση αὐτή, γίνεται τό λεγόμενο πάθος, τό ὁποῖο ὁδηγεῖ τήν ψυχή στήν ἕξη καί τήν κάνει νά πηγαίνει ἀπό μόνη της πρός τήν πράξη μέ τρόπο ἑκούσιο καί οἰκεῖο.

Καί συνιστᾶ στόν ἐχέφρονα ἄνθρωπο νά διώχνει εὐθύς ἐξαρχῆς τήν πονηρή προσβολή, δηλαδή τήν μητέρα ὅλων τῶν κακῶν πού ἀκολουθοῦν. Βλ. *Φιλοκαλία* τ. Γ' «Περί διαφορᾶς λογισμῶν καί προσβολῶν» σελ. 109-110, Ἐκδ. «Ἀστήρ» Ἀθήνα 1960.

τῆς ἔξωθεν εἰρήνης, ὥσπερ οὐδὲ πόλιν κἂν μυρία τείχη καὶ περιχαρακώματα κέκτηται, ἐὰν ἐκ τῶν ἔνδοθεν ἐνοικούντων τὴν προδοσίαν ὑπομείνῃ. Ἐὰν γὰρ φυλάξωμεν ἑαυτοὺς ἀπὸ συγκαταθέσεως αἰσχρῶν λογισμῶν, μεγάλα καὶ ὑπέροχα ἐπηγγείλατο ἡμῖν ὁ Δεσπότης καὶ ὑπερβαίνοντα τὸν ἡμέτερον λογισμόν, τῆς Βασιλείας λέγω τὴν ἀπόλαυσιν, τῶν ἀπορρήτων ἀγαθῶν τὴν μετουσίαν, τὴν μετὰ ἀγγέλων διαγωγήν. Ταῦτα καὶ τὰ τούτοις ὅμοιά τε καὶ παραπλήσια πέρας οὐκ ἐπίσταται, τέλος οὐκ ἐπιδέχεται, μεταβολὴν οὐκ οἶδε, πάγια καὶ ἀμετακίνητα ὄντα.

Θεωρῶν δὲ ἡμᾶς ὁ Γέρων περὶ τῶν ὑπ᾽ αὐτοῦ λεχθέντων ἀμφισβητοῦντας, ἀναστὰς ἔμπροσθεν ἡμῶν καὶ ἄρας τὰ ὄμματα εἰς τὸν οὐρανόν, εἰς ἐπήκοον ἡμῶν ἔφη· Ἰησοῦς ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ὁ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν, ἐάν εἰσι τὰ ὑπ᾽ ἐμοῦ πρὸς τοὺς ἀδελφοὺς εἰρημένα ψευδῆ, ἀβλαβὴς μεινάτω ἡ πέτρα αὕτη· εἰ δέ εἰσιν ἀληθῆ, διαρραγήτω. Καὶ σὺν τῷ λόγῳ ἐρράγη ἡ πέτρα εἰς πέντε τμήματα. Ἦν δὲ ἡ πέτρα κόμμα κίονος ἔχουσα πήχεις τέσσαρας.

Ἡμεῖς δὲ θαυμάσαντες καὶ ὠφεληθέντες, ἐξήλθομεν. Καὶ προπέμπων ἡμᾶς ὁ Γέρων ἔφη· Τέκνα, τῷ ἐρχομένῳ Σαββάτῳ ἔλθετε πρός με· χρεοποιοῦμαι γὰρ ὑμῶν. Καὶ ἐλθόντες τὸ Σάββατον ὥρᾳ τρίτῃ εὕρομεν αὐτὸν τελειωθέντα. Καὶ θάψαντες αὐτὸν ἀνεχωρήσαμεν, εὐχαριστοῦντες τῷ Θεῷ τῷ ἀξιώσαντι ἡμᾶς κηδεῦσαι τοιοῦτον ἅγιον.

51. Πρβλ. Α΄ Κορ. 2, 9.

52. Ὁ πριστικός ἤ λιθικός πήχυς μέ τόν ὁποῖον μετροῦσαν τά λίθινα καί ξύλινα ἀντικείμενα εἶχε μῆκος 0,45 μ. Ἄρα τό μῆκος τῆς κολώνας ἦταν 0,45x4=1,8 μ.

ἠρεμία δέν ὠφελεῖ σέ τίποτε. Ὅπως ἀκριβῶς καί μία πόλη ἄς ἔχει ἀναρίθμητα τείχη καί χαρακώματα ὁλόγυρα, ἐάν ἀπό μέσα ἀπό τούς κατοίκους της προδοθεῖ, δέν τήν ὠφελοῦν αὐτά καθόλου.

Ἄν λοιπόν φυλάξουμε τόν ἑαυτό μας, ὥστε νά μή συγκατατίθεται στούς αἰσχρούς λογισμούς, ὁ Κύριός μᾶς ἔχει δώσει ὑποσχέσεις μεγάλες καί ὑψηλές, πού ξεπερνοῦν τήν ἀνθρώπινη σκέψη· καί ἐννοῶ τήν ἀπόλαυση τῆς Βασιλείας του, τή συμμετοχή μας στά ἀνέκφραστα ἀγαθά καί τή συμβίωσή μας μέ τούς ἀγγέλους. Αὐτά καί τά ὅμοια ἤ παραπλήσια μ᾽ αὐτά δέν ἔχουν τελειωμό· δέν ὑπάρχει λήξη, δέν γνωρίζουν μεταβολή· εἶναι πάγια καί ἀμετακίνητα[51]».

Βλέποντας ὅμως ὁ Γέροντας ὅτι εἴχαμε ἐπιφυλάξεις σ᾽ αὐτά πού εἶπε, σηκώθηκε μπροστά μας, ὕψωσε τό βλέμμα του στόν οὐρανό καί τόν ἀκούσαμε νά λέει: «Ἰησοῦ Θεέ μας, σύ πού δημιούργησες τόν οὐρανό, τή γῆ καί τή θάλασσα, ὁ λυτρωτής τῶν ψυχῶν μας, ἐάν ὅσα εἶπα στούς ἀδελφούς εἶναι ψευδῆ, ἄς μείνει ἡ πέτρα αὐτή ἀβλαβής· ἄν ὅμως εἶναι ἀληθινά, ἄς σπάσει». Καί πρίν τελειώσει τόν λόγο του, ἔσπασε ἡ πέτρα σέ πέντε κομμάτια. Ἡ πέτρα αὐτή ἦταν κομμάτι ἀπό κολώνα ἡ ὁποία εἶχε μῆκος τέσσαρες πήχεις[52].

Ἔκπληκτοι ἀλλά καί ὠφελημένοι ξεκινήσαμε νά φύγουμε. Καί καθώς μᾶς ξεπροβόδιζε ὁ Γέροντας εἶπε: «Παιδιά μου, κατά τό ἐρχόμενο Σάββατο ἐλᾶτε νά μέ ἐπισκεφθῆτε, γιατί σᾶς χρειάζομαι». Καί ὅταν πήγαμε τό Σάββατο κατά τίς ἐννιά τό πρωί[53], τόν βρήκαμε νεκρό καί ἀφοῦ τόν θάψαμε, φύγαμε εὐχαριστώντας τόν Θεό πού μᾶς ἀξίωσε νά κηδεύσουμε τέτοιον ἅγιο.

53. Ἡ τρίτη ὥρα τοῦ ἀρχαίου κειμένου εἶναι βυζαντινή καί ἀντιστοιχεῖ μέ τήν σημερινή ἐνάτη πρωινή (9 π.μ.). Βλ. *Μ. Γεροντικόν* τόμ. Β΄ σελ. 20 ὑποσημ. 3.

62. Εἶπεν ὁ ἀββᾶς Ἰακὼβ ὅτι μεῖζόν ἐστι τὸ ξενιτεῦσαι παρὰ τὸ ξενοδοχεῖν.

63. Εἶπεν ὁ ἀββᾶς Ἰακώβ· Οὐκ ἔστι χρεία λόγων μόνον· εἰσὶ γὰρ πολλοὶ λόγοι ἐν τοῖς ἀνθρώποις ἐν τῷ καιρῷ τούτῳ· ἀλλὰ χρεία ἐστὶν ἔργου. Αὐτὸ γάρ ἐστι τὸ ζητούμενον καὶ οὐ λόγοι οἵτινες οὐκ ἔχουσι καρπόν.

64. Ὁ ἀββᾶς Ἰωάννης ὁ εὐνοῦχος νεώτερος ὢν ἠρώτησε Γέροντα λέγων· Πῶς ὑμεῖς ἠδυνήθητε ποιῆσαι τὸ ἔργον τοῦ Θεοῦ ἐν ἀναπαύσει, ἡμεῖς δὲ οὐδὲ μετὰ κόπου δυνάμεθα ποιῆσαι; Καὶ λέγει ὁ Γέρων· Ἡμεῖς ἠδυνήθημεν, ἐπειδὴ κεφάλαιον εἴχομεν τὸ ἔργον τοῦ Θεοῦ, τὴν δὲ χρείαν τὴν σωματικὴν ἐλάχιστον. Ὑμεῖς δὲ κεφάλαιον ἔχετε τὴν σωματικὴν χρείαν, τὸ δὲ ἔργον τοῦ Θεοῦ οὐκ ἀναγκαιότερον· διὰ τοῦτο κάμνετε. Καὶ διὰ τοῦτο ὁ Σωτὴρ εἶπε τοῖς μαθηταῖς· Ὀλιγόπιστοι, ζητεῖτε πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

65. Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος· Οἱ νομίμως ἀσκοῦντες νηστεύοντες, μὴ τυφοῦσθε. Εἰ δὲ ἐπὶ τοῦτο μέγα φρονεῖτε, μᾶλλον κρεοφαγεῖτε. Καὶ ἐὰν ἐπὶ τούτῳ μέγα φρονεῖτε, τίς χρεία νηστεύειν; Συμφέρει γὰρ μᾶλλον ἀνθρώπῳ κρέα ἐσθίειν ἢ τυφοῦσθαι καὶ μεγαλαυχεῖν.

---

54. Βλ. *Μ. Γεροντικόν* τόμ. Α' σελ. 40-41 ὑποσημ. 7.

55. Ματθ. 6, 30 καί 33. Βλ. ἀπόφθ. 46.

56. Πρόκειται γιά τόν Ἰσίδωρο τόν πρεσβύτερο.

62. Εἶπε ὁ ἀββᾶς Ἰακώβ ὅτι εἶναι σπουδαιότερη ἡ ξενιτεία[54] ἀπό τή φιλοξενία.

63. Εἶπε ὁ ἀββᾶς Ἰακώβ: «Δέν χρειάζονται τά λόγια μοναχά· γιατί πολλά λένε οἱ ἄνθρωποι τοῦτον τόν καιρό· χρειάζονται ἔργα. Αὐτό εἶναι τό ζητούμενο καί ὄχι τά λόγια τά ἄκαρπα».

64. Ὁ ἀββᾶς Ἰωάννης ὁ εὐνοῦχος, ὅταν ἦταν νέος, ρώτησε κάποιον Γέροντα: «Πῶς ἐσεῖς μπορέσατε νά κάνετε τήν ἐργασία πού ζητάει ὁ Θεός μέ ἄνεση, ἐνῶ ἐμεῖς κοπιάζουμε καί πάλι δέν μποροῦμε νά τήν πραγματοποιήσουμε;»

Καί ὁ Γέροντας εἶπε: «Ἐμεῖς μπορέσαμε, ἐπειδή εἴχαμε κύριο ἔργο μας τήν ἐργασία τοῦ Θεοῦ καί τή φροντίδα γιά τίς σωματικές ἀνάγκες τή θεωρούσαμε σάν κάτι τό ἀσήμαντο. Ἐνῶ ἐσεῖς κύριο ἔργο ἔχετε τή φροντίδα γιά τό σῶμα καί τήν ἐργασία τοῦ Θεοῦ δέν τήν θεωρεῖτε ἀναγκαιότερη· γι' αὐτό σᾶς κουράζει. Καί γι' αὐτό ὁ Κύριος εἶπε: Ὀλιγόπιστοι· πρῶτα ἀπ' ὅλα νά ζητᾶτε τή Βασιλεία τοῦ Θεοῦ καί ὅλα αὐτά θά ἀκολουθήσουν»[55].

65. Εἶπε ὁ ἀββᾶς Ἰσίδωρος[56]: «Ὅσοι κάνετε μέ ἀκρίβεια[57] τήν ἄσκηση τῆς νηστείας, μήν τό παίρνετε ἐπάνω σας. Καί ἄν γι' αὐτόν τόν λόγο ἔχετε μεγάλη ἰδέα γιά τόν ἑαυτό σας, εἶναι προτιμότερο νά τρῶτε κρέας. Ἄν καί μετά ἀπ' αὐτό πού λέμε συνεχίζετε νά ὑπερηφανεύεσθε, τί χρειάζεται ἡ νηστεία; Συμφέρει περισσότερο στόν ἄνθρωπο νά τρώει κρέας παρά νά φουσκώνει ἀπό ὑπερηφάνεια καί νά καυχιέται»[58].

---

57. Β' Τιμ. 2, 5.

58. Πρβλ. Ματθ. 6, 16-18.

66. Εἶπε πάλιν· Χρὴ τοὺς μαθητευομένους καὶ ὡς πατέρας φιλεῖν τοὺς ὄντας διδασκάλους καὶ ὡς ἄρχοντας φοβεῖσθαι· καὶ μήτε διὰ τὴν ἀγάπην ἐκλύειν τὸν φόβον, μήτε διὰ τὸν φόβον ἀμαυροῦν τὴν ἀγάπην.

67. Εἶπε πάλιν· Εἰ σωτηρίας ἐρᾷς, πάντα ποίει τὰ εἰς αὐτὴν ἄγοντά σε.

68. Εἶπέ τις τῷ ἀββᾷ Ἰωάννῃ τῷ Πέρσῃ ὅτι· Τοσοῦτον κόπον ἐποιήσαμεν διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν· ἆρα κληρονομῆσαι αὐτὴν ἔχομεν; Καὶ εἶπεν ὁ Γέρων· Ἐγὼ πιστεύω κληρονομῆσαι τὴν ἄνω Ἰερουσαλὴμ τὴν ἀπογεγραμμένην ἐν τοῖς οὐρανοῖς· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος. Διὰ τί καὶ ἀπιστήσω; Φιλόξενος ὡς ὁ Ἀβραὰμ γέγονα· πραῢς ὡς ὁ Μωυσῆς· ἅγιος ὡς ὁ Ἀαρών, ὑπομονητικὸς ὡς ὁ Ἰώβ, ταπεινόφρων ὡς ὁ Δαβίδ· ἐρημίτης ὡς ὁ Ἰωάννης, πενθικὸς ὡς ὁ Ἱερεμίας· διδάσκαλος ὡς ὁ Παῦλος, πιστὸς ὡς ὁ Πέτρος· σοφὸς ὡς ὁ Σολομών. Καὶ πιστεύω ὡς ὁ λῃστὴς ὅτι ὁ ταῦτά μοι χαρισάμενος δι' οἰκείαν ἀγαθότητα καὶ τὴν Βασιλείαν παράσχῃ.

69. Ἠρώτησεν ὁ ἀββᾶς Λογγῖνος τὸν ἀββᾶν Λούκιόν ποτε τρεῖς λογισμοὺς λέγων· Θέλω ξενιτεῦσαι. Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν μὴ κρατήσῃς τῆς γλώσσης σου, οὐκ εἶ ξένος,

59. Πρβλ. Ἑβρ. 12, 22-23.

60. Ἑβρ. 10, 23.

61. Ὁ Ἱερεμίας (7ος αἰ. π. Χ.) καλεῖται πενθικός, γιατί εἶναι ὁ προφήτης πού κατ' ἐξοχήν πόνεσε καί θρήνησε τήν ἀναισθησία καί τήν πώρωση τοῦ Ἰουδαϊκοῦ λαοῦ, μηδέ ἐξαιρουμένων τῶν ἀρχόντων καί τῶν ἱερέων, οἱ ὁποῖοι στό σύνολό τους ἔμεναν ἀμετανόητοι καί ἐστρέφοντο ὅλο καί περισσότερο πρός τήν εἰδωλολατρία, παρά τίς προρρήσεις τοῦ προφήτη γιά τά ἐπερχόμενα δεινά ὡς ὀργή τοῦ Θεοῦ. Γνωστό εἶναι καί τό κείμενο τῆς Π. Δ. μέ τόν τίτλο *Θρῆνοι Ἱερεμίου*.

66. Εἶπε ἀκόμη: «Οἱ ὑποτακτικοί ὀφείλουν καί νά ἀγαποῦν τούς δασκάλους τους ὡς πατέρες ἀλλά καί νά τούς φοβοῦνται ὡς ἄρχοντες· ὥστε οὔτε ἐξαιτίας τῆς ἀγάπης νά ἐξαφανίζεται ὁ φόβος οὔτε ἐξαιτίας τοῦ φόβου νά σκοτεινιάζει ἡ ἀγάπη».

67. Εἶπε ἐπίσης: «Ἐάν ποθεῖς τή σωτηρία, κάνε ὅλα αὐτά πού ὁδηγοῦν σ' αὐτήν».

68. Εἶπε κάποιος στόν ἀββᾶ Ἰωάννη τόν Πέρση: «Κάναμε τόσο κόπο γιά τή Βασιλεία τῶν Οὐρανῶν· ἄραγε θά μπορέσουμε νά τήν κληρονομήσουμε;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ἐγώ πιστεύω ὅτι θά κληρονομήσω τήν ἄνω Ἰερουσαλήμ, πού τά μέλη της εἶναι πολιτογραφημένα στούς οὐρανούς[59], γιατί εἶναι ἀξιόπιστος Αὐτός πού ἔδωσε τίς ὑποσχέσεις[60]. Καί γιατί νά ἀπιστήσω; Φιλόξενος ἔγινα σάν τόν Ἀβραάμ, πράος ὅπως ὁ Μωυσῆς, εὐλαβής σάν τόν Ἀαρών, ὑπομονητικός σάν τόν Ἰώβ, ταπεινός ὅπως ὁ Δαβίδ, ἐρημίτης ὅπως ὁ Ἰωάννης, πενθικός[61] ὅπως ὁ Ἱερεμίας, διδάσκαλος ὅπως ὁ Παῦλος, πιστός ὅπως ὁ Πέτρος, σοφός ὅπως ὁ Σολομών. Καί πιστεύω, ὅπως ὁ ληστής, ὅτι Ἐκεῖνος, πού ἀπό δική του ἀγαθότητα μοῦ τά χάρισε αὐτά, θά μοῦ δώσει καί τή Βασιλεία».

69. Ρώτησε ὁ ἀββᾶς Λογγίνος κάποτε τόν ἀββᾶ Λούκιο γιά τρεῖς λογισμούς του: «Θέλω —τοῦ εἶπε— νά ξενιτευθῶ». Καί ὁ Γέροντας τοῦ λέει: «Ἐάν δέν κυριαρχήσεις στή γλώσ-



Τό ὄρος Σερμπάλ ὅπως φαίνεται ἀπό τήν κοιλάδα Φαράν

ὅπου ἐὰν ἀπέλθῃς. Καὶ ὧδε οὖν κράτησον τῆς γλώσσης σου καὶ ξένος εἶ. Λέγει αὐτῷ πάλιν· Θέλω νηστεῦσαι. Ἀπεκρίθη ὁ Γέρων· Εἶπεν Ἠσαΐας ὁ Προφήτης· Ἐὰν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου οὐδ' οὕτω κληθήσεται νηστεία δεκτή· ἀλλὰ μᾶλλον κράτησον τῶν πονηρῶν λογισμῶν. Λέγει αὐτῷ τὸ τρίτον· Θέλω φυγεῖν τοὺς ἀνθρώπους. Ἀπεκρίθη ὁ Γέρων· Ἐὰν μὴ πρότερον κατορθώσῃς μετὰ τῶν ἀνθρώπων, οὐδὲ κατὰ μόνας δύνασαι κατορθῶσαι.

70. Ἔλεγον ὅτι ἐσφάλησαν δύο ἀδελφοὶ εἰς Σκῆτιν καὶ ἐχώρισεν αὐτοὺς ὁ ἀββᾶς Μακάριος ὁ πολιτικός. Καὶ ἦλθόν τινες καὶ εἶπον τῷ ἀββᾷ Μακαρίῳ τῷ Μεγάλῳ τῷ Αἰγυπτίῳ· ὁ δὲ εἶπεν· Οὐκ εἰσιν οἱ ἀδελφοὶ κεχωρισμένοι, ἀλλὰ Μακάριός ἐστι κεχωρισμένος· ἦν γὰρ ἀγαπῶν αὐτόν. Ἤκουσεν ὁ ἀββᾶς Μακάριος ὅτι ἐχωρίσθη ὑπὸ τοῦ Γέροντος καὶ ἔφυγεν εἰς τὸ Ἕλος.

Ἐξῆλθεν οὖν ὁ ἀββᾶς Μακάριος ὁ Μέγας καὶ εὑρίσκει αὐτὸν τιτρωσκόμενον ὑπὸ τῶν κωνώπων καὶ λέγει αὐτῷ· Σὺ ἐχώρισας τοὺς ἀδελφοὺς καὶ ἰδοὺ εἶχον ἀναχωρῆσαι ἐν τῇ κώμῃ. Ἐγὼ δέ σε ἐχώρισα καὶ σὺ ὡς καλὴ παρθένος εἰς τὸν ἐσώτερον κοιτῶνα ἔφυγες ὧδε. Ἐγὼ δὲ καλέσας τοὺς ἀδελφούς, ἔμαθον παρ' αὐτῶν καὶ εἶπον· Οὐδὲν τοιοῦτον γέγονε. Βλέπε οὖν καὶ σύ, ἀδελφέ, μὴ ὑπὸ δαιμόνων ἐχλευάσθης, οὐ-

62. Ἡσ. 58, 5.

63. Ἔτσι χαρακτηριζόταν ὁ ἕνας ἀπό τούς δύο Μακαρίους, πού καταγόταν ἀπό τήν πόλη Ἀλεξάνδρεια. Βλ. *Μ. Γεροντικόν* τόμ. Β' σελ. 525.

64. Ἐδῶ ὁ ἀφορισμός δέν φέρει τήν ἐκκλησιαστική ἔννοια ὅτι ἀποκόπτει

σα σου, δέν εἶσαι ξένος, ὅπου κι ἄν πᾶς. Καί ἐδῶ τώρα πού εἶσαι, κυριάρχησε στή γλώσσα σου καί θά εἶσαι ξένος».

Τοῦ λέει κατόπιν: «Θέλω νά νηστεύσω». Καί ὁ Γέροντας ἀποκρίνεται: «Ὁ προφήτης Ἠσαΐας εἶπε: Κι ἄν κάμψεις τόν τράχηλό σου σάν τόν κρίκο, οὔτε μέ τόν τρόπο αὐτό θά χαρακτηρισθεῖ δεκτή ἡ νηστεία σου[62]. Προτιμότερο εἶναι νά κυριαρχήσεις στούς πονηρούς λογισμούς».

Τοῦ λέει καί τόν τρίτο λογισμό: «Θέλω νά φύγω μακριά ἀπό τούς ἀνθρώπους». Ὁ Γέροντας ἀπαντᾶ: «Ἐάν πρῶτα δέν ἀσκήσεις τήν ἀρετή ζώντας ἀνάμεσα στούς ἀνθρώπους, οὔτε καί μόνος ζώντας μπορεῖς νά τό ἐπιτύχεις».

70. Διηγοῦνταν ὅτι κάποτε ἔπεσαν σέ παράπτωμα δυό ἀδελφοί στή Σκήτη καί τούς ἀφόρισε ὁ ἀββᾶς Μακάριος* ὁ πολιτικός[63]. Πῆγαν ὅμως κάποιοι καί τό ἀνέφεραν στόν ἀββᾶ Μακάριο τόν Μέγα*, τόν Αἰγύπτιο. Καί ἐκεῖνος εἶπε: «Δέν εἶναι ἀφορισμένοι οἱ ἀδελφοί ἀλλά ὁ Μακάριος εἶναι ἀφορισμένος». Τοῦ ἔτρεφε βέβαια ἀγάπη καί μίλησε ἔτσι. Ὅταν ἄκουσε ὁ ἀββᾶς Μακάριος (ὁ πολιτικός) ὅτι τόν ἀφόρισε[64] ὁ Γέροντας, ἔφυγε στό Ἕλος[65].

Πηγαίνει λοιπόν ὁ ἀββᾶς Μακάριος ὁ Μέγας καί τόν βρίσκει νά τόν τρῶν τά κουνούπια, καί τοῦ λέει: Ἐσύ ἀφόρισες τούς ἀδελφούς καί νά πού ἦταν ἕτοιμοι νά φύγουν γιά τό χωριό. Ἐγώ ἀφόρισα ἐσένα καί ἐσύ, ὅπως θά 'κανε ἡ καλή παρθένος, κατέφυγες στόν ἐσώτερο κοιτώνα, ἐδῶ. Ἐγώ λοιπόν κάλεσα τούς ἀδελφούς καί πῆρα πληροφορίες ἀπ' αὐτούς καί διεπίστωσα ὅτι δέν ἔγινε κάτι τέτοιο. Κοίταξε λοιπόν καί σύ, ἀδελφέ, μήπως ἐμπαίχθηκες ἀπό τούς δαίμο-

κάποιο μέλος ἀπό τό σῶμα τῆς Ἐκκλησίας. Εἶναι ἁπλῶς ἀπομάκρυνση προσωρινή ἀπό τό μοναστικό συγκρότημα γιά λόγους παιδαγωγικούς.

65. Γιά τήν τοποθεσία αὐτή βλ. *Μ. Γεροντικόν* τόμ. Β' σελ. 442 ὑποσημ. 20.

δὲν γὰρ ἑώρακας· ἀλλὰ λάβε μετάνοιαν ὑπὲρ τοῦ σφάλματός σου. Ὁ δὲ εἶπεν· Εἰ θέλεις, δός μοι μετάνοιαν. Ἰδὼν δὲ ὁ Γέρων τὴν ἀνάπαυσιν αὐτοῦ ἔλεγεν· Ὕπαγε καὶ νήστευσον τρεῖς ἑβδομάδας κατὰ ἑβδομάδα ἐσθίων ἅπαξ. Αὕτη γὰρ ἦν ἡ ἐργασία αὐτῶν πάντοτε τὰς ἑβδομάδας νηστεύειν.

71. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Μακαρίῳ τῷ Αἰγυπτίῳ καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, εἰπέ μοι ῥῆμα, πῶς σωθῶ; Καὶ λέγει ὁ Γέρων· Ὕπαγε εἰς τὰ μνημεῖα καὶ ὕβρισον τοὺς νεκρούς. Ἀπελθὼν οὖν ὁ ἀδελφὸς ὕβρισε καὶ ἐλίθασε καὶ ἐλθὼν ἀπήγγειλε τῷ Γέροντι. Καὶ λέγει αὐτῷ· Οὐδέν σοι ἐλάλησαν; Ὁ δὲ ἔφη· Οὐχί. Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε πάλιν αὔριον καὶ δόξασον αὐτούς. Ἀπελθὼν οὖν ὁ ἀδελφὸς ἐδόξασεν αὐτοὺς λέγων· Ἀπόστολοι, ἅγιοι καὶ δίκαιοι. Καὶ ἦλθε πρὸς τὸν Γέροντα καὶ εἶπεν αὐτῷ· Ἐδόξασα. Καὶ λέγει αὐτῷ· Οὐδέν σοι ἀπεκρίθησαν; Ἔφη ὁ ἀδελφός· Οὐχί. Λέγει αὐτῷ ὁ Γέρων· Οἶδας πόσα ἠτίμασας αὐτοὺς καὶ οὐδέν σοι ἀπεκρίθησαν; Καὶ πόσα ἐδόξασας αὐτοὺς καὶ οὐδέν σοι ἐλάλησαν; Οὕτω καὶ σύ, ἐὰν θέλῃς σωθῆναι, γενοῦ νεκρός· μήτε τὴν ἀδικίαν τῶν ἀνθρώπων μήτε τὴν δόξαν αὐτῶν λογίσῃ, ὡς οἱ νεκροί, καὶ δύνασαι σωθῆναι.

72. Παρερχόμενός ποτε ὁ ἀββᾶς Μακάριος μετὰ ἀδελφῶν διὰ τῆς Αἰγύπτου, ἤκουσε παιδίου λέγοντος τῇ μητρὶ αὐτοῦ· Ἀμμᾶ, πλούσιός τις ἀγαπᾷ με καὶ μισῶ αὐτόν· καὶ

66. Ἀντί τῆς λ. «ἀνάπαυσιν» τοῦ ἀρχαίου κειμένου στό σημεῖο αὐτό, ἄλλοι κώδικες ἔχουν τή λ. «ταπείνωσιν». Ἀλλά τό νόημά τους δέν ἀπέχει. Τήν ὥρα πού διαπιστώνει ὁ ἄνθρωπος τό σφάλμα του, τήν πτώση του, καί τήν ἀποδέχεται καί κινεῖται πρός μετάνοιαν μέ ἠρεμία ψυχῆς, εἶναι ἔνδειξη συντριβῆς

νες, γιατί δέν εἶδες τίποτε. Νά πάρεις ὅμως κανόνα μετανοίας γιά τό σφάλμα σου. Κι ἐκεῖνος εἶπε: «Ἄν θέλεις, δῶσ' μου κανόνα». Βλέποντας ὅμως ὁ Γέροντας τήν ψυχική του ἠρεμία[66], τοῦ εἶπε: «Πήγαινε καί νήστευσε τρεῖς ἑβδομάδες τρώγοντας μιά φορά κάθε ἑβδομάδα». Αὐτή βέβαια ἦταν ἡ παντοτεινή τους ἄσκηση, νά νηστεύουν ὅλη τήν ἑβδομάδα.

71. Ἕνας ἀδελφός πῆγε στόν ἀββᾶ Μακάριο τόν Αἰγύπτιο καί τοῦ εἶπε: «Ἀββᾶ, πές μου ἕναν λόγο, πῶς θά σωθῶ;» Καί ὁ Γέροντας τοῦ εἶπε: «Πήγαινε στό νεκροταφεῖο καί βρίσε τούς νεκρούς». Πῆγε πράγματι ὁ ἀδελφός, ἔβρισε καί πετροβόλησε τά μνήματα. Γύρισε κατόπιν καί ἐνημέρωσε τόν Γέροντα, ὁ ὁποῖος τόν ρώτησε: «Δέν σοῦ 'παν τίποτε;» «Ὄχι» ἀπάντησε ἐκεῖνος. «Πήγαινε πάλι αὔριο —τοῦ λέει— καί ἐξύμνησέ τους». Πῆγε πράγματι ὁ ἀδελφός καί τούς ἐξύμνησε λέγοντας: «Εἶστε Ἀπόστολοι, ἅγιοι καί δίκαιοι». Ἐπέστρεψε καί εἶπε στόν Γέροντα: «Τούς ἐξύμνησα». «Δέν σοῦ ἀποκρίθηκαν τίποτε;» τόν ρώτησε ὁ Γέροντας. «Ὄχι» εἶπε ὁ ἀδελφός. «Εἶδες πόσο τούς ἐξευτέλισες καί δέν σοῦ εἶπαν τίποτε; Καί πόσο τούς ἐξύμνησες καί δέν σοῦ μίλησαν καθόλου; Ἔτσι κι ἐσύ ἐάν θέλεις νά σωθεῖς, γίνε νεκρός· νά μή λογαριάζεις οὔτε τήν ἀδικία οὔτε τή δόξα ἀπό μέρους τῶν ἀνθρώπων, ὅπως οἱ νεκροί, καί θά σωθεῖς».

72. Περνώντας κάποτε ὁ ἀββᾶς Μακάριος μέ συνοδία ἀδελφῶν μέσα ἀπό τήν Αἴγυπτο, ἄκουσε ἕνα παιδάκι νά λέει στή μητέρα του: «Μητέρα, κάποιος πλούσιος μέ ἀγαπᾶ

καί ταπείνωσης. Ἡ ἐγωιστική ἀντίσταση εἶναι πού δημιουργεῖ ταραχή στήν ψυχή μετά τήν πτώση, ἡ ἀντίσταση δηλαδή τῆς μή ἀποδοχῆς τοῦ πραγματικοῦ ἑαυτοῦ μας.

πτωχὸς μισεῖ με καὶ ἀγαπῶ αὐτόν. Καὶ ἀκούσας ὁ ἀββᾶς Μακάριος ἐθαύμασε. Καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοί· Τί ἐστι τὸ ῥῆμα τοῦτο, πάτερ, ὅτι ἐθαύμασας; Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Ἀληθῶς ὁ Κύριος ἡμῶν πλούσιός ἐστι καὶ ἀγαπᾷ ἡμᾶς καὶ οὐ θέλομεν αὐτοῦ ἀκούειν· ὁ δὲ ἐχθρὸς ἡμῶν διάβολος πτωχός ἐστι καὶ μισεῖ ἡμᾶς καὶ ἀγαπῶμεν αὐτοῦ τὴν ἀκαθαρσίαν.

73. Εἶπεν ὁ ἀββᾶς Μακάριος· Ἐὰν μνησθῶμεν τῶν ὑπὸ τῶν ἀνθρώπων ἐπαγομένων ἡμῖν κακῶν, ἀναιροῦμεν τὴν δύναμιν τῆς τοῦ Θεοῦ μνήμης· ἐὰν δὲ μνησθῶμεν τῶν κακῶν τῶν δαιμόνων, ἐσόμεθα ἄτρωτοι.

74. Εἶπεν ὁ ἀββᾶς Ματώης· Οὐκ οἶδεν ὁ Σατανᾶς ποίῳ πάθει ἡττᾶται ἡ ψυχή. Σπείρει μέν, ἀλλ' οὐκ οἶδεν εἰ θερίσει τοὺς μὲν περὶ πορνείας, τοὺς δὲ περὶ καταλαλιᾶς λογισμοὺς καὶ ὁμοίως τὰ λοιπὰ πάθη. Καὶ εἰς οἷον πάθος ἴδῃ τὴν ψυχὴν κλίνουσαν, χορηγεῖ αὐτῇ.

75. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ματώην· Τί ποιήσω, ἐὰν παραβάλῃ μοι ἀδελφὸς καὶ ἔστι νηστεία ἢ πρωΐ; ὅτι θλίβομαι. Καὶ λέγει ὁ Γέρων· Ἐὰν μὲν οὐ θλίβῃ καὶ φάγῃς μετὰ τοῦ ἀδελφοῦ, καλῶς ποιεῖς. Ἐὰν δὲ μὴ προσδοκᾷς τινα καὶ φάγῃς, τοῦτο σὸν θέλημά ἐστι.

76. Ἠρώτησάν τινες τῶν Πατέρων τὸν ἀββᾶν Μεγέθιον λέγοντες· Ἐὰν περισσεύσῃ ἕψημα εἰς τὴν ἄλλην ἡμέραν, θέλεις ἵνα φάγωσιν οἱ ἀδελφοί; Λέγει αὐτοῖς ὁ Γέρων· Ἐὰν ἠρήμωται, οὐκ ἔστι καλὸν ἵνα ἀναγκασθῶσιν οἱ ἀδελφοὶ φαγεῖν αὐτὸ καὶ ἀσθενήσουσιν, ἀλλὰ ῥιφήτω· ἐὰν δὲ καλόν ἐστι καὶ

καί ἐγώ τόν μισῶ· καί ἕνας φτωχός μέ μισεῖ καί ἐγώ τόν ἀγαπῶ». Ὁ ἀββᾶς Μακάριος τό ἄκουσε καί θαύμασε. Καί τοῦ λένε οἱ ἀδελφοί: «Τί σημαίνουν τά λόγια αὐτά, πάτερ, καί θαύμασες;» Καί ὁ Γέροντας εἶπε: «Πράγματι ὁ Κύριός μας εἶναι πλούσιος καί μᾶς ἀγαπᾶ, καί δέν θέλουμε νά ὑπακούουμε σ' Αὐτόν· ἐνῶ ὁ ἐχθρός μας ὁ διάβολος εἶναι φτωχός καί μᾶς μισεῖ καί ἐμεῖς ἀγαποῦμε τή βρωμιά του».

73. Εἶπε ὁ ἀββᾶς Μακάριος: «Ἐάν θυμόμαστε τά δεινά πού μᾶς βρίσκουν ἀπό τούς ἀνθρώπους, ἀκυρώνουμε τή δύναμη πού ἔχει ἡ μνήμη τοῦ Θεοῦ. Ἄν ὅμως θυμόμαστε τά δεινά πού προέρχονται ἀπό τούς δαίμονες, θά εἴμαστε ἄτρωτοι».

74. Εἶπε ὁ ἀββᾶς Ματώης: «Δέν γνωρίζει ὁ Σατανᾶς μέ ποιό πάθος νικιέται ἡ ψυχή. Σπέρνει, ἀλλά δέν γνωρίζει ἐάν θά θερίσει· ἄλλοτε λογισμούς σαρκικῆς ἁμαρτίας καί ἄλλοτε λογισμούς κατακρίσεως καί κατά τόν ἴδιο τρόπο τά ὑπόλοιπα πάθη. Ἀλλά σέ ὅποιο πάθος δεῖ τήν ψυχή νά γέρνει, τῆς παρέχει ἀνάλογους λογισμούς».

75. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ματώη: «Τί νά κάνω ἄν μέ ἐπισκεφθεῖ κάποιος ἀδελφός καί εἶναι νηστεία ἤ πρωΐ; Μέ στενοχωρεῖ αὐτό». Ὁ Γέροντας ἀποκρίθηκε: «Ἐάν χωρίς νά στενοχωρηθεῖς φᾶς μέ τόν ἀδελφό, καλά θά κάνεις. Ἄν ὅμως δέν περιμένεις κάποιον καί φᾶς, αὐτό εἶναι δικό σου θέλημα».

76. Ρώτησαν κάποιοι Πατέρες τόν ἀββᾶ Μεγέθιο: «Ἐάν περισσέψει μαγειρεμένο φαγητό γιά τήν ἄλλη ἡμέρα, ἐγκρίνεις νά τό φᾶνε οἱ ἀδελφοί;» Ὁ Γέροντας τούς λέει: «Ἐάν ἔχει χαλάσει, δέν εἶναι σωστό νά ἀναγκασθοῦν οἱ ἀδελφοί νά τό φᾶνε καί νά ἀρρωστήσουν· ἄς πεταχθεῖ. Ἄν ὅμως εἶναι καλό

διὰ στρῆνος ῥιφῇ καὶ ἄλλο ἑψηθῇ, τοῦτο κακόν ἐστι.

77. Εἶπε πάλιν· Ἐν ἀρχῇ ὅτε συνηγόμεθα πρὸς ἀλλήλους καὶ ἐλαλοῦμεν περὶ ὠφελείας, συγκροτοῦντες ἀλλήλους ἐγινόμεθα χοροὶ χοροὶ καὶ ἀνηρχόμεθα εἰς τοὺς οὐρανούς. Νυνὶ δὲ συναγόμεθα καὶ εἷς τὸν ἕνα εἰς καταλαλιὰν ἐρχόμενοι κατάγομεν κάτω.

78. Ἠρωτήθη ὁ ἀββᾶς Μιῶς ὑπὸ στρατευομένου εἰ ἄρα δέχεται μετάνοιαν ὁ Θεός. Ὁ δέ, μετὰ τὸ κατηχῆσαι αὐτὸν ἐν πολλοῖς λόγοις, λέγει πρὸς αὐτόν· Εἰπέ μοι, ἀγαπητέ, ἐὰν σχισθῇ σου τὸ χλανίδιον, βάλλεις αὐτὸ ἔξω; Λέγει οὔκ, ἀλλὰ πάλιν ῥάπτω αὐτὸ καὶ χρῶμαι αὐτῷ. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ οὖν σὺ τοῦ ἱματίου σου φείδῃ, ὁ Θεὸς τοῦ ἰδίου πλάσματος οὐ φείσεται;

79. Παρέβαλέ ποτε ὁ ἀββᾶς Μακάριος πρὸς τὸν ἀββᾶν Παχώμιον τὸν Ταβεννησιώτην. Ὁ δὲ Παχώμιος ἠρώτα αὐτὸν λέγων ὅτι εἰσὶν ἀδελφοὶ ἄτακτοι. Θέλεις παιδεύσω αὐτούς; Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Παίδευσον καὶ κρῖνον δικαίως τοὺς ὑπὸ σέ· ἔξω δὲ μὴ κρίνῃς τινάς. Γέγραπται γάρ· Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε, τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ;

80. Διηγήσαντο περὶ τοῦ ἀββᾶ Νετρᾶ, μαθητοῦ τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι, ὅτε ἐκάθητο εἰς τὸ κελλίον αὐτοῦ ἐν τῷ ὄρει τῷ

67. Τό ἀπόφθεγμα αὐτό μέ μικρές διαφορές ἀναφέρεται στόν Α΄ τόμο τοῦ *Μ. Γεροντικοῦ* ὡς ἀνώνυμο, σελ. 124.

καί τό πετάξετε, γιατί μεγαλοπιάνεσθε, καί μαγειρέψετε ἄλλο, αὐτό εἶναι κακό».

77. Εἶπε ἐπίσης: «Στήν ἀρχή ὅταν συγκεντρωνόμασταν μεταξύ μας καί μιλούσαμε γιά ὠφέλεια, οἰκοδομώντας ὁ ἕνας τόν ἄλλον, γινόμασταν ὁμάδες-ὁμάδες καί ἀνεβαίναμε στόν οὐρανό. Τώρα ὅμως συγκεντρωνόμαστε καί φθάνοντας στήν καταλαλιά, γκρεμίζουμε ὁ ἕνας τόν ἄλλον[67]».

78. Ρωτήθηκε ὁ ἀββᾶς Μιώς ἀπό ἕναν στρατιωτικό ἐάν ὁ Θεός δέχεται τόν μετανοημένο. Κι ἐκεῖνος ἀφοῦ τόν κατήχησε λέγοντάς του πολλά, τόν ρώτησε: «Πές μου, ἀγαπητέ· ἐάν σχισθεῖ ἡ χλαίνη σου, τήν πετᾶς;» «Ὄχι —εἶπε— τή ράβω πάλι καί τή χρησιμοποιῶ». «Ἄν λοιπόν ἐσύ —τοῦ λέει ὁ Γέροντας— λυπᾶσαι τό ροῦχο σου, ὁ Θεός δέν θά λυπηθεῖ τό δικό του πλάσμα;»

79. Ἐπισκέφθηκε κάποτε ὁ ἀββᾶς Μακάριος τόν ἀββᾶ Παχώμιο τόν Ταβεννησιώτη[68]. Καί ὁ Παχώμιος ἐνημερώνοντάς τον ὅτι ὑπάρχουν κάποιοι ἀδελφοί ἄτακτοι, τόν ρώτησε: «Τό βλέπεις σωστό νά τούς τιμωρήσω;» Καί ὁ ἀββᾶς Μακάριος τοῦ εἶπε: «Τιμώρησέ τους ἀλλά νά κρίνεις δίκαια αὐτούς πού ἔχεις ὑπό τήν ἐπίβλεψή σου. Κάποιους ὅμως πού εἶναι ἔξω ἀπό τή δική σου εὐθύνη νά μήν τούς κρίνεις. Γιατί εἶναι γραμμένο: Τούς ἐντός ἐσεῖς δέν κρίνετε, ἐνῶ τούς ἐκτός θά τούς κρίνει ὁ Θεός;[69]»

80. Διηγήθηκαν γιά τόν ἀββᾶ Νετρᾶ*, τόν μαθητή τοῦ ἀββᾶ Σιλουανοῦ, ὅτι, ὅταν ἀσκοῦνταν στό κελί του στό ὄρος

68. Βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 25-26 καί 461.
69. Α΄ Κορ. 5, 12-13.

Σινᾶ, συμμέτρως ἐδιοίκει ἑαυτὸν εἰς τὴν χρείαν τοῦ σώματος. Ὅτε δὲ ἐγένετο ἐπίσκοπος εἰς Φαράν, πολλὰ ἔσφιγγεν ἑαυτὸν εἰς σκληραγωγίαν. Καὶ λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Ἀββᾶ, ὅταν ἤμεθα εἰς τὴν ἔρημον, οὐκ ἤσκεις οὕτω. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐκεῖ ἔρημος ἦν καὶ ἡσυχία καὶ πτωχεία καὶ ἤθελον κυβερνῆσαι τὸ σῶμα, ἵνα μὴ ἀσθενήσω καὶ ζητήσω ἃ οὐκ εἶχον. Νῦν δὲ κόσμος ἐστὶ καὶ ἀφορμαί εἰσιν· ἐὰν δὲ καὶ ἀσθενήσω ὧδε, ἔστιν ὁ ἀντιλαμβανόμενός μου, ἵνα μὴ ἀπολέσω τὸν μοναχόν.

81. Ἦλθόν ποτε πρεσβύτεροι τῆς χώρας εἰς τὰ μοναστήρια ὅπου ἦν ὁ ἀββᾶς Ποιμήν. Καὶ εἰσῆλθεν ὁ ἀββᾶς Ἀνοὺβ λέγων αὐτῷ· Καλέσωμεν τοὺς πρεσβυτέρους ὧδε σήμερον. Καὶ στάντος αὐτοῦ ἐπὶ πολύ, οὐκ ἔδωκεν αὐτῷ ἀπόκρισιν, καὶ λυπηθεὶς ἐξῆλθε. Λέγουσιν αὐτῷ οἱ καθήμενοι ἐγγὺς αὐτοῦ· Ἀββᾶ, διὰ τί οὐκ ἔδωκας αὐτῷ ἀπόκρισιν; Λέγει αὐτοῖς ὁ ἀββᾶς Ποιμήν· Ἐγὼ πρᾶγμα οὐκ ἔχω· ἀπέθανον γάρ· ὁ δὲ νεκρὸς οὐ λαλεῖ.

82. Ἀπῆλθέ τίς ποτε τῶν ἀδελφῶν ἀπὸ τῶν μερῶν τοῦ ἀββᾶ Ποιμένος ἐπὶ ξένης καὶ κατήντησε πρός τινα ἀναχωρητὴν ἐκεῖ. Ἦν γὰρ ἔχων ἀγάπην καὶ πολλοὶ ἤρχοντο πρὸς αὐτόν. Ἀνήγγειλε δὲ αὐτῷ ὁ ἀδελφὸς περὶ τοῦ ἀββᾶ Ποιμένος· καὶ ἀκούσας τὴν ἀρετὴν αὐτοῦ, ἐπεπόθησεν αὐτὸν ἰδεῖν.

Ἀνακάμψαντος δὲ τοῦ ἀδελφοῦ εἰς Αἴγυπτον, μετὰ χρόνον τινὰ ἀναστὰς ὁ ἀναχωρητὴς ἦλθεν ἀπὸ τῆς ξένης εἰς Αἴγυπτον πρὸς τὸν ποτὲ παραβαλόντα αὐτῷ μοναχόν· ἦν γὰρ εἰπὼν αὐτῷ ποῦ μένει· ἰδὼν δὲ αὐτὸν ἐθαύμασε καὶ ἐχάρη

Σινᾶ, τηροῦσε ἕνα μέτρο στήν ἄσκηση πού ἀνταποκρινόταν στίς ἀνάγκες τοῦ σώματος. Ὅταν ὅμως ἔγινε ἐπίσκοπος στή Φαράν, πίεζε πολύ τόν ἑαυτό του γιά σκληραγωγία. Τοῦ λέει λοιπόν ὁ μαθητής του: «Ἀββᾶ, ὅταν ἤμασταν στήν ἔρημο, δέν ἔκανες τόση ἄσκηση». Καί ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Ἐκεῖ ἦταν ἔρημος καί ἡσυχία καί ἀνέχεια, καί ἤθελα νά κυβερνῶ τό σῶμα, γιά νά μήν ἀρρωστήσω καί ζητήσω αὐτά πού δέν εἶχα. Τώρα ὅμως εἴμαστε μέσα σέ κόσμο καί ὑπάρχουν τά μέσα. Καί νά ἀρρωστήσω ἐδῶ, θά βρεθεῖ αὐτός πού θά μέ φροντίσει· κι ὅλο αὐτό γιά νά μή χάσω τόν μοναχό».

81. Ἦλθαν κάποτε πρεσβύτεροι ἀπό τίς πόλεις στά μοναστήρια, ὅπου ἦταν ὁ ἀββᾶς Ποιμήν*. Μπαίνει μέσα ὁ ἀββᾶς Ἀνούβ καί τοῦ λέει: «Ἄς καλέσουμε τούς πρεσβυτέρους νά ᾽ρθουν ἐδῶ σήμερα». Καί ἐνῶ στήθηκε καί περίμενε πολλή ὥρα, δέν πῆρε ἀπάντηση· καί βγῆκε ἔξω λυπημένος.

Τοῦ λένε αὐτοί πού ἔμεναν κοντά του: «Ἀββᾶ, γιατί δέν τοῦ ἔδωσες ἀπάντηση;» Καί ὁ ἀββᾶς Ποιμήν ἀποκρίθηκε: «Δέν ἔχω τί νά τοῦ πῶ, γιατί ἔχω πεθάνει· καί ὁ νεκρός δέν μιλάει».

82. Κάποτε ἕνας ἀδελφός ἀπό τήν περιοχή τοῦ ἀββᾶ Ποιμένος πῆγε σ᾽ ἕναν ξένο τόπο. Ἐκεῖ κατέληξε σέ κάποιον ἀναχωρητή. Αὐτός ὁ ἀναχωρητής ἦταν ἄνθρωπος ἀγάπης καί πολλοί πήγαιναν καί τόν ἐπισκέπτονταν. Ὁ ἀδελφός τοῦ ἀνέφερε σχετικά μέ τόν ἀββᾶ Ποιμένα· καί σάν ἄκουσε γιά τήν ἀρετή του ἔνιωσε βαθιά τόν πόθο νά τόν δεῖ.

Ὅταν ὁ ἀδελφός γύρισε στήν Αἴγυπτο, μετά ἀπό κάποιο χρονικό διάστημα σηκώθηκε ὁ ἀναχωρητής ἀπό τά ξένα, πῆγε στήν Αἴγυπτο καί βρῆκε τόν μοναχό πού τόν εἶχε ἐπισκεφθεῖ κάποτε, γιατί τοῦ εἶχε πεῖ ποῦ μένει. Σάν τόν εἶδε ἀπόρησε, ἀλλά χάρηκε πολύ. Καί ὁ ἀναχωρητής τοῦ

λίαν. Εἶπε δὲ ὁ ἀναχωρητής· Ποίησον ἀγάπην καὶ ἆρόν με πρὸς τὸν ἀββᾶν Ποιμένα. Καὶ λαβὼν αὐτὸν ἦλθε πρὸς τὸν Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ τὰ περὶ αὐτοῦ λέγων ὅτι μέγας ἄνθρωπός ἐστι καὶ πολλὴν ἀγάπην ἔχων καὶ πολλὴν τιμὴν εἰς τὴν χώραν αὐτοῦ. Ἀνήγγειλα δὲ αὐτῷ περὶ σοῦ καὶ ἐπιθυμῶν ἰδεῖν σε ἦλθεν. Ἐδέξατο οὖν αὐτὸν μετὰ χαρᾶς καὶ ἀσπασάμενοι ἀλλήλους ἐκάθισαν. Καὶ ἤρξατο ὁ ξενικὸς ἀπὸ τῆς Γραφῆς λαλεῖν περὶ πνευματικῶν καὶ οὐρανίων. Ἔστρεψε δὲ ὁ ἀββᾶς Ποιμὴν τὸ πρόσωπον αὐτοῦ καὶ οὐκ ἔδωκεν αὐτῷ ἀπόκρισιν. Ἰδὼν δὲ ὅτι οὐ λαλεῖ μετ' αὐτοῦ, λυπηθεὶς ἀπῆλθε. Καὶ λέγει τῷ ἀδελφῷ τῷ ἐνέγκαντι αὐτόν· Εἰς μάτην ἐποίησα ὅλην τὴν ἀποδημίαν ταύτην. Ἦλθον γὰρ πρὸς τὸν Γέροντα καὶ ἰδοὺ οὐδὲ λαλῆσαι θέλει μετ' ἐμοῦ.

Εἰσῆλθε δὲ ὁ ἀδελφὸς πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ λέγει αὐτῷ· Ἀββᾶ, διὰ σὲ ἦλθεν ὁ μέγας ἄνθρωπος οὗτος ἔχων τοσαύτην δόξαν εἰς τὸν τόπον αὐτοῦ καὶ διὰ τί οὐκ ἐλάλησας μετ' αὐτοῦ; Λέγει αὐτῷ ὁ Γέρων· Αὐτὸς τῶν ἄνω ἐστὶ καὶ ἐπουράνια λαλεῖ, ἐγὼ δὲ τῶν κάτω εἰμὶ καὶ ἐπίγεια λαλῶ. Καὶ εἰ ἐλάλησέ μοι περὶ παθῶν ψυχῆς, ἐγὼ ἂν ἀπεκρινάμην αὐτῷ· εἰ δὲ περὶ πνευματικῶν, ἐγὼ ταῦτα οὐκ οἶδα. Ἐξελθὼν οὖν ὁ ἀδελφὸς εἶπεν αὐτῷ· Ὁ Γέρων οὐ ταχέως ἀπὸ Γραφῆς λαλεῖ· ἀλλ' ἐάν τις αὐτῷ λαλεῖ περὶ παθῶν ψυχῆς, ἀποκρίνεται αὐτῷ. Ὁ δὲ κατανυγεὶς εἰσῆλθε πρὸς τὸν Γέροντα καὶ λέγει αὐτῷ· Τί ποιήσω, ἀββᾶ, ὅτι κατακυριεύουσί μου τὰ πάθη τῆς ψυχῆς; Καὶ προσέσχεν αὐτῷ ὁ Γέρων χαίρων καὶ εἶπε· Νῦν καλῶς ἦλθες· νῦν ἄνοιξόν σου τὸ στόμα περὶ τούτων καὶ πληρώσω αὐτὸ ἀγαθῶν. Ὁ δὲ πολλὰ ὠφεληθεὶς ἔλεγεν· Ὄντως αὕτη ἐστὶν ἡ ἀληθὴς ὁδός. Καὶ εὐχαριστῶν τῷ Θεῷ ἀνέκαμψεν εἰς τὴν

εἶπε: «Κάνε ἀγάπη καί πήγαινέ με στόν ἀββᾶ Ποιμένα». Τόν πῆρε πράγματι καί πῆγαν στόν Γέροντα, τόν ὁποῖο καί κατατόπισε ὁ ἀδελφός σχετικά μέ τόν ἀναχωρητή. «Πρόκειται —εἶπε— γιά σπουδαῖο ἄνθρωπο, ἔχει πολλή ἀγάπη καί χαίρει πολλῆς ἐκτιμήσεως στόν τόπο του. Τοῦ ἀνέφερα τότε γιά σένα καί ἐκδήλωσε τήν ἐπιθυμία νά σέ δεῖ, γι' αὐτό ἦρθε». Τόν δέχθηκε βέβαια μετά χαρᾶς ὁ ἀββᾶς καί ἀφοῦ ἀλληλοασπάσθηκαν κάθισαν. Ἄρχισε τότε ὁ ξένος νά λέει ἀπό τή Γραφή γιά πνευματικά καί οὐράνια πράγματα. Ἀλλά ὁ ἀββᾶς Ποιμήν γύρισε ἀλλοῦ τό πρόσωπό του καί δέν μίλησε. Σάν εἶδε ὅμως ὅτι δέν μιλάει μαζί του, λυπήθηκε καί βγῆκε ἔξω· καί λέει στόν ἀδελφό πού τόν συνόδευσε: «Ἄδικα ἔκανα ὅλη τήν ἀποδημία αὐτή. Ἦλθα ἐδῶ στόν Γέροντα καί νά πού δέν θέλει οὔτε νά μιλήσει μαζί μου».

Μπαίνει τότε ὁ ἀδελφός μέσα στόν ἀββᾶ Ποιμένα καί τοῦ λέει: «Ἀββᾶ, γιά σένα ἦλθε ὁ σπουδαῖος αὐτός ἄνθρωπος, ἄν καί στόν τόπο του ἀπολαμβάνει μεγάλη ἐκτίμηση, καί γιατί δέν μίλησες μαζί του;» Καί ὁ Γέροντας ἀποκρίνεται: «Αὐτός ἀνήκει στά ὑψηλά καί μιλάει οὐράνια γλώσσα, ἐγώ ἀνήκω στούς κάτω καί μιλῶ τήν ἐπίγεια. Ἄν λόγου χάριν θά μοῦ μιλοῦσε γιά τά πάθη τά ψυχικά, ἐγώ θά ἀπαντοῦσα· ἐφόσον μιλάει γιά πνευματικά πράγματα ἐγώ αὐτά δέν τά γνωρίζω». Βγαίνει ὁ ἀδελφός καί τοῦ λέει: «Ὁ Γέροντας δέν συνηθίζει ἀμέσως νά μιλάει ἀπό τή Γραφή. Ἀλλά ἄν τοῦ κάνει λόγο κανείς γιά τά πάθη τῆς ψυχῆς, τοῦ ἀπαντάει».

Ὁ ἀναχωρητής ἦλθε σέ κατάνυξη· ξαναμπαίνει στόν Γέροντα καί τοῦ λέει: «Ἀββᾶ, τί νά κάνω πού μέ αἰχμαλωτίζουν τά πάθη τῆς ψυχῆς;» Τόν κοίταξε ὁ Γέροντας χαρούμενος καί εἶπε: «Τώρα καλωσόρισες· τώρα ἄνοιξε τό στόμα σου γι' αὐτά τά θέματα καί θά τό γεμίσω μέ ἀγαθά». Ἔτσι ὁ ἀναχωρητής ὠφελήθηκε πολύ καί ἔλεγε: «Πράγματι αὐτός εἶναι ὁ ἀληθινός δρόμος». Καί ἐπέστρεψε στή χώρα του

ἰδίαν χώραν, ὅτι τοιούτῳ ἁγίῳ κατηξιώθη συντυχεῖν.

83. Διηγήσαντό τινες ὅτι ποτὲ ὁ ἀββᾶς Ποιμὴν καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰργάζοντο σκουλάκιν· καὶ οὐ προεχώρει μὴ ἐχόντων ἀγοράσαι λινάρια. Καί τις αὐτοῦ ἀγαπητὸς διηγήσατό τινι πραγματευτῇ τὸ πρᾶγμα. Ὁ δὲ ἀββᾶς Ποιμὴν οὐκ ἤθελε λαμβάνειν παρά τινος τίποτε διὰ τὴν ὄχλησιν. Ὁ δὲ πραγματευτὴς θέλων ποιῆσαι ἔργον τῷ Γέροντι, προεφασίσατο χρείαν ἔχειν τῶν σκολακίων καὶ ἤνεγκε τὴν κάμηλον καὶ ἔλαβεν αὐτά. Καὶ ἐλθὼν ὁ ἀδελφὸς πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ ἀκούσας ὃ ἐποίησεν ὁ πραγματευτής, ὡς θέλων ἐπαινέσαι αὐτόν, εἶπε· Φύσει, ἀββᾶ, καὶ μὴ χρῄζων αὐτὰ ἔλαβεν, ἵνα ποιήσῃ ὑμῖν ἔργον. Ἀκούσας δὲ ὁ ἀββᾶς Ποιμὴν ὅτι καὶ μὴ χρῄζων αὐτὰ ἔλαβεν, εἶπε τῷ ἀδελφῷ· Ἀναστὰς μίσθωσαι κάμηλον καὶ φέρε αὐτά. Ἐὰν μὴ φέρῃς αὐτά, Ποιμὴν ὧδε οὐ καθέζεται μεθ᾽ ὑμῶν· οὐ γὰρ ἀδικῶ τινα ἄνθρωπον μὴ χρῄζοντα, ἵνα ζημίαν ποιήσῃ καὶ λάβῃ τὸ κέρδος μου. Καὶ ἀπῆλθεν ὁ ἀδελφὸς αὐτοῦ μετὰ πολλοῦ κόπου καὶ ἤνεγκεν αὐτά. Εἰ δὲ μή, ὁ Γέρων ἀπ᾽ αὐτῶν ἀνεχώρει. Ὡς δὲ εἶδεν αὐτά, ἐχάρη ὡς μέγαν θησαυρὸν εὑρών.

84. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Ἐποίησα ἁμαρτίαν μεγάλην καὶ θέλω μετανοῆσαι τρία ἔτη. Λέγει αὐτῷ ὁ Γέρων· Πολύ ἐστι. Καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· Ἀλλ᾽ ἕως

εὐχαριστώντας τόν Θεό πού τόν ἀξίωσε νά συνομιλήσει μέ τέτοιον ἅγιο.

83. Διηγοῦνταν κάποιοι ὅτι κάποτε ὁ ἀββᾶς Ποιμήν καί οἱ ἀδελφοί του δούλευαν τό σκουλάκι[70]· ἀλλά ἡ δουλειά δέν προχωροῦσε, γιατί δέν εἶχαν νά ἀγοράσουν λινάρι. Κάποιο προσφιλές σ᾽ αὐτόν πρόσωπο ἀνέφερε σ᾽ ἕναν πραγματευτή τό πρόβλημα. Ὁ ἀββᾶς Ποιμήν βέβαια τίποτε δέν ἤθελε νά παίρνει ἀπό κανέναν, γιά νά μή γίνεται ἐνοχλητικός. Ὁ πραγματευτής θέλοντας νά δώσει δουλειά στόν Γέροντα, προφασίστηκε ὅτι ἔχει ἀνάγκη ἀπό σκουλάκια. Ἔφερε λοιπόν κάποια μέρα τήν καμήλα του καί τά πῆρε. Ἦλθε κατόπιν ὁ ἀδελφός στόν ἀββᾶ Ποιμένα καί, ὅταν πληροφορήθηκε αὐτό πού ἔκανε ὁ πραγματευτής, θέλοντας τάχα νά τόν ἐπαινέσει εἶπε: «Πράγματι, ἀββᾶ, ἄν καί δέν τά χρειαζόταν τά πῆρε, γιά νά σᾶς ἐξυπηρετήσει».

Σάν ἔμαθε ὁ ἀββᾶς Ποιμήν ὅτι τά πῆρε ἄν καί δέν τά χρειαζόταν, εἶπε στόν ἀδελφό: «Σήκω, μίσθωσε μιά καμήλα καί φέρε τα πίσω. Ἐάν δέν τά φέρεις, ὁ Ποιμήν δέν μένει ἐδῶ μαζί σας. Δέν θέλω νά προκαλέσω ζημιά σέ κανέναν ἄνθρωπο, ἐφόσον δέν τά ἔχει ἀνάγκη· νά ζημιώσει δηλαδή ἐκεῖνος καί νά πάρει τό πνευματικό μου κέρδος». Ἔτσι ξεκίνησε ὁ ἀδελφός του μέ πολύ κόπο καί τά ἔφερε. Ἀλλιῶς ὁ Γέροντας θά τούς ἄφηνε καί θά ᾽φευγε. Ὅταν ὅμως τά εἶδε, χάρηκε σάν νά βρῆκε μεγάλο θησαυρό.

84. Ἕνας ἀδελφός συμβουλεύθηκε τόν ἀββᾶ Ποιμένα: «Διέπραξα —εἶπε— μεγάλη ἁμαρτία καί θέλω νά μπῶ σέ κανόνα μετανοίας γιά τρία χρόνια». Καί ὁ Γέροντας τοῦ λέει «Πολύ εἶναι». «Μήπως γιά ἕνα χρόνο;» ρωτάει ὁ ἀδελφός.

70. Σκουλάκι(ο)ν ἤ σκολάκι(ο)ν: φυτίλι γιά λυχνάρι ἤ γιά κεριά.

ἐνιαυτοῦ; Καὶ εἶπε πάλιν ὁ Γέρων· Πολύ ἐστι. Οἱ δὲ παρόντες ἔλεγον· Ἕως τεσσαράκοντα ἡμερῶν; Καὶ πάλιν εἶπε· Πολύ ἐστι. Εἶπε δέ· Ἐγὼ λέγω ὅτι ἐὰν ἐξ ὅλης καρδίας μετανοήσῃ ἄνθρωπος καὶ μὴ προσθῇ ἔτι ποιεῖν τὴν ἁμαρτίαν, καὶ εἰς τρεῖς ἡμέρας δέχεται αὐτὸν ὁ Θεός.

85. Ἠρώτησεν ὁ ἀββᾶς Ἠσαΐας τὸν ἀββᾶν Ποιμένα περὶ τῶν ῥυπαρῶν λογισμῶν. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ὥσπερ κάμπτρα μεστὴ ἱματίων, καὶ ἐὰν ἀφήσῃ αὐτήν τις, τῷ χρόνῳ σήπονται. Οὕτω καὶ οἱ λογισμοί· ἐὰν μὴ ποιήσωμεν αὐτοὺς σωματικῶς, τῷ χρόνῳ ἀφανίζονται, ἤτοι σήπονται.

86. Ἠρώτησεν ὁ ἀββᾶς Ἰωσὴφ τὸν αὐτὸν λόγον· καὶ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ὥσπερ ἐάν τις ὄφιν καὶ σκορπίον βάλῃ εἰς ἀγγεῖον καὶ φράξῃ, πάντως τῷ χρόνῳ ἀποθνήσκουσιν, οὕτως οἱ πονηροὶ λογισμοὶ ἀπὸ τῶν δαιμόνων βλαστάνοντες διὰ τῆς ὑπομονῆς ἐκλείπουσιν.

87. Ἀδελφὸς ἦλθε πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ εἶπεν αὐτῷ· Σπείρω τὸν ἀγρόν μου καὶ ποιῶ ἐξ αὐτοῦ ἀγάπην. Λέγει αὐτῷ ὁ Γέρων· Καλῶς ποιεῖς. Καὶ ἀπῆλθε μετὰ προθυμίας καὶ προσέθηκε τῇ ἀγάπῃ. Καὶ ἤκουσεν ὁ ἀββᾶς Ἀνοὺβ τὸν λόγον καὶ λέγει τῷ ἀββᾷ Ποιμένι· Οὐ φοβῇ τὸν Θεὸν οὕτω λαλήσας τῷ ἀδελφῷ; Καὶ ἐσιώπησεν ὁ Γέρων. Καὶ μετὰ δύο ἡμέρας μετεστείλατο ὁ ἀββᾶς Ποιμὴν τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ ἀκούοντος καὶ ἀββᾶ Ἀνούβ· Τί εἶπές μοι τῇ ἄλλῃ, ὅτι ὁ νοῦς

71. Ἡ θέση τοῦ ἀββᾶ Ποιμένος στό ἀπόφθεγμα αὐτό εἶναι μιά ἀκόμη ἔνδειξη τῆς ἀνεξικακίας καί εὐσπλαχνίας τῶν πνευματοφόρων Πατέρων τῆς

«Πολύ εἶναι» ἀπαντᾶ πάλι ὁ Γέροντας. Αὐτοί πού βρίσκονταν ἐκεῖ εἶπαν: «Μέχρι σαράντα μέρες;» Καί πάλι ὁ Γέροντας εἶπε: «Εἶναι πολύ». Καί πρόσθεσε: «Ἐγώ πιστεύω ὅτι ἐάν ὁ ἄνθρωπος μετανοήσει μέ ὅλη του τήν καρδιά καί δέν συνεχίσει νά κάνει τήν ἁμαρτία, καί μέσα σέ τρεῖς μέρες τόν δέχεται ὁ Θεός»[71].

85. Ρώτησε ὁ ἀββᾶς Ἠσαΐας τόν ἀββᾶ Ποιμένα γιά τούς ρυπαρούς λογισμούς. Καί τοῦ λέει ὁ ἀββᾶς Ποιμήν: «Μέ τούς λογισμούς συμβαίνει ὅ,τι μέ τό κοφίνι τό γεμάτο ροῦχα. Ἐάν δηλαδή τά ξεχάσει κανείς ἐκεῖ, μέ τόν καιρό σαπίζουν. Τό ἴδιο καί μέ τούς λογισμούς. Ἐάν δέν μεταβληθοῦν σέ πράξη, μέ τόν καιρό χάνονται, δηλαδή σαπίζουν».

86. Ρώτησε ὁ ἀββᾶς Ἰωσήφ γιά τό ἴδιο θέμα. Καί τοῦ εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ὅπως ἄν κανείς ρίξει μέσα σέ ἀγγεῖο φίδι ἤ σκορπιό καί τό φράξει, σίγουρα μέ τόν καιρό ψοφοῦν, ἔτσι καί οἱ πονηροί λογισμοί, οἱ ὁποῖοι φυτρώνουν ἀπό τούς δαίμονες, μέ τήν ὑπομονή ἐξαφανίζονται».

87. Πῆγε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα καί τοῦ εἶπε: «Σπέρνω τό χωράφι μου καί μέ τή σοδιά κάνω ἐλεημοσύνη». Καί ὁ Γέροντας τοῦ λέει: «Καλά κάνεις». Ἔφυγε ὁ ἀδελφός ὁλοπρόθυμος καί αὔξησε τό ἔργο τῆς ἐλεημοσύνης. Ἄκουσε ὅμως ὁ ἀββᾶς Ἀνούβ τόν διάλογο καί εἶπε στόν ἀββᾶ Ποιμένα: «Δέν φοβᾶσαι τόν Θεό πού μίλησες ἔτσι στόν ἀδελφό;» Ὁ Γέροντας ἔμεινε σιωπηλός. Μετά ἀπό δυό μέρες κάλεσε ὁ ἀββᾶς Ποιμήν τόν ἀδελφό καί τοῦ λέει, καθώς ἄκουε καί ὁ ἀββᾶς Ἀνούβ: «Τί μοῦ εἶπες τίς προάλλες, γιατί ὁ νοῦς μου

Ἐρήμου πρός τόν πεπτωκότα ἄνθρωπο. Τήν αὐστηρότητα τήν περιόριζαν κυρίως στόν ἑαυτό τους. Βλ. καί *Μ. Γεροντικόν* τόμ. Α' σελ. 18-19.

μου ἀλλαχοῦ ἦν; Λέγει αὐτῷ ὁ ἀδελφός· Εἶπον ὅτι σπείρω τὸν ἀγρόν μου καὶ ποιῶ ἐξ αὐτοῦ ἀγάπην. Καὶ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ἐνόμιζον ὅτι περὶ τοῦ ἀδελφοῦ τοῦ κοσμικοῦ ἐλάλησας· εἰ δὲ σὺ εἶ ὁ ποιῶν τὸ ἔργον τοῦτο, οὐκ ἔστι τοῦτο μοναχοῦ. Ὁ δὲ ἀκούσας ἐλυπήθη λέγων· Ἄλλο ἔργον οὐδὲν οἶδα εἰ μὴ τοῦτο καὶ οὐ δύναμαι μὴ σπείρειν τὸν ἀγρόν μου. Ὅτε οὖν ἀνεχώρησεν, ἔβαλε τῷ Γέροντι μετάνοιαν ὁ ἀββᾶς Ἀνοὺβ λέγων· Συγχώρησόν μοι. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Κἀγὼ ἐξ ἀρχῆς ᾔδειν ὅτι οὐκ ἔστιν ἔργον μοναχοῦ, ἀλλὰ πρὸς τὸν λογισμὸν αὐτοῦ ἐλάλησα καὶ ἔδωκα αὐτῷ προθυμίαν εἰς τὴν προκοπὴν τῆς ἀγάπης. Νῦν δὲ ἀπῆλθε λυπούμενος καὶ πάλιν τὸ αὐτὸ ποιεῖ.

88. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἐὰν ἁμάρτῃ ἄνθρωπος καὶ ἀρνήσηται λέγων οὐχ ἥμαρτον, μὴ ἐλέγξῃς αὐτόν· εἰ δὲ μήγε, ἐκκόπτεις αὐτοῦ τὴν προθυμίαν. Ἐὰν δὲ εἴπῃς αὐτῷ· Μὴ ἀθυμήσῃς, ἀδελφέ, ἀλλὰ φύλαξαι τοῦ λοιποῦ, διεγείρεις αὐτοῦ τὴν ψυχὴν εἰς μετάνοιαν.

89. Εἶπε πάλιν· Καλὴ ἡ πεῖρα· αὕτη γὰρ διδάσκει τὸν ἄνθρωπον δόκιμον.

90. Εἶπε πάλιν· Ἄνθρωπος διδάσκων, μὴ ποιῶν δὲ ἃ διδάσκει, ὅμοιός ἐστι κρήνῃ, ὅτι πάντας ποτίζει καὶ πλύνει, ἑαυτὴν δὲ οὐ δύναται καθαρίσαι.

91. Ἀδελφός τις ἦλθε πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ λέγει αὐτῷ· Πολλοὺς λογισμοὺς ἔχω καὶ κινδυνεύω ἐξ αὐτῶν. Καὶ ἐκφέρει αὐτὸν ὁ Γέρων εἰς τὸν ἀέρα καὶ λέγει αὐτῷ· Ἅπλωσον τὸν κόλπον σου καὶ κράτει τοὺς ἀνέμους. Ὁ δὲ εἶπεν· Οὐ

ἦταν ἀλλοῦ». Καί ὁ ἀδελφός τοῦ λέει: «Εἶπα ὅτι σπέρνω τό χωράφι μου καί ἀπό τή σοδιά κάνω ἐλεημοσύνη». «Νόμισα —εἶπε ὁ ἀββᾶς Ποιμήν— ὅτι τό 'πες γιά τόν ἀδελφό σου τόν λαϊκό. Ἐάν ἐσύ εἶσαι πού κάνεις τό ἔργο αὐτό, δέν ταιριάζει αὐτό σέ μοναχό». Ὁ ἀδελφός λυπήθηκε σάν τ' ἄκουσε καί εἶπε: «Ἄλλη ἐργασία δέν ξέρω ἐκτός ἀπ' αὐτήν καί δέν μπορῶ νά μή σπέρνω τό χωράφι μου».

Ὅταν ἔφυγε, ἔβαλε μετάνοια ὁ ἀββᾶς Ἀνούβ στόν Γέροντα λέγοντας: «Συγχώρα με». «Τό 'ξερα κι ἐγώ ἐξαρχῆς — εἶπε ὁ ἀββᾶς Ποιμήν— ὅτι δέν εἶναι ἔργο μοναχοῦ, ἀλλά τοῦ μίλησα σύμφωνα μέ τόν λογισμό του καί τοῦ ἐνίσχυσα τήν προθυμία γιά νά προκόψει στήν ἀγάπη. Ἐνῶ τώρα ἔφυγε λυπημένος καί πάλι τό ἴδιο θά κάνει».

88. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἄν ἁμαρτήσει κάποιος καί ἀρνηθεῖ λέγοντας, δέν ἁμάρτησα· μήν τόν ἐλέγξεις, γιατί ἀλλιῶς, τοῦ κόβεις τήν προθυμία. Ἐνῶ ἄν τοῦ πεῖς: Μήν ἀθυμήσεις, ἀδελφέ, ἀλλά στό ἑξῆς νά φυλαχθεῖς, παρακινεῖς τήν ψυχή του γιά μετάνοια».

89. Εἶπε ἐπίσης: «Εἶναι καλή ἡ πείρα, γιατί αὐτή διδάσκει τόν ἄνθρωπο καί τόν καθιστᾶ ἔμπειρο».

90. Εἶπε ἀκόμη: «Ἄνθρωπος πού διδάσκει, ἀλλά δέν ἐφαρμόζει αὐτά πού διδάσκει μοιάζει μέ βρύση, πού ὅλους τούς ποτίζει καί τούς πλένει, τόν ἑαυτό της ὅμως δέν μπορεῖ νά καθαρίσει».

91. Κάποιος ἀδελφός βρῆκε τόν ἀββᾶ Ποιμένα καί τοῦ λέει: «Ἔχω πολλούς λογισμούς καί κινδυνεύω». Τόν βγάζει ὁ Γέροντας ἔξω στό ὕπαιθρο καί τοῦ λέει: «Ἄνοιξε τήν ἀγκαλιά σου καί πιάσε τούς ἀνέμους». «Δέν μπορῶ —ἀπαντᾶ

δύναμαι τοῦτο ποιῆσαι. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ τοῦτο ποιῆσαι οὐ δύνασαι, οὐδὲ τοὺς λογισμοὺς δύνασαι κωλῦσαι ἐλθεῖν· ἀλλὰ σόν ἐστι τὸ ἀντιστῆναι αὐτοῖς.

92. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἐάν εἰσι τρεῖς ἐπὶ τὸ αὐτό, καὶ ὁ μὲν εἷς ἡσυχάζει καλῶς, ὁ δὲ εἷς ἀσθενεῖ εὐχαριστῶν, ὁ δὲ ἄλλος ὑπηρετεῖ μετὰ καθαροῦ λογισμοῦ, οἱ τρεῖς μιᾶς ἐργασίας εἰσίν.

93. Ἠρώτησεν ὁ ἀββᾶς Ἰωσὴφ τὸν ἀββᾶν Ποιμένα πῶς χρὴ νηστεύειν. Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ἐγὼ θέλω τὸν ἐσθίοντα καθ' ἡμέραν παρὰ μικρὸν ἐσθίειν, ἵνα μὴ χορτάζηται. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἰωσήφ· Ὅτε ἧς νεώτερος, οὐκ ἐνήστευες δύο δύο, ἀββᾶ; Φύσει καὶ τρεῖς καὶ τέσσαρας καὶ ἑβδομάδα. Καὶ ταῦτα πάντα ἐδοκίμασαν οἱ Πατέρες, ὡς δυνατοί, καὶ εὗρον ὅτι κάλλιον τὸ καθ' ἡμέραν ἐσθίειν, παρὰ μικρὸν δέ, καὶ παρέδωκαν ἡμῖν τὴν βασιλικὴν ὁδόν, ὅτι ἐλαφρά ἐστι.

94. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Κατελείφθη μοι κληρονομία· τί ποιήσω αὐτήν; Λέγει αὐτῷ ὁ Γέ-

---

72. Ἐμφανής ὁ νεωτερισμός στό ἀρχαῖο κείμενο: ἐάν + ὁριστ. Ὅλα τά ρήματα τοῦ ἀποφθέγματος εἶναι σέ ὁριστική ἔγκλιση ἀντί τῆς ὑποτακτικῆς.

73. Σημαίνει ὅτι ἔτρωγε μέρα παρά μέρα ἤ κάθε δυό μέρες.

74. Ὁ ὅρος «βασιλική ὁδός» εἶναι σέ χρήση ἀπό ἀρχαιοτάτων χρόνων καί σήμαινε ὅ,τι λέμε σήμερα ἐθνική ὁδό ἤ καί διεθνή (πρβλ. Ἀριθ. 20, 17 καί 21, 22). Χαρακτηριστικά τῆς βασιλικῆς ὁδοῦ ἦταν ἡ ἀσφαλής πορεία καί ἡ βεβαία κατάληξη. Διότι ἀφενός εἶχε προδιαγεγραμμένη κατεύθυνση καί δέν ὑπῆρχε φόβος νά χάσει ὁ ὁδεύων τόν προσανατολισμό του, ἀλλά καί λόγω τῆς μεγάλης κινήσεως καί τοῦ κρατικοῦ ἐλέγχου ἦταν ἀσφαλής ὡς πρός τόν κίν-

ἐκεῖνος— νά τό κάνω αὐτό». Καί ὁ Γέροντας τοῦ εἶπε: «Ἐάν ἀδυνατεῖς νά τό κάνεις αὐτό, οὔτε τούς λογισμούς μπορεῖς νά τούς ἐμποδίσεις νά ἔρθουν. Δικό σου ὅμως ἔργο εἶναι νά ἀντισταθεῖς σ' αὐτούς».

92. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐάν ζοῦν τρεῖς μαζί καί ὁ ἕνας ἀπ' αὐτούς ἀσκεῖ σωστά τήν ἡσυχαστική ζωή, ὁ ἄλλος εἶναι ἄρρωστος ἀλλά εὐγνωμονεῖ καί ὁ τρίτος διακονεῖ μέ καθαρό λογισμό, τό ἔργο καί τῶν τριῶν ἔχει τήν ἴδια ἀξία»[72].

93. Ρώτησε ὁ ἀββᾶς Ἰωσήφ τόν ἀββᾶ Ποιμένα πῶς πρέπει νά νηστεύουν. Ὁ ἀββᾶς Ποιμήν τοῦ εἶπε: «Ἐγώ προτιμῶ νά τρώει κανείς κάθε μέρα ἀλλά μειωμένη μερίδα, ὥστε νά μή φτάνει σέ χορτασμό». Τοῦ λέει ὁ ἀββᾶς Ἰωσήφ: «Ὅταν ἤσουν νέος δέν νήστευες δυό-δυό τίς μέρες;[73]» Καί ἀπαντᾶ ἐκεῖνος: «Ναί καί τρεῖς καί τέσσερες καί ὅλη τήν ἑβδομάδα. Ἀλλά ὅλα αὐτά τά δοκίμασαν οἱ Πατέρες, πού ἦσαν δυνατοί στήν πνευματική ζωή, καί βρῆκαν ὅτι προτιμότερο εἶναι νά τρώει κανείς κάθε μέρα ἀλλά νά μή φτάνει στόν χορτασμό. Καί μᾶς παρέδωσαν τήν βασιλική ὁδό[74], πού εἶναι εὐκολοδιάβατη».

94. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Μοῦ ἄφησαν κληρονομιά —εἶπε— τί νά τήν κάνω;» Κι ὁ Γέρον-

---

δυνο ληστῶν κλπ.

Στήν ἐκκλησιαστική γραμματεία γίνεται χρήση τοῦ ὅρου μέ μεταφορική ἔννοια, καί δηλώνει τήν μεσότητα καί τή συμμετρία στήν ἄσκηση, σύμφωνα μέ τό πνεῦμα τοῦ Βασιλέως Χριστοῦ καί τήν ὅλη παράδοση τῆς Ὀρθοδόξου Ἐκκλησίας. Ἡ βασιλική ὁδός μέ τήν πνευματική της ἔννοια διεκδικεῖ τήν ἀσφάλεια, διότι ἀπομακρύνεται ὁ κίνδυνος τῶν παρεκκλίσεων πρός τά ἄκρα, εἴτε πρός τά δεξιά (τήν ὑπερβολή) εἴτε πρός τά ἀριστερά (τήν ἔλλειψη), πού ὑπαγορεύει τεχνηέντως ὁ διάβολος ὡς ἄλλος τύραννος καί καταδυναστεύει τίς ψυχές γιά νά τίς ἀπολέσει. Βλ. ἀποφθ. 170 καί 278.

ρων· Ἄπελθε καὶ μετὰ τρεῖς ἡμέρας ἐλθὲ καὶ λέγω σοι. Ἦλθε δέ, καθὼς ὥρισεν αὐτῷ, καὶ εἶπεν ὁ Γέρων· Τί ἔχω σοι εἰπεῖν, ἀδελφέ; Ἐὰν εἴπω σοι δὸς αὐτὴν εἰς τὴν ἐκκλησίαν, ἐκεῖ ἄριστον ποιοῦσιν· ἐὰν εἴπω σοι δὸς αὐτὴν τοῖς συγγενέσι σου, οὐκ ἔστι σοι μισθός· ἐὰν δὲ εἴπω σοι δὸς αὐτὴν πτωχοῖς, ἀμεριμνεῖς· εἴ τι οὖν θέλεις, ποίησον· ἐγὼ πρᾶγμα οὐκ ἔχω.

95. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἐὰν ἔλθῃ σοι λογισμὸς περὶ τῶν ἀναγκαίων τοῦ σώματος χρειῶν καὶ διατάξῃς ἅπαξ, καὶ δεύτερον πάλιν ἔλθῃ καὶ διατάξῃς, τὸ τρίτον ἐὰν ἔλθῃ, μὴ πρόσχῃς αὐτῷ μηδόλως· ἀργὸς γάρ ἐστιν.

96. Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Ποιμένι· Ἐὰν θεάσωμαι πρᾶγμα, θέλεις εἴπω αὐτό; Λέγει αὐτῷ ὁ Γέρων· Γέγραπται· Ὃς ἐὰν ἀποκρίνηται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστι καὶ ὄνειδος· ἐὰν ἐπερωτηθῇς, εἰπέ· εἰ δὲ μή, σιώπα.

97. Ἠρώτησέ τις ἀδελφὸς τὸν ἀββᾶν Ποιμένα λέγων· Δύναται ἄνθρωπος πεποιθέναι ἐπὶ τῇ μιᾷ πράξει; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων ὅτι ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς εἶπεν ὅτι· Ἐγὼ θέλω τὸν ἄνθρωπον μεταλαβεῖν μικρόν τι ἐκ πασῶν τῶν ἀρετῶν.

98. Εἶπε πάλιν ὁ ἀββᾶς Ποιμὴν ὅτι εἶπεν ὁ ἀββᾶς Ἀμμωνᾶς ὅτι· Ποιεῖ ἄνθρωπος ὅλον τὸν χρόνον αὐτοῦ βαστάζων ἀξίνην καὶ οὐχ εὑρίσκει κατενεγκεῖν τὸ δένδρον· ἔστι δὲ ἄλλος ἔμπειρος τοῦ κόπτειν καὶ ἀπὸ ὀλίγον καταφέρει τὸ δένδρον. Ἔλεγε δὲ τὴν ἀξίνην εἶναι τὴν διάκρισιν.

τας τοῦ λέει: «Πήγαινε καί ἔλα μετά τρεῖς μέρες καί θά σοῦ πῶ». Ἦλθε τή μέρα πού τοῦ ὅρισε καί ὁ Γέροντας τοῦ εἶπε: «Τί νά σοῦ πῶ, ἀδελφέ; Ἐάν σοῦ πῶ δῶσε την στήν Ἐκκλησία, ἐκεῖ προσφέρουν φαγητό. Ἐάν σοῦ πῶ, δῶσε την στούς συγγενεῖς σου, δέν θά ἔχεις μισθό. Ἐάν σοῦ πῶ, διάθεσέ την σέ φτωχούς, θά εἶσαι ἀμέριμνος. Ὅπως λοιπόν θέλεις κάνε· ἐγώ δέν ἔχω λόγο».

95. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐάν σοῦ ἔλθει λογισμός γιά τίς ἀπαραίτητες ἀνάγκες τοῦ σώματος καί τό τακτοποιήσεις τό θέμα, καί ἄν πάλι σοῦ ἔλθει γιά δεύτερη φορά καί πάλι τό ρυθμίσεις καί σοῦ ἔλθει γιά τρίτη φορά, μή τοῦ δώσεις καθόλου σημασία, γιατί εἶναι λογισμός ἄχρηστος».

96. Κάποιος ἀδελφός εἶπε στόν ἀββᾶ Ποιμένα: «Ἄν δῶ κάτι, τό βλέπεις σωστό νά μιλήσω γι' αὐτό;» Ὁ Γέροντας τοῦ λέει: «Εἶναι γραμμένο ὅτι ὅποιος ἐκφράσει γνώμη, πρίν τοῦ δώσουν τόν λόγο, προδίδει ἀμυαλοσύνη καί εἶναι ντροπή του[75]. Ἄν σέ ρωτήσουν, μίλησε, ἀλλιῶς σώπαινε».

97. Ρώτησε ἕνας ἀδελφός τόν ἀββᾶ Ποιμένα: «Μπορεῖ ὁ ἄνθρωπος νά στηρίζεται σέ μιά συγκεκριμένη του ἄσκηση;» Ὁ Γέροντας τοῦ εἶπε ὅτι ὁ ἀββᾶς Ἰωάννης Κολοβός ἔλεγε: «Ἐγώ προτιμῶ νά μετέχει ὁ ἄνθρωπος ἀπό λίγο σ' ὅλες τίς ἀρετές».

98. Εἶπε πάλι ὁ ἀββᾶς Ποιμήν ὅτι ὁ ἀββᾶς Ἀμμωνᾶς ἔλεγε: «Κάποιος κρατάει ὅλο τόν καιρό στά χέρια τό τσεκούρι καί δέν κατορθώνει νά ρίξει κάτω τό δέντρο. Ἐνῶ ἕνας ἄλλος, ἔμπειρος στό κόψιμο, μέ λίγο κόπο τό ρίχνει τό δένδρο. Καί ἔλεγε ὅτι τσεκούρι εἶναι ἡ διάκριση».

---

75. Παροιμ. 18, 13.

99. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι τὸ θέλημα τοῦ ἀνθρώπου τεῖχός ἐστι χαλκοῦν ἀνὰ μέσον αὐτοῦ καὶ τοῦ Θεοῦ καὶ πέτρα ἀντιδέρουσα. Ἐὰν οὖν καταλείψῃ αὐτὸ ἄνθρωπος, λέγει καὶ αὐτός· Ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος· ἐὰν οὖν τὸ δικαίωμα συνέλθῃ τῷ θελήματι, κάμνει ὁ ἄνθρωπος.

100. Ἦλθόν ποτέ τινες αἱρετικοὶ πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ ἤρξαντο καταλαλεῖν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας ὡς παρὰ πρεσβυτέρων ἔχει τὴν χειροτονίαν. Ὁ δὲ Γέρων σιωπήσας ἐφώνησε τὸν ἀδελφὸν αὐτοῦ καὶ εἶπε· Παράθες τὴν τράπεζαν καὶ ποίησον αὐτοὺς φαγεῖν καὶ πέμψον αὐτοὺς μετ' εἰρήνης.

101. Εἶπε πάλιν ὅτι ἔλεγεν ὁ ἀββᾶς Σισόης ὅτι· Ἔστιν αἰσχύνη ἀφοβίας ἔχουσα ἁμαρτίαν.

102. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Ἐὰν προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι καὶ ἐπιστρέψῃ, συγχωρεῖται παρὰ τῷ Θεῷ; Ἔφη αὐτῷ ὁ Γέρων· Ἀλλ' ὁ ἐντειλάμενος Θεὸς τοῖς ἀνθρώποις τοῦτο ποιεῖν, οὐχὶ μᾶλλον αὐτὸς ποιήσει; Ἐνετείλατο γὰρ τῷ Πέτρῳ λέγων· Ἕως ἑβδομηκοντάκις ἑπτά.

103. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Δύναται ἄνθρωπος κατασχεῖν ὅλους τοὺς λογισμοὺς καὶ μηδένα ἐξ

76. Ψαλμ. 17, 30. 77. Πρβλ. Γαλ. 6, 1.

99. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι τό θέλημα τοῦ ἀνθρώπου εἶναι τεῖχος χάλκινο ἀνάμεσα σ' αὐτόν καί στόν Θεό καί βράχος πού ἀντιστρέφει τό χτύπημα. Ἐάν ὁ ἄνθρωπος ἐγκαταλείψει τό θέλημά του, μπορεῖ νά πεῖ καί αὐτός: Μέ τή δύναμη τοῦ Θεοῦ μου θά δρασκελίσω τό τεῖχος[76]. Ἐάν ὅμως ἡ αὐτοδικαίωση συμπράξει μέ τό θέλημα, τότε ταλαιπωρεῖται ὁ ἄνθρωπος.

100. Πῆγαν κάποτε μερικοί αἱρετικοί στόν ἀββᾶ Ποιμένα καί ἄρχισαν νά κατηγοροῦν τόν ἀρχιεπίσκοπο Ἀλεξανδρείας ὅτι τάχα ἔλαβε τή χειροτονία ἀπό πρεσβυτέρους. Ὁ Γέροντας δέν μίλησε. Φώναξε κατόπιν τόν ἀδελφό του καί εἶπε: «Στρῶσε τραπέζι, βάλε τους νά φᾶνε καί στεῖλε τους στό καλό».

101. Εἶπε ἐπίσης ὅτι ὁ ἀββᾶς Σισόης ἔλεγε: «Ὑπάρχει ντροπή πού ἔχει τήν ἁμαρτία τῆς ἀφοβίας τοῦ Θεοῦ».

102. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Ἐάν βρεθεῖ ἕνας ἄνθρωπος νά κάνει κάποια ἁμαρτία[77] καί μετανοήσει, θά τόν συγχωρήσει ὁ Θεός;» Καί ὁ Γέροντας τοῦ λέει: «Μά, ὁ Θεός πού ἔδωσε ἐντολή στούς ἀνθρώπους νά κάνουν αὐτό, πολύ περισσότερο δέν θά τό κάνει ὁ ἴδιος; Εἶναι γνωστό ὅτι στόν Πέτρο ἔδωσε ἐντολή: Μέχρι ἑβδομήντα φορές τό ἑφτά νά συγχωροῦμε[78]».

103. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Μπορεῖ ὁ ἄνθρωπος νά κυριαρχεῖ σ' ὅλους τούς λογισμούς καί νά μήν παραχωρεῖ κανέναν ἀπ' αὐτούς στόν ἐχθρό;» Ὁ Γέ-

78. Ματθ. 18, 21-22. Ὁ ἀριθμός ἑπτά στούς Ἑβραίους συχνά ἐκφράζει πλησμονή καί ἰσοδυναμεῖ μέ τό πολλάκις (πολλές φορές).

αὐτῶν διδόναι τῷ ἐχθρῷ; Καὶ εἶπεν ὁ Γέρων· Ἔστιν ὁ λαμβάνων δέκα καὶ διδοὺς ἕνα.

104. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Οὐκ ἔστι μοναχὸς μεμψίμοιρος· οὐκ ἔστι μοναχὸς ποιῶν ἀνταπόδομα· οὐκ ἔστι μοναχὸς ὀργίλος.

105. Παρέβαλόν τινες τῶν Γερόντων πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ εἶπον αὐτῷ· Θέλεις, ἐὰν ἴδωμεν ἀδελφὸν νυστάζοντα εἰς τὴν σύναξιν, νύξωμεν αὐτόν, ἵνα γρηγορήσῃ εἰς τὴν ἀγρυπνίαν; Ὁ δὲ λέγει αὐτοῖς· Ἐγὼ τέως ἐὰν ἴδω τὸν ἀδελφὸν νυστάζοντα, τίθημι τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τῶν γονάτων μου καὶ ἀναπαύω αὐτόν.

106. Ἔλεγον περί τινος ἀδελφοῦ ὅτι ἐπολεμήθη εἰς βλασφημίαν καὶ ᾐσχύνετο εἰπεῖν. Καὶ ὅπου ἤκουε περὶ μεγάλου Γέροντος, παρέβαλεν αὐτῷ ὥστε ἀναγγεῖλαι· καὶ ὡς ἔφθανεν, ᾐσχύνετο ὁμολογῆσαι. Πολλάκις οὖν παρέβαλε καὶ τῷ ἀββᾷ Ποιμένι. Καὶ ἔβλεπεν αὐτὸν ὁ Γέρων ἔχοντα λογισμοὺς καὶ ἐλυπεῖτο τοῦ ἀδελφοῦ μὴ ἀναγγέλλοντος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν προπέμπων αὐτόν, ἔλεγεν αὐτῷ· Ἰδοὺ τοσοῦτον χρόνον ἔρχῃ ὧδε ἔχων λογισμοὺς τοῦ ἀναγγεῖλαί μοι· καὶ ὅταν ἔρχῃ, οὐ θέλεις αὐτοὺς εἰπεῖν, ἀλλὰ καθάπαξ ὑπάγεις θλιβόμενος ἔχων αὐτούς· εἰπὲ οὖν, τέκνον, τί ἐστιν ὃ ἔχεις; Ὁ δὲ εἶπεν αὐτῷ ὅτι εἰς βλασφημίαν Θεοῦ πολεμᾷ με ὁ ἐχθρὸς καὶ ᾐσχυνόμην εἰπεῖν· καὶ διηγησάμενος αὐτῷ τὸ πρᾶγμα εὐθέως ἠλαφρύνθη. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Μὴ θλίβου, τέκνον, ἀλλ', ὅταν ἔρχηται ὁ λογισμὸς οὗτος, λέγε· Ἐγὼ πρᾶγμα οὐκ ἔχω. Ἡ

ροντας εἶπε: «Εἶναι ἄνθρωπος πού δέχεται δέκα λογισμούς καί παραχωρεῖ τόν ἕνα».

104. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Δέν εἶναι μοναχός αὐτός πού κλαίει τή μοίρα του, δέν εἶναι μοναχός αὐτός πού ἐκδικεῖται, δέν εἶναι μοναχός αὐτός πού ὀργίζεται».

105. Πῆγαν κάποιοι Γέροντες στόν ἀββᾶ Ποιμένα καί τοῦ εἶπαν: «Ἔχουμε τήν εὐλογία σου, ἄν δοῦμε κανέναν ἀδελφό νά νυστάζει τήν ὥρα τῆς ἀκολουθίας, νά τόν κεντρίσουμε λίγο, γιά νά παρακολουθεῖ ξύπνιος τήν ἀγρυπνία;» Καί ὁ ἀββᾶς εἶπε: «Ἐγώ, ἀντίθετα, ἄν δῶ κάποιον ἀδελφό νά νυστάζει, βάζω τό κεφάλι του πάνω στά γόνατά μου γιά νά τόν ἀναπαύσω».

106. Διηγοῦνταν γιά κάποιον ἀδελφό ὅτι τόν πολεμοῦσαν λογισμοί βλασφημίας καί ντρεπόταν νά τό πεῖ. Καί ὅπου μάθαινε ὅτι ὑπάρχει κάποιος μεγάλος Γέροντας, πήγαινε νά τοῦ τό ἀναφέρει. Ἀλλά μόλις ἔφθανε ἐκεῖ, ντρεπόταν νά τό ὁμολογήσει.

Πολλές φορές λοιπόν πῆγε καί στόν ἀββᾶ Ποιμένα. Ὁ Γέροντας διέκρινε ὅτι ἔχει λογισμούς ὁ ἀδελφός, καί λυπόταν πού δέν τούς φανέρωνε. Κάποια μέρα λοιπόν ξεπροβοδώντας τον τοῦ εἶπε: «Νά, τόσον καιρό ἔρχεσαι ἐδῶ νά μοῦ φανερώσεις τούς λογισμούς σου καί ὅταν καταφθάνεις, δέν θέλεις νά τούς πεῖς. Καί πάντα φεύγεις θλιμμένος κρατώντας τους. Πές μου λοιπόν, παιδί μου, τί εἶναι αὐτό πού ἔχεις;» Κι ἐκεῖνος τοῦ εἶπε: «Μέ πολεμάει ὁ ἐχθρός νά βλασφημήσω τόν Θεό καί ντρεπόμουν νά τό ὁμολογήσω». Καί ἀφοῦ τοῦ περιέγραψε τόν πειρασμό του, εὐθύς ξαλάφρωσε. Καί ὁ Γέροντας τοῦ λέει: «Μή θλίβεσαι, παιδί μου· ὅταν ἔρχεται ὁ λογισμός αὐτός, νά λές· Ἐγώ εὐθύνη δέν ἔχω. Ἡ βλασφημία σου

βλασφημία σου ἐπάνω σου, Σατανᾶ· τοῦτο γὰρ τὸ πρᾶγμα οὐ θέλει ἡ ψυχή μου. Πᾶν δὲ πρᾶγμα ὃ οὐ θέλει ἡ ψυχή, ὀλιγοχρόνιόν ἐστι. Καὶ θεραπευθεὶς ὁ ἀδελφὸς ἀπῆλθεν.

107. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Διὰ τί πείθουσι τὴν ψυχήν μου οἱ δαίμονες εἶναι μετὰ τοῦ ὑπερβαίνοντός με καὶ ποιοῦσί με ἐξουθενεῖν τὸν ἐλάττονά μου; Λέγει αὐτῷ ὁ Γέρων· Διὰ τοῦτο εἶπεν ὁ Ἀπόστολος ὅτι ἐν μεγάλῃ οἰκίᾳ οὔκ εἰσι σκεύη χρυσᾶ καὶ ἀργυρᾶ μόνον ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· ἐὰν οὖν ἐκκαθάρῃ τις ἑαυτὸν ἀπὸ πάντων τούτων, ἔσται σκεῦος εἰς τιμὴν εὔχρηστον τῷ Δεσπότῃ, ἡτοιμασμένον εἰς πᾶν ἔργον ἀγαθόν.

108. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Χρῄζει τὸ κοινόβιον τρεῖς πράξεις ἔχειν· μίαν ταπεινὴν καὶ μίαν εἰς ὑπακοὴν καὶ μίαν κεκινημένην καὶ ἔχουσαν τὸ κέντρον διὰ τὸ ἔργον τοῦ κοινοβίου.

109. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Ἐν καιρῷ θλίψεώς μου ἐζήτησα παρά τινος τῶν ἁγίων πρᾶγμα ἐν χρήσει καὶ ἔδωκέ μοι αὐτὸ ἀγάπην. Ἐὰν οὖν ὁ Θεὸς κἀμὲ οἰκονομήσῃ, δώσω αὐτὸ ἀγάπην ἄλλοις ἢ μᾶλλον τῷ δεδωκότι αὐτό; Λέγει αὐτῷ ὁ Γέρων ὅτι· Δίκαιον παρὰ τῷ Θεῷ ἐστιν, ἵνα αὐτῷ δοθῇ· αὐτοῦ γάρ ἐστι. Λέγει αὐτῷ ὁ ἀδελφός· Ἐὰν ἀπενέγκω οὖν καὶ μὴ θελήσῃ λαβεῖν, ἀλλ' εἴπῃ μοι· Ὕπαγε, ὡς θέλεις, δὸς αὐτὸ ἀγάπην, τί ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Τέως αὐτοῦ ἐστι τὸ πρᾶγμα. Ἐὰν δέ τίς σοι παράσχῃ ἀφ' ἑαυτοῦ, σοῦ μὴ αἰτήσαντος αὐτόν, τοῦτο σόν ἐστιν· ἐὰν δὲ αἰτήσῃς ἢ

---

79. Β' Τιμ. 2, 21.

νά πέσει ἐπάνω σου, Σατανᾶ· γιατί αὐτό τό πράγμα δέν τό θέλει ἡ ψυχή μου. Ἄλλωστε κάθε πράγμα πού δέν τό θέλει ἡ ψυχή, δέν κρατάει πολύ». Ἔτσι ὁ ἀδελφός ἔφυγε θεραπευμένος.

107. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Γιατί οἱ δαίμονες μέ πείθουν νά εἶμαι μέ τόν ἀνώτερό μου καί μέ κάνουν νά καταφρονῶ τόν κατώτερό μου;» Ὁ Γέροντας τοῦ λέει: «Γι' αὐτό εἶπε ὁ Ἀπόστολος ὅτι σ' ἕνα μεγάλο σπιτικό δέν ὑπάρχουν μόνο χρυσά σκεύη καί ἀσημένια, ἀλλά καί ξύλινα καί πήλινα. Ἄν λοιπόν καθαρίσει κανείς τόν ἑαυτό του ἀπ' ὅλα αὐτά, θά εἶναι τιμημένο σκεῦος, χρήσιμο γιά τόν Δεσπότη καί ἕτοιμο γιά κάθε καλό ἔργο[79]».

108. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἡ κοινοβιακή ζωή ἔχει ἀνάγκη ἀπό τρεῖς λειτουργικές κατευθύνσεις: μία τήν καλλιέργεια τῆς ταπείνωσης, μία τήν ἄσκηση τῆς ὑπακοῆς καί μία τρίτη τήν δραστηριοποίηση γιά τίς ἐργασίες τοῦ κοινοβίου».

109. Κάποιος ἀδελφός εἶπε στόν ἀββᾶ Ποιμένα: «Ὅταν περνοῦσα κάποτε μιά δυσκολία, ζήτησα ἀπό κάποιον Γέροντα κάτι πού μοῦ χρειαζόταν καί μοῦ τό ἔδωσε αὐτό ὡς ἐλεημοσύνη. Ἐάν καί σέ μένα ὁ Θεός τά φέρει δεξιά, νά τό δώσω αὐτό ἀπό ἀγάπη σέ ἄλλους ἤ εἶναι προτιμότερο σ' αὐτόν πού μοῦ τό εἶχε δώσει;» Καί ὁ Γέροντας ἀπάντησε: «Δίκαιο γιά τόν Θεό εἶναι νά δοθεῖ σ' αὐτόν, γιατί σ' αὐτόν ἀνήκει».

Ρωτάει ὁ ἀδελφός: «Ἐάν τοῦ τό πάω καί δέν θελήσει νά τό πάρει καί μοῦ πεῖ: Πήγαινε καί χάρισέ το ὅπως θέλεις, τί νά κάνω;» «Ὁπωσδήποτε —λέει ὁ Γέροντας— εἶναι δικό του. Μόνο σέ περίπτωση πού θά σοῦ δώσει κάποιος κάτι ἀπό μόνος του χωρίς νά τοῦ τό ζητήσεις, αὐτό εἶναι δικό σου. Ἄν ὅμως ἐσύ ζητήσεις αὐτό τό πράγμα εἴτε ἀπό μοναχό εἴτε

παρὰ μοναχοῦ ἢ κοσμικοῦ καὶ μὴ θελήσῃ δέξασθαι αὐτό, τοῦτό ἐστι τὸ σύγκριμα, ἵνα εἰδότος αὐτοῦ παράσχῃς αὐτὸ ὑπὲρ αὐτοῦ ἀγάπην.

110. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ἐστι τὸ ὀργισθῆναι εἰκῆ τῷ ἀδελφῷ αὐτοῦ; Καὶ εἶπε· Πᾶσαν πλεονεξίαν ἣν πλεονεκτήσει σε ὁ ἀδελφός σου, κἂν ὀργισθῇς αὐτῷ, εἰκῆ ὀργίζῃ· κἂν ἐξορύξῃ τὸν δεξιὸν ὀφθαλμόν σου καὶ ἐκκόψῃ τὴν δεξιάν σου χεῖρα καὶ ὀργισθῇς αὐτῷ, εἰκῆ ὀργίζῃ· ἐὰν δὲ χωρίζῃ σε ἀπὸ τοῦ Θεοῦ, τότε ὀργίσθητι.

111. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ποιμένα· Τί ἐστι μετάνοια τῆς ἁμαρτίας; Καὶ εἶπεν ὁ Γέρων· Τὸ μὴ τοῦ λοιποῦ ποιεῖν αὐτήν. Διὰ τοῦτο γὰρ ἐκλήθησαν ἄμωμοι οἱ δίκαιοι, ὅτι κατέλιπον τὰς ἁμαρτίας καὶ δίκαιοι ἐγένοντο.

112. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Δύναται ἄνθρωπος εἶναι νεκρός; Λέγει αὐτῷ ὅτι· Ἐὰν φθάσῃ εἰς τὴν ἁμαρτίαν, γίνεται ἀποθανών· ἐὰν δὲ φθάσῃ εἰς τὸ ἀγαθόν, ζήσεται καὶ ποιήσει αὐτό.

113. Εἶπε πάλιν ὅτι· Τὸ διδάξαι τὸν πλησίον ὑγιαίνοντός ἐστι καὶ ἀπαθοῦς· ἐπεὶ τίς ἡ χρεία οἰκοδομῆσαί τινα ἄλλου οἰκίαν καὶ τὴν ἰδίαν καταστρέψαι;

80. Πρβλ. Ματθ. 5, 22.

81. Ἀπάθεια στά πατερικά κείμενα σημαίνει τήν ἀπελευθέρωση τῆς ψυχῆς

ἀπό λαϊκό καί δέν θελήσει νά τό πάρει πίσω, αὐτή εἶναι ἡ βάση: Νά τό δώσεις ἐλεημοσύνη γιά χάρη του, ἐνῶ τό γνωρίζει καί ἐκεῖνος».

110. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί εἶναι τό νά ὀργισθεῖ κανείς ἐναντίον τοῦ ἀδελφοῦ του χωρίς λόγο;[80]»

Καί ὁ ἀββᾶς εἶπε: «Γιά ὅποια ἀδικία θά σοῦ κάνει ὁ ἀδελφός σου ἀπό ἀπληστία, ἐάν ὀργισθεῖς ἐναντίον του, ὀργίζεσαι χωρίς λόγο. Κι ἄν σοῦ βγάλει τό δεξί σου μάτι καί κόψει τό δεξί σου χέρι καί ὀργισθεῖς ἐναντίον του, χωρίς λόγο ὀργίζεσαι. Ἄν ὅμως σέ χωρίζει ἀπό τόν Θεό, τότε νά ὀργισθεῖς».

111. Ρώτησε κάποιος ἀδελφός τόν ἀββᾶ Ποιμένα: «Τί εἶναι μετάνοια γιά τήν ἁμαρτία;» Καί ὁ Γέροντας ἀπάντησε: «Τό νά μήν κάνει κανείς στό ἑξῆς τήν ἁμαρτία. Γι᾽ αὐτό τόν λόγο οἱ δίκαιοι ὀνομάσθηκαν ἄμεμπτοι, γιατί ἔπαυσαν νά ἁμαρτάνουν καί ἔγιναν δίκαιοι».

112. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Μπορεῖ ὁ ἄνθρωπος νά εἶναι νεκρός;» Καί τοῦ ἀπαντᾶ: «Ἐάν σπεύσει στήν ἁμαρτία, νεκρώνεται. Ἐνῶ ἐάν σπεύσει στό ἀγαθό, θά ἔχει ζωή καί θά ἐκτελεῖ τό ἀγαθό».

113. Εἶπε ἐπίσης: «Ἡ διδασκαλία τοῦ πλησίον ἀνήκει σ᾽ αὐτόν πού εἶναι ὑγιής στό φρόνημα καί ἀπαθής στήν ψυχή[81]. Καί ποιός ὁ λόγος νά χτίσεις τό σπίτι τοῦ ἄλλου καί νά γκρεμίσεις τό δικό σου;»

ἀπό τήν ἐνέργεια τῶν παθῶν. Βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 161 ὑποσημ. 154.

114. Ὁ αὐτὸς εἶπε· Τίς χρεία ἀπελθεῖν εἰς τέχνην καὶ μὴ μανθάνειν αὐτήν;

115. Εἶπε πάλιν ὅτι τὰ ὑπέρμετρα πάντα τῶν δαιμόνων εἰσίν.

116. Εἶπε πάλιν· Ἡ πεῖνα καὶ ὁ νυσταγμὸς οὐκ ἀφῆκεν ἡμᾶς ταῦτα τὰ εὐτελῆ ἰδεῖν.

117. Ἠρώτησέ τις τῶν Πατέρων τὸν ἀββᾶν Ποιμένα λέγων· Τίς ἐστιν ὁ λέγων· Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε; Καὶ εἶπεν ὁ Γέρων· Τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν ὁ λέγων.

118. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ποιμένι καὶ συγκαθημένων τινῶν ἐπήνεσέ τινα ἀδελφόν, ὅτι μισοπόνηρός ἐστι. Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Τί ἐστι μισοπονηρία; Ἐξέστη δὲ ὁ ἀδελφὸς καὶ οὐχ εὗρεν αὐτῷ ἀποκριθῆναι· ἀναστὰς δὲ μετενόησε τῷ Γέροντι λέγων· Εἰπέ μοι, τί ἐστι μισοπονηρία; Ἔφη ὁ Γέρων· Μισοπονηρία αὕτη ἐστίν, εἴ τις τὰς ἁμαρτίας αὐτοῦ ἐμίσησε καὶ τὸν πλησίον ἐδικαίωσε.

119. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω τῷ βάρει τούτῳ τῷ συνέχοντί μοι; Λέγει αὐτῷ ὁ Γέρων ὅτι· Τὰ μικρὰ πλοῖα καὶ τὰ μεγάλα ἔχουσι ζῶνας, ἵνα, ἐὰν μὴ ᾖ εὔφορος ἄνεμος, βάλωσι τὸ παρόλκιον καὶ τὰς ζώνας εἰς τὰ στήθη αὐτῶν καὶ κατ᾽ ὀλίγον ἕλκωσι τὸ πλοῖον, ἕως οὗ ὁ Θεὸς πέμψῃ ἄνεμον. Ἐὰν δὲ μάθωσιν ὅτι ἀνέστη γνόφος, τότε δὴ ὁρμῶσι καὶ βάλλουσι πάσσαλον, ἵνα μὴ ῥέμβηται.

82. Ψαλμ. 118, 63.

83. Στό ἀλφαβητικό Γεροντικό προστίθεται ἡ φράση: Πάσσαλος δέ ἐστι τὸ ἑαυτὸν μέμφεσθαι.

114. Ὁ ἴδιος εἶπε: «Σέ τί ἐξυπηρετεῖ τό νά πηγαίνει κανείς σέ μιά τέχνη καί νά μήν τή μαθαίνει;»

115. Εἶπε ἀκόμη: «Ὅ,τι ἔχει τό στοιχεῖο τῆς ὑπερβολῆς εἶναι ἀπό τούς δαίμονες».

116. Εἶπε πάλι: «Ἡ πεῖνα καί ἡ νύστα δέν μᾶς ἄφησαν νά δοῦμε αὐτά τά ἀνάξια λόγου».

117. Κάποιος ἀπό τούς Πατέρες ρώτησε τόν ἀββᾶ Ποιμένα: «Ποιός εἶναι αὐτός πού λέει: Ἔχω κοινωνία μ᾽ ὅλους αὐτούς πού σέ φοβοῦνται[82];» Καί ὁ Γέροντας ἀπάντησε: «Τό Πνεῦμα τό Ἅγιο εἶναι πού τό λέει».

118. Ἕνας ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Ποιμένα. Καί ὅταν βρέθηκαν μαζί μερικοί, ἐπήνεσε κάποιον ἀδελφό ὅτι εἶναι μισοπόνηρος. Τόν ρωτάει ὁ ἀββᾶς Ποιμήν: «Τί εἶναι μισοπονηρία;» Τά ἔχασε ὁ ἀδελφός καί δέν ἤξερε τί νά τοῦ ἀπαντήσει. Σηκώθηκε ὅμως, ἔβαλε μετάνοια στόν Γέροντα λέγοντας: «Πές μου τί εἶναι μισοπονηρία». Καί εἶπε ὁ Γέροντας: «Μισοπονηρία εἶναι νά μισεῖ κανείς τίς ἁμαρτίες του καί νά δικαιώνει τόν πλησίον του».

119. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τί νά κάνω γιά τό βάρος αὐτό πού μέ πιέζει;» Κι ὁ Γέροντας τοῦ λέει: «Τά μικρά καί τά μεγάλα πλοῖα ἔχουν ζῶνες, ὥστε ἐάν δέν πνέει εὐνοϊκός ἄνεμος, νά βάλουν τό σχοινί καί τίς ζῶνες στά στήθη τους καί λίγο λίγο νά ρυμουλκοῦν τό πλοῖο, ἕως ὅτου ὁ Θεός στείλει τόν ἄνεμο. Καί ἄν ἀντιληφθοῦν ὅτι σηκώνεται ἀντάρα, τότε βέβαια τρέχουν καί τό δένουν σέ πάσσαλο γιά νά μήν πηγαίνει δῶθε κεῖθε[83]».

120. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα διὰ τὰς τῶν λογισμῶν ἐπηρείας. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Τοῦτο τὸ πρᾶγμα ἔοικεν ἀνδρὶ ἔχοντι πῦρ ἐξ εὐωνύμων καὶ κρατῆρα ὕδατος ἐκ δεξιῶν· ἐὰν οὖν ἐξαφθῇ τὸ πῦρ, βάλλει ἐκ τοῦ κρατῆρος ὕδωρ καὶ σβέσει αὐτό. Τὸ πῦρ ἐστιν ὁ σπόρος τοῦ ἐχθροῦ· τὸ δὲ ὕδωρ τὸ ῥίψαι ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ.

121. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Βέλτιόν ἐστι τὸ λαλῆσαι ἢ σιωπῆσαι; Λέγει ὁ Γέρων ὅτι· Ὁ λαλῶν διὰ τὸν Θεὸν καλῶς ποιεῖ καὶ ὁ σιωπῶν διὰ τὸν Θεὸν ὁμοίως.

122. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Πῶς δύναται ἄνθρωπος ἐκφυγεῖν τὸ κακῶς εἰπεῖν τὸν πλησίον; Λέγει αὐτῷ ὁ Γέρων· Ἡμεῖς καὶ οἱ ἀδελφοὶ ἡμῶν δύο εἰκόνες ἐσμέν· ᾗ δ᾽ ἂν ὥρᾳ ὁ ἄνθρωπος ἑαυτῷ προσέχῃ καὶ μέμφηται, εὑρίσκεται ἔντιμος παρ᾽ αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· ὅταν δὲ ἑαυτῷ φαίνηται καλός, εὑρίσκει τὸν ἀδελφὸν αὐτοῦ κακὸν ἐνώπιον αὐτοῦ.

123. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα διὰ τὴν ἀκηδίαν. Καὶ λέγει αὐτῷ ὁ Γέρων ὅτι· Ἡ ἀκηδία εἰστήκει ἐπὶ πάσης ἀρχῆς καὶ οὐκ ἔστι χεῖρον αὐτῆς πάθος. Ἀλλ᾽ ἐὰν γνωρίσῃ αὐτὴν ὁ ἄνθρωπος ὅτι αὕτη ἐστίν, ἀναπαύεται.

120. Ρώτησε ἕνας ἀδελφός τόν ἀββᾶ Ποιμένα γιά τόν ἐπηρεασμό πού προκαλοῦν οἱ λογισμοί. Καί τοῦ λέει ὁ Γέροντας: «Αὐτό πού λές μοιάζει μέ τήν περίπτωση ἀνθρώπου ὁ ὁποῖος ἔχει ἀπ᾽ τά ἀριστερά του φωτιά καί ἀπ᾽ τά δεξιά κανάτι μέ νερό. Ἐάν ζωηρέψει ἡ φωτιά, ρίχνει νερό ἀπ᾽ τό κανάτι καί τήν σβήνει.

Ἡ φωτιά εἶναι ὁ σπόρος τοῦ ἐχθροῦ· καί τό νερό τό νά ρίξει ὁ ἄνθρωπος τόν ἑαυτό του ἐνώπιον τοῦ Θεοῦ».

121. Ἄλλος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Εἶναι προτιμότερο τό νά μιλάει κανείς ἤ νά σιωπᾶ;» Ὁ Γέροντας εἶπε: «Ἐκεῖνος πού μιλάει, ἐπειδή τό θέλει ὁ Θεός, καλά κάνει. Καί ἐκεῖνος πού σιωπᾶ, γιατί τό θέλει ὁ Θεός, ἐπίσης καλά κάνει».

122. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Πῶς μπορεῖ ὁ ἄνθρωπος νά ξεφύγει ἀπό τό νά κακολογεῖ τόν πλησίον;» «Ἐμεῖς καί οἱ ἀδελφοί μας —τοῦ λέει ὁ Γέροντας— εἴμαστε δυό εἰκόνες. Ὅποια ὥρα ὁ ἄνθρωπος ἔχει στραμμένη τήν προσοχή στόν ἑαυτό του καί μέμφεται τόν ἑαυτό του, βλέπει τόν ἀδελφό του ἄξιο ἐπαίνων. Ὅταν ὅμως ὁ ἑαυτός του τοῦ φαίνεται καλός, τότε τόν ἀδελφό του τόν βλέπει κακό».

123. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα γιά τήν ἀκηδία. Καί ὁ Γέροντας εἶπε: «Ἡ ἀκηδία[84] στέκει πάνω ἀπό κάθε ξεκίνημα καί δέν ὑπάρχει χειρότερο πάθος ἀπ᾽ αὐτήν. Ἀλλά ἄν ὁ ἄνθρωπος τήν ἐντοπίσει ὅτι αὐτή εἶναι, βρίσκει ἀνάπαυση».

84. Ἀκηδία: Βλ. *Μ. Γεροντικόν* τόμ. Α' σελ. 126 ὑποσημ. 109 καί τόμ. Β' σελ. 60 ὑποσημ. 34.

124. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Θέλω εἰς κοινόβιον εἰσελθεῖν καὶ οἰκῆσαι. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ θέλεις εἰς κοινόβιον εἰσελθεῖν, εἰ μὴ ἀμεριμνήσεις ἀπὸ πάσης συντυχίας καὶ ἀπὸ παντὸς πράγματος, οὐ δύνασαι κοινόβιον ἐργάσασθαι· τοῦ γὰρ βαυκαλίου μόνου μόνον οὐκ ἔχεις ουσίαν.

125. Ἔλεγον οἱ ἀδελφοὶ τοῦ ἀββᾶ Ποιμένος αὐτῷ· Ἀπέλθωμεν ἐκ τοῦ τόπου τούτου· ὀχλοῦσι γὰρ τὰ μοναστήρια τοῦ τόπου τούτου ἡμῖν καὶ ἀπόλλυμεν τὰς ψυχὰς ἡμῶν· ἰδοὺ καὶ τὰ παιδία κλαίοντα οὐκ ἀφίουσιν ἡμᾶς ἡσυχάσαι. Λέγει αὐτοῖς ὁ ἀββᾶς Ποιμήν· Διὰ τὰς φωνὰς τῶν ἀγγέλων θέλετε ἀναχωρῆσαι ἔνθεν;

126. Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Ποιμένι· Τὸ σῶμά μου ἐξησθένησε καὶ τὰ πάθη μου οὐκ ἐξασθενοῦσι. Λέγει αὐτῷ ὁ Γέρων· Ἀκανθώδεις ῥουσίδες εἰσὶ τὰ πάθη.

127. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Πῶς δεῖ με καθίσαι ἐν τῷ κελλίῳ; Λέγει αὐτῷ· Τὸ ἐν τῷ κελλίῳ κα-

---

85. Ἡ ἀμεριμνία εἶναι βασική ἀρετή, πού ὁδηγεῖ τόν ἀγωνιστή μοναχό στήν εὐλογημένη ἀρετή τῆς ξενιτείας. Πρόκειται γιά τήν καλῶς ἐννοουμένη ἀδιαφορία γιά κάθε τι πού εἶναι ἔξω ἀπό τά ἐντελλόμενα στά πλαίσια τῆς κοινοβιακῆς ζωῆς. Ἡ ἀποφυγή τῆς ἀνώφελης μέριμνας περισώζει τήν ἀδιάσπαστη ἀφοσίωση τοῦ μοναχοῦ στό κύριο πνευματικό του ἔργο καί τόν βοηθάει νά προκόπτει· ἐνῶ ὁ περισπασμός τόν ἀποπροσανατολίζει. Βλ. *Μ. Γεροντικόν* τόμ. Β΄ σελ. 219-221 ὑποσημ. 68.

86. Ἡ εἰκόνα πού μᾶς δίνει τό ἀπόφθεγμα αὐτό ἀποτελεῖ ἕνα ἀκόμη ἀποδεικτικό στοιχεῖο ὅτι στήν Αἴγυπτο ὑπῆρχαν πολλά μοναστήρια στίς παρυφές πόλεων καί χωριῶν ἤ καί ἐντός αὐτῶν. Ἦταν λοιπόν ἑπόμενο νά φτάνουν οἱ παιδικές φωνές, τήν ὥρα μάλιστα πού ἀτακτοῦσαν ἤ ἔπαιζαν. Ἤ, λιγότερο πιθανό, νά ἦταν καί φωνές παιδιῶν τῶν ἐπισκεπτῶν στά μοναστήρια.

124. «Θέλω —εἶπε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα— νά ἐνταχθῶ καί νά ζήσω σέ κοινόβιο».

«Ἐάν θέλεις —τοῦ λέει ὁ Γέροντας— νά μπεῖς σέ κοινόβιο, δέν μπορεῖς νά ἀνταποκριθεῖς στή ζωή τοῦ κοινοβίου, παρά μόνο ἄν ἀμεριμνήσεις[85] γιά ὁποιεσδήποτε συναντήσεις καί συντροφιές ἀλλά καί γιά κάθε ἀντικείμενο· γιατί ἀκόμη καί τό κανάτι τοῦ νεροῦ δέν τό ἐξουσιάζεις».

125. Οἱ ἀδελφοί τοῦ ἀββᾶ Ποιμένος τοῦ ἔλεγαν: «Ἄς φύγουμε ἀπό τόν τόπο αὐτόν, γιατί μᾶς ἐνοχλοῦν τά μοναστήρια τοῦ τόπου αὐτοῦ[86] καί χάνουμε τίς ψυχές μας. Νά, καί τά παιδιά μέ τά κλάματά τους δέν μᾶς ἀφήνουν νά ἡσυχάσουμε[87]». Καί ὁ ἀββᾶς Ποιμήν τούς λέει: «Γιά τίς φωνές τῶν ἀγγέλων θέλετε νά φύγετε ἀπ᾽ ἐδῶ;»

126. Εἶπε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα: «Τό σῶμα μου ἐξασθένησε ἀλλά τά πάθη μου δέν ἐξασθενοῦν». Καί ὁ Γέροντας τοῦ λέει: «Τά πάθη εἶναι ἀγκαθωτές ζαρωματιές».

127. Ρώτησε κάποιος ἀδελφός τόν ἀββᾶ Ποιμένα: «Πῶς πρέπει νά καθίσω[88] μέσα στό κελί;» «Γιά τό κάθισμά σου μέ-

---

Εἰδικά γιά τόν ἀββᾶ Ποιμένα καί τούς ἀδελφούς του ἔχουμε τή μαρτυρία ὅτι μετά τήν μεγάλη ἐπιδρομή τῶν βαρβάρων στή Σκήτη (407), φεύγουν καί συνεχίζουν τήν ἀσκητική τους ζωή στήν Τερενούθη τῆς Αἰγύπτου.

87. Ἡ φράση τοῦ ἀποφθέγματος «δέν μᾶς ἀφήνουν νά ἡσυχάσουμε» δέν ἔχει τήν κοινή ἔννοια, τῆς ἀπουσίας ἁπλῶς τῶν θορύβων γιά νά ἀναπαυθοῦν· χρησιμοποιεῖται μέ τήν ἀσκητική ἔννοια, ὅτι δυσχεραίνεται ἡ ἡσυχαστική ἄσκηση, τό ἀσκητικό πρόγραμμα, ὅταν οἱ θόρυβοι προκαλοῦν διάσπαση. Πρβλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 245 ἀπόφθ. 11.

Ἀλλά θαυμαστή καί ἡ διακριτική συγκατάβαση τοῦ ἀββᾶ Ποιμένος στήν συγκεκριμένη περίπτωση, πού ἀφοπλίζει τούς διαμαρτυρομένους ἀδελφούς του, καθώς ἐξομοιώνει τίς παιδικές φωνές τοῦ οἰκισμοῦ μέ φωνές ἀγγέλων.

88. Οἱ λέξεις «κάθημαι, καθέζομαι, κάθισμα» εἶναι ἀσκητικοί ὅροι πού ση-

θῆσθαι, τὸ φανερόν, τοῦτό ἐστι· Τὸ ἐργόχειρον καὶ τὸ μονοσιτίσθαι καὶ τὸ σιωπῆσαι καὶ ἡ μελέτη. Τὸ δὲ ἐν τῷ κρυπτῷ προκόπτειν εἰς τὸ κελλίον ἐστὶ τὸ βαστάζειν τὴν ἑαυτοῦ μέμψιν ἐν παντὶ τόπῳ, ὅπου ἐὰν ἀπέρχῃ, καὶ τῶν συνάξεων τὰς ὥρας καὶ τῶν κρυπτῶν μὴ ἀμελεῖν. Ἐὰν δὲ καὶ συμβῇ καιρὸν ἀργῆσαι ἐκ τοῦ ἐργοχείρου σου, εἰσελθὼν εἰς τὴν σύναξιν ἀταράχως ἐπιτέλεσον. Τὸ δὲ τέλος τούτων, συνοδίαν καλὴν κτῆσαι· ἀπέχου δὲ ἀπὸ κακῆς συνοδίας.

128. Συνέβη τινὰς τῶν Πατέρων παραβαλεῖν εἰς οἰκίαν φιλοχρίστου τινός, ἐν οἷς ἦν καὶ ὁ ἀββᾶς Ποιμήν. Καὶ ἐν τῷ ἐσθίειν αὐτοὺς παρετέθη κρέας· ἔφαγον δὲ πάντες χωρὶς τοῦ ἀββᾶ Ποιμένος. Καὶ ἐθαύμαζον οἱ Γέροντες ὅτι οὐκ ἤσθιεν, εἰδότες τὴν διάκρισιν αὐτοῦ. Ὡς δὲ ἀνέστησαν, λέγουσιν αὐτῷ· Σὺ εἶ Ποιμὴν καὶ οὕτως ἐποίησας; Ἀπεκρίθη αὐτοῖς ὁ Γέρων· Συγχωρήσατέ μοι, Πατέρες. Ὑμεῖς ἐφάγετε καὶ οὐδεὶς ἐσκανδαλίσθη· ἐγὼ δὲ εἰ ἔφαγον, ἐπειδὴ πολλοὶ ἀδελφοὶ ἔρχονται ἔγγιστά μου, εἶχον βλαβῆναι λέγοντες· Ποιμὴν ἔφαγε κρέας καὶ ἡμεῖς οὐκ ἐσθίομεν; Καὶ ἐθαύμασαν τὴν διάκρισιν αὐτοῦ.

129. Ἐμαχήσατό ποτε Παΐσιος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καθημένου τοῦ ἀββᾶ Ποιμένος, μέχρις οὗ αἷμα ἐκ τῆς κεφα-

μαίνουν τήν ὅλη βιοτή τοῦ μοναχοῦ μέσα στό κελί —ὅπως φαίνεται καί στό ἀπόφθεγμα— κατά τή διάρκεια τοῦ εἰκοσιτετραώρου καί ἰδιαίτερα τήν πνευματική του ἐργασία ὡς προσευχή, ψαλμωδία, μελέτη, τήρηση τοῦ νοῦ, ἀδολεσχία μετά τοῦ Θεοῦ κ.ἄ. Βλ. *Μ. Γεροντικόν* τόμ. Β΄ σελ. 152 ὑποσημ. 28.

Σήμερα ἡ λ. «κάθισμα» σέ μοναστικά συγκροτήματα, π.χ. στό Ἅγιο Ὄρος, ἐκφράζει καί τήν ἔννοια τοῦ χώρου, μέσα στό ὁποῖο κάνει τήν ἀσκητική του

σα στό κελί —τοῦ ἀπαντᾶ— ὅσα φαίνονται, εἶναι τά ἑξῆς: Τό ἐργόχειρο, ἡ τροφή μιά φορά τή μέρα, ἡ σιωπή καί ἡ μελέτη.

Ἡ προκοπή ὅμως στή ζωή τοῦ κελιοῦ, πού γίνεται στήν ἀφάνεια, εἶναι: Τό νά κρατᾶς πάντοτε τήν αὐτομεμψία ὅπου κι ἄν βρεθεῖς, καί νά μήν ἀμελεῖς τίς ὧρες τῶν καθιερωμένων προσευχῶν ἀλλά καί τά "κρυπτὰ τῆς καρδίας"[89]. Κι ἄν συμβεῖ γιά ἕνα χρονικό διάστημα νά μήν κάνεις ἐργόχειρο, ὅταν ἔρθει ἡ ὥρα τῆς προσευχῆς σου, κάνε την χωρίς ταραχή. Τό ἐπιστέγασμα σ' αὐτά εἶναι νά ἀποκτήσεις καλή συνοδία καί μακριά ἀπό κακή συνοδία».

128. Κάποιοι Πατέρες συνέβη νά πᾶνε στό σπίτι κάποιου εὐσεβοῦς χριστιανοῦ· μεταξύ αὐτῶν ἦταν καί ὁ ἀββᾶς Ποιμήν. Καί στό τραπέζι παρέθεσαν κρέας. Ἔφαγαν ὅλοι ἐκτός ἀπό τόν ἀββᾶ Ποιμένα. Καί ἀποροῦσαν οἱ Γέροντες πού δέν ἔτρωγε, γιατί γνώριζαν τή διάκρισή του. Ὅταν λοιπόν σηκώθηκαν, τοῦ λένε: «Ἐσύ εἶσαι ὁ Ποιμήν καί κατ' αὐτόν τόν τρόπο ἐνήργησες;»

Ἀποκρίθηκε ὁ Γέροντας: «Συγχωρῆστε με, Πατέρες. Ἐσεῖς φάγατε καί κανείς δέν σκανδαλίσθηκε. Ἐγώ ὅμως ἐάν ἔτρωγα, ἐπειδή πολλοί ἀδελφοί βρίσκονται σέ ἐπικοινωνία μαζί μου, θά βλάπτονταν λέγοντας: Ὁ Ποιμήν ἔφαγε κρέας καί ἐμεῖς δέν τρῶμε;». Καί θαύμασαν τή διάκρισή του.

129. Φιλονίκησε κάποτε ὁ Παΐσιος μέ τόν ἀδελφό του, μέχρι τοῦ σημείου νά τρέξει αἷμα ἀπό τό κεφάλι του, ἐνῶ

ζωή ὁ μοναχός. Τά «καθίσματα» εἶναι ἀπομονωμένα κελιά, πού ἀνήκουν σέ κάποια μονή, καί διατίθενται σέ μοναχούς γιά μιά πιό συντονισμένη ἀσκητική ζωή.

89. Ἐννοεῖ τούς ἐσωτερικούς πειρασμούς, τούς λογισμούς, τίς ἐπιθυμίες, τά πάθη κ.ἄ. Πρβλ. Ψαλμ. 18, 12 καί Α΄ Πέτρ. 3, 4.

λῆς αὐτοῦ καταρρυῆναι, καὶ οὐδὲν τὸ σύνολον ἐλάλησεν αὐτοῖς ὁ Γέρων. Εἰσῆλθεν οὖν ὁ ἀββᾶς Ἀνοὺβ καὶ ἰδὼν αὐτοὺς λέγει τῷ ἀββᾷ Ποιμένι· Διὰ τί ἀφῆκας τοὺς ἀδελφοὺς μαχομένους μηδὲν λαλήσας αὐτοῖς; Λέγει ὁ ἀββᾶς Ποιμήν· Ἀδελφοί εἰσι, πάλιν εἰρηνεύουσι. Λέγει ὁ ἀββᾶς Ἀνούβ· Οἶδας ὅτι οὕτως ἐποίησαν καὶ λέγεις πάλιν εἰρηνεύουσι; Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Θὲς εἰς τὴν καρδίαν σου ὅτι οὐκ ἤμην ὧδε ἔσω.

130. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Τί ποιήσω ὅτι ἔρχεταί μοι θλῖψις καὶ κινοῦμαι; Καὶ εἶπεν ὁ Γέρων ὅτι· Ἡ βία ποιεῖ καὶ τοὺς μικροὺς καὶ τοὺς μεγάλους κινηθῆναι.

131. Ἠρώτησεν ἡγούμενος κοινοβίου τὸν ἀββᾶν Ποιμένα λέγων· Πῶς δύναμαι κτήσασθαι τὸν φόβον τοῦ Θεοῦ; Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Πῶς δυνάμεθα κτήσασθαι τὸν φόβον τοῦ Θεοῦ, ἔσωθεν ἔχοντες γαστρία τυρίων καὶ κεράμια ταρίχων;

132. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Ἀββᾶ, δύο ἄνθρωποι ἦσαν, εἷς μοναχὸς καὶ εἷς κοσμικός· ὁ μοναχὸς ἐλογίσατο ὀψέ, ἵνα πρωὶ ῥίψῃ τὸ σχῆμα, καὶ ὁ κοσμικὸς ἐλογίσατο, ἵνα γένηται μοναχός. Ἀμφότεροι δὲ ἀπέθανον τῇ νυκτὶ ἐκείνῃ. Τί ἄρα λογίζεται αὐτοῖς; Καὶ εἶπεν ὁ Γέρων· Ὁ μοναχὸς ἀπέθανε μοναχὸς καὶ ὁ κοσμικὸς ἀπέθανε κοσμικός· ἐν ᾧ γὰρ εὑρέθησαν ἀπῆλθον.

90. Πρέπει νά ἔχει ὑπόψιν του ὁ ἀναγνώστης ὅτι τόσο ὁ Παΐσιος μέ τόν ἀδελφό πού φιλονίκησε, ὅσο καί ὁ Ἀνούβ εἶναι κατά σάρκα ἀδελφοί μέ τόν ἀββᾶ Ποιμένα. Ὁ ἀββᾶς Ποιμήν καί τά ἕξι του ἀδέλφια μόναζαν μαζί, ὅσο μποροῦμε νά γνωρίζουμε. Ὁ Ἀνούβ εἶναι ὁ πρωτότοκος, ἐνῶ ὁ Παΐσιος εἶναι

καθόταν ἐκεῖ δίπλα ὁ Ποιμήν καί δέν τούς εἶπε ἀπολύτως τίποτε. Μπῆκε λοιπόν ὁ ἀββᾶς Ἀνούβ καί βλέποντάς τους εἶπε στόν ἀββᾶ Ποιμένα: «Γιατί ἄφησες τούς ἀδελφούς νά χτυπιοῦνται καί δέν τούς εἶπες τίποτε;»

«Ἀδέλφια εἶναι —ἀπάντησε ὁ ἀββᾶς Ποιμήν— καί πάλι θά εἰρηνεύσουν». Καί ὁ ἀββᾶς Ἀνούβ λέει: «Εἶδες τί ἔκαναν καί λές, πάλι θά εἰρηνεύσουν;»

«Πές μέ τόν λογισμό σου —ἀποκρίνεται ὁ ἀββᾶς Ποιμήν— ὅτι δέν ἤμουν ἐδῶ μέσα»[90].

130. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Ὅταν μοῦ ἔρχεται μιά στενοχώρια, ταράζομαι. Τί νά κάνω;» Καί ὁ Γέροντας εἶπε: «Ὅ,τι ἀσκεῖ βία κάνει καί τούς μικρούς καί τούς μεγάλους νά ταράζονται».

131. Κάποιος ἡγούμενος κοινοβίου ρώτησε τόν ἀββᾶ Ποιμένα: «Πῶς μπορῶ νά ἀποκτήσω τόν φόβο τοῦ Θεοῦ;»

«Πῶς μποροῦμε —ἀπαντᾶ ὁ ἀββᾶς Ποιμήν— νά ἀποκτήσουμε τόν φόβο τοῦ Θεοῦ, ἔχοντας μέσα κιούπια μέ τυριά καί στάμνες μέ παστά;»

132. «Ἀββᾶ —εἶπε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα— ἦσαν δυό ἄνθρωποι, ἕνας μοναχός καί ἕνας κοσμικός. Ὁ μοναχός σκέφθηκε ἀπό βραδύς μόλις ξημερώσει νά πετάξει τό σχῆμα· καί ὁ κοσμικός σκέφθηκε νά γίνει μοναχός. Καί οἱ δυό ὅμως πέθαναν τή νύκτα ἐκείνη. Τί θά λογαριασθεῖ γι' αὐτούς;» «Ὁ μοναχός —εἶπε ὁ Γέροντας— πέθανε μοναχός καί ὁ κοσμικός πέθανε κοσμικός. Ἔφυγαν ἀπό τόν κόσμο αὐτό στήν κατάσταση πού βρέθηκαν».

ὁ νεώτερος, ὁ ὁποῖος δημιουργοῦσε κάποιες δυσκολίες στό κοινόβιο τῶν ἀδελφῶν του, ἀλλά μέ τήν ἄδολη καρδιά του μεταμελοῦνταν καί τούς ἀκολουθοῦσε. D. Chitty, *The Desert a city*, Oxford 1966. Βλ. καί ἀπόφθ. 150.

133. Παρέβαλεν ὁ ἀββᾶς Ἰσαὰκ τῷ ἀββᾷ Ποιμένι· καὶ ἰδὼν αὐτὸν βάλλοντα μικρὸν ὕδωρ εἰς τοὺς πόδας αὐτοῦ, ὡς ἔχων πρὸς αὐτὸν παρρησίαν εἶπεν αὐτῷ· Πῶς τινες ἐχρήσαντο ἀποτομίαν σκληραγωγῆσαι τὸ σῶμα αὐτῶν; Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ἡμεῖς οὐκ ἐδιδάχθημεν σωματοκτόνοι ἀλλὰ παθοκτόνοι.

134. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων ὅτι· Ζημιῶ τὴν ψυχήν μου ἐγγὺς τοῦ ἀββᾶ μου· καθίσω ἔτι ἐγγὺς αὐτοῦ; Καὶ ᾔδει ὁ Γέρων ὅτι βλάπτεται καὶ ἐθαύμασεν ὅτι ὅλως ἐρωτᾷ εἰ ἔτι καθίσω· καὶ εἶπεν ὁ Γέρων· Ἐὰν θέλῃς, κάθου. Καὶ ἀπελθὼν ἐκάθισεν. Ἦλθε πάλιν λέγων τῷ Γέροντι· Ζημιῶ τὴν ψυχήν μου. Καὶ οὐκ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ἔξελθε. Τὸ τρίτον ἔρχεται λέγων· Φύσει οὐκέτι κάθημαι. Καὶ λέγει αὐτῷ· Ἰδοὺ ἄρτι σωθεὶς ὕπαγε καὶ μηκέτι καθίσῃς.

Καὶ εἶπεν ὁ Γέρων· Τίς ἄνθρωπος θεωρῶν τὴν ζημίαν τῆς ψυχῆς αὐτοῦ καὶ χρείαν ἔχων ἔτι ἐρωτῆσαι; Περὶ κρυπτῶν λογισμῶν ἐρωτᾷ τις καὶ τοὺς Γέροντας δοκιμάζει, περὶ δὲ φανερᾶς ἁμαρτίας οὐ χρεία ἐρωτῆσαι ἀλλ' εὐθέως ἐκκόψαι.

135. Ἠρώτησεν Ἀβραάμ, ὁ τοῦ ἀββᾶ Ἀγάθωνος, τὸν ἀββᾶν Ποιμένα λέγων· Πῶς οἱ δαίμονες πολεμοῦσί με; Καὶ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Σὲ πολεμοῦσιν οἱ δαίμονες; Οὐ πολεμοῦσι μεθ' ἡμῶν, ἐφ' ὅσον τὰ θελήματα ἡμῶν ποιοῦμεν· τὰ γὰρ θελήματα ἡμῶν δαίμονες γεγόνασι· καὶ αὐτά εἰσιν οἱ θλίβοντες ἡμᾶς, ἵνα πληρώσωμεν αὐτά. Εἰ δὲ θέλεις ἰδεῖν μετὰ τίνων ἐπολέμησαν οἱ δαίμονες, μετὰ Μωσέως καὶ τῶν ὁμοίων αὐτῷ.

133. Ἐπισκέφθηκε ὁ ἀββᾶς Ἰσαάκ τόν ἀββᾶ Ποιμένα. Καί σάν τόν εἶδε νά ρίχνει λίγο νερό στά πόδια του, ἐπειδή εἶχε τό θάρρος τοῦ λέει: «Πῶς μερικοί σκληραγώγησαν αὐστηρά τό σῶμα τους;» Καί ὁ ἀββᾶς Ποιμήν τοῦ ἀπαντᾶ: «Ἐμεῖς δέν διδαχθήκαμε νά εἴμαστε σωματοκτόνοι ἀλλά παθοκτόνοι».

134. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Βλάπτω τήν ψυχή μου κοντά στόν ἀββᾶ μου. Νά συνεχίσω νά μένω μαζί του;» Ὁ Γέροντας γνώριζε ὅτι βλάπτεται, καί ἀπόρησε καί γιά τήν ἐρώτηση μόνο πού ἔκανε «νά μένω ἀκόμη;» καί τοῦ εἶπε: «Ἐάν τό θέλεις, μεῖνε». Ἔφυγε λοιπόν καί ἔμεινε.

Ἀλλά σύντομα ἐπανῆλθε λέγοντας στόν Γέροντα: «Βλάπτω τήν ψυχή μου», καί δέν τοῦ εἶπε ὁ ἀββᾶς Ποιμήν: «Νά ἀποχωρήσεις». Ἔρχεται γιά τρίτη φορά καί λέει: «Εἶναι ἀδύνατο νά μένω ἄλλο». «Νά, τώρα εἶναι πού σώθηκες —τοῦ λέει— πήγαινε καί μή μένεις πιά».

Καί εἶπε ὁ Γέροντας: «Ποιός ἄνθρωπος συνεχίζει νά αἰσθάνεται τήν ἀνάγκη νά ρωτήσει, ἐνῶ βλέπει καθαρά ὅτι βλάπτεται ἡ ψυχή του; Γιά τούς κρυφούς λογισμούς ρωτάει κανείς γιά νά ἔχει τή γνώμη τῶν Γερόντων· γιά τή φανερή ἁμαρτία ὅμως δέν χρειάζεται νά ρωτήσει ἀλλά ἀμέσως νά ξεκόψει».

135. Ὁ μαθητής τοῦ ἀββᾶ Ἀγάθωνος Ἀβραάμ ρώτησε τόν ἀββᾶ Ποιμένα: «Γιατί μέ πολεμοῦν οἱ δαίμονες;» «Σέ πολεμοῦν οἱ δαίμονες;» τοῦ λέει ὁ ἀββᾶς Ποιμήν. «Δέν μᾶς πολεμοῦν —συνεχίζει— ἐφόσον κάνουμε τά θελήματά μας· γιατί τά θελήματά μας ἔχουν γίνει δαίμονες καί αὐτά εἶναι πού μᾶς πιέζουν, γιά νά τά ἱκανοποιήσουμε. Καί ἄν θέλεις νά δεῖς μέ ποιούς πολέμησαν οἱ δαίμονες, μέ τόν ἀββᾶ Μωυσῆ καί τούς ὅμοιους μ' αὐτόν».

136. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων ὅτι· Ταράσσομαι καὶ θέλω ἀφῆναι τὸν τόπον μου. Λέγει αὐτῷ ὁ Γέρων· Διὰ ποῖον πρᾶγμα; Ἀπεκρίθη ὁ ἀδελφός· Ἐπειδὴ ἀκούω λόγους περί τινος ἀδελφοῦ μὴ ὠφελοῦντάς με. Λέγει αὐτῷ ὁ Γέρων· Οὔκ εἰσιν ἀληθεῖς, οὓς ἤκουσας. Λέγει αὐτῷ ὁ ἀδελφός· Ναί, πάτερ· καὶ γὰρ ὁ εἰπών μοι ἀδελφὸς πιστός ἐστι. Λέγει ὁ Γέρων· Οὐκ ἔστι πιστός· εἰ γὰρ ἦν πιστός, οὐκ ἂν ἔλεγέ σοι ταῦτα. Εἰ γὰρ ἀκούων ὁ Θεὸς τῆς φωνῆς Σοδόμων οὐκ ἐπίστευσεν, εἰ μὴ εἶδε τοῖς ὀφθαλμοῖς, οὐδὲ ἡμεῖς ὀφείλομεν πιστεῦσαι ποτὲ τοῖς λεγομένοις. Λέγει αὐτῷ ὁ ἀδελφός· Κἀγὼ εἶδον τοῖς ὀφθαλμοῖς μου.

Ἀκούσας δὲ ὁ Γέρων προσέσχεν ἐν τῇ γῇ καὶ λαβὼν μικρὸν κάρφος λέγει αὐτῷ· Τί ἐστι τοῦτο; Λέγει ὁ ἀδελφός· Κάρφος ἐστί. Προσέσχεν ὁ Γέρων καὶ εἰς τὴν στέγην τοῦ κελλίου καὶ λέγει αὐτῷ· Τί ἐστιν ἐκεῖνο; Λέγει ὁ ἀδελφός· Δοκός ἐστι. Λέγει αὐτῷ ὁ Γέρων· Θὲς εἰς τὴν καρδίαν σου ὅτι αἱ ἁμαρτίαι σου ὡς ἡ δοκὸς αὕτη εἰσίν, αἱ δὲ τοῦ ἀδελφοῦ σου ὡς τὸ μικρὸν κάρφος τοῦτο.

Ἀκούσας δὲ ὁ ἀββᾶς Τιθόης τὸν λόγον τοῦτον, ἐθαύμασε καὶ εἶπεν· Ἐν τίνι μακαρίσω σε, ἀββᾶ Ποιμήν; Ὁ λίθος ὁ τίμιος! Οἱ λόγοι σου μεστοὶ χαρᾶς εἰσι καὶ πάσης δόξης.

137. Εἶπε πάλιν· Ἄνθρωπος διδάσκων καὶ μὴ ποιῶν ἃ διδάσκει, ἔοικε πηγῇ, ἥτις πάντας ποτίζει καὶ πλύνει, ἑαυτὴν δὲ οὐ δύναται καθαρίσαι, ἀλλὰ πᾶσα ῥυπαρία καὶ ἀκαθαρσία ἐν αὐτῇ ἐστιν.

91. Ματθ. 7, 4.

136. Εἶπε ἕνας ἀδελφός στόν ἀββᾶ Ποιμένα: «Ἡ ψυχή μου ταράζεται καί θέλω ν' ἀφήσω τόν τόπο αὐτόν». «Γιά ποιόν λόγο;» ρώτησε ὁ Γέροντας. «Ἐπειδή ἀκούω —εἶπε ὁ ἀδελφός— λόγια γιά κάποιον ἀδελφό πού δέν μέ ὠφελοῦν». «Δέν εἶναι ἀληθινά αὐτά πού ἄκουσες» παρατηρεῖ ὁ Γέροντας. «Εἶναι, πάτερ, —συνεχίζει ὁ ἀδελφός— καί μάλιστα ὁ ἀδελφός πού μοῦ τά εἶπε εἶναι ἀξιόπιστος». «Δέν εἶναι ἀξιόπιστος —ἀποκρίνεται ὁ Γέροντας— γιατί ἄν ἦταν, δέν θά σοῦ τά 'λεγε αὐτά. Ἄν ὁ Θεός ἀκούγοντας τήν εἴδηση γιά τά Σόδομα δέν πίστεψε, παρά ἀφοῦ εἶδε μέ τά μάτια του, καί μεῖς δέν πρέπει ποτέ νά δίνουμε ἐμπιστοσύνη σ' ὅσα λέγονται». «Κι ἐγώ εἶδα μέ τά μάτια μου» λέει ὁ ἀδελφός.

Μετά ἀπ' αὐτό ὁ Γέροντας, στράφηκε πρός τή γῆ, πῆρε ἕνα μικρό ἄχυρο καί τοῦ λέει: «Τί εἶναι αὐτό;» «Ἄχυρο» ἀπαντᾶ ὁ ἀδελφός. Κατόπιν στράφηκε πρός τή στέγη τοῦ κελιοῦ καί τόν ρωτάει: «Τί εἶναι ἐκεῖνο;» «Δοκάρι» λέει ὁ ἀδελφός. «Νά λές μέ τόν λογισμό σου —συνεχίζει ὁ Γέροντας— ὅτι οἱ ἁμαρτίες σου εἶναι σάν τό δοκάρι αὐτό· ἐνῶ τοῦ ἀδελφοῦ σου σάν αὐτό τό μικρό ἄχυρο[91]».

Ὅταν ὁ ἀββᾶς Τιθόης ἄκουσε τόν λόγο αὐτόν, θαύμασε καί εἶπε: «Γιά ποιό πρῶτα νά σέ καλοτυχίσω, ἀββᾶ Ποιμήν; Τό πολύτιμο πετράδι! Τά λόγια σου χαροποιοῦν καί ἀξίζουν κάθε τιμή».

137. Εἶπε ἐπίσης: «Ὁ ἄνθρωπος πού διδάσκει καί δέν πράττει αὐτά πού διδάσκει, μοιάζει μέ πηγή ἡ ὁποία ὅλους τούς ποτίζει καί τούς πλένει, ἀλλά τόν ἑαυτό της δέν μπορεῖ νά καθαρίσει καί ἔτσι μέσα σ' αὐτήν ὑπάρχει κάθε βρωμιά καί ἀκαθαρσία[92]».

92. Παραλλαγή αὐτοῦ τοῦ ἀποφθέγματος εἶναι καί τό ἀπόφθ. 90 αὐτοῦ τοῦ κεφαλαίου (σελ. 107).

138. Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Σερῖνος μετὰ τοῦ μαθητοῦ αὐτοῦ Ἰσαὰκ πρὸς τὸν ἀββᾶν Ποιμένα καὶ λέγει αὐτῷ· Τί ποιήσω τῷ Ἰσαὰκ τούτῳ, ὅτι ἡδέως ἀκούει μου τοὺς λόγους; Λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· Ἐὰν θέλῃς ὠφελῆσαι αὐτόν, ἔργῳ δεῖξον αὐτῷ τὴν ἀρετήν· ἐπεὶ τῷ λόγῳ προσέχων ἀργὸς μένει· ἐὰν δὲ ἔργῳ δείξῃς αὐτῷ, τοῦτο παραμενεῖ αὐτῷ.

139. Εἶπε πάλιν ὅτι· Ἔστιν ἄνθρωπος δοκῶν σιωπᾶν καὶ ἡ καρδία αὐτοῦ κατακρίνει ἄλλους· ὁ τοιοῦτος πάντοτε λαλεῖ. Καὶ ἔστιν ἄλλος ἀπὸ πρωὶ ἕως ὀψὲ λαλῶν καὶ σιωπὴν κρατῶν· τουτέστιν ἐκτὸς ὠφελείας οὐδὲν λαλῶν.

140. Εἶπε πάλιν ὅτι· Ἡ δύναμις τοῦ Θεοῦ οὐ κατοικεῖ ἐν ἀνθρώπῳ δουλεύοντι τοῖς πάθεσιν.

141. Εἶπε πάλιν· Ἐὰν τὴν ἀνάπαυσιν διώκωμεν, φεύγει ἡμᾶς· ἐὰν δὲ αὐτὴν οὐ διώκωμεν, διώκει ἡμᾶς.

142. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μωυσῆν λέγων· Ποίῳ τρόπῳ νεκροῖ ἑαυτὸν ἄνθρωπος ἀπὸ τοῦ πλησίον; Λέγει αὐτῷ· Ἐὰν μὴ θήσει ἄνθρωπος ἐν τῇ καρδίᾳ αὐτοῦ ἤδη τριετίαν ἔχειν ἐν τῷ μνημείῳ, οὐ φθάνει εἰς τὸν λόγον τοῦτον.

143. Ἦν τις λεγόμενος ἀββᾶς Παμβὼ καὶ περὶ τούτου λέγεται ὅτι τρία ἔτη ἔμεινεν αἰτούμενος τὸν Θεὸν καὶ λέγων· Μὴ δοξάσῃς με ἐπὶ τῆς γῆς. Καὶ οὕτως ἐδόξασεν αὐτὸν ὁ

138. Πῆγε κάποτε ὁ ἀββᾶς Σερίνος μαζί μέ τόν μαθητή του Ἰσαάκ στόν ἀββᾶ Ποιμένα καί τόν ρωτᾶ: «Τί νά κάνω στόν Ἰσαάκ αὐτόν ἐδῶ, πού μέ πολλή εὐχαρίστηση ἀκούει τούς λόγους μου;» Ὁ ἀββᾶς Ποιμήν τοῦ λέει: «Ἐάν θέλεις νά τόν ὠφελήσεις, ἔμπρακτα δεῖξε του τήν ἀρετή. Γιατί ἐάν ἔχει στραμμένο τό ἐνδιαφέρον του στόν λόγο, μένει σέ παθητική κατάσταση. Ἄν ὅμως στήν πράξη τοῦ δείξεις τήν ἀρετή, αὐτό θά τοῦ μείνει γιά πάντα».

139. Εἶπε ἀκόμη: «Συμβαίνει ἕνας ἄνθρωπος νά φαίνεται ὅτι σιωπᾶ καί ἡ καρδιά του νά κατακρίνει ἄλλους· ἕνας τέτοιος μιλάει ὅλη τήν ὥρα. Καί κάποιος ἄλλος μπορεῖ νά μιλάει ἀπό τό πρωί ὥς τό βράδυ καί νά τηρεῖ σιωπή. Δηλαδή δέν λέει κανένα λόγο πού δέν εἶναι ὠφέλιμος».

140. Εἶπε πάλι: «Ἡ δύναμη τοῦ Θεοῦ δέν κατοικεῖ σέ ἄνθρωπο πού εἶναι δοῦλος στά πάθη».

141. Εἶπε ἐπίσης: «Ἐάν κυνηγᾶμε τήν ἀνάπαυση, αὐτή μᾶς ἀποφεύγει. Ἄν ὅμως δέν τήν κυνηγᾶμε, αὐτή μᾶς κυνηγάει».

142. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Μωυσῆ: «Μέ ποιόν τρόπο νεκρώνει ὁ ἄνθρωπος τόν ἑαυτό του ὡς πρός τόν πλησίον;». Καί τοῦ ἀπαντᾶ: «Ἐάν ὁ ἄνθρωπος δέν πεῖ σταθερά μέ τόν λογισμό του ὅτι ἔχει κιόλας μπεῖ στόν τάφο ἐδῶ καί τρία χρόνια, δέν θά μπορέσει νά ἐφαρμόσει τόν λόγο αὐτόν».

143. Ὑπῆρχε ἕνας ἀββᾶς μέ τό ὄνομα Παμβώ γιά τόν ὁποῖο λένε ὅτι ἐπί τρία χρόνια ἐπέμενε παρακαλώντας τόν Θεό καί λέγοντας: «Μή μέ δοξάσεις πάνω στή γῆ». Καί ὁ

Θεός, ὥστε μὴ δύνασθαί τινα ἀτενίσαι εἰς τὸ πρόσωπον αὐτοῦ ἐκ τῆς δόξης ἧς εἶχε τὸ πρόσωπον αὐτοῦ.

144. Ἦλθόν ποτε ἀδελφοὶ δύο πρὸς τὸν ἀββᾶν Παμβὼ καὶ ἠρώτησεν αὐτὸν ὁ εἷς λέγων· Ἀββᾶ, ἐγὼ ζευγάρια νηστεύω καὶ ζεῦγος ψωμίων ἐσθίω· ἆρα σῴζομαι ἢ πλανῶμαι; Εἶπε δὲ καὶ ὁ ἄλλος· Ἀββᾶ, ἐγὼ καταλύω ἐκ τοῦ ἐργοχείρου μου δύο κεράτια τὴν ἡμέραν καὶ κρατῶ εἰς τροφήν μου μικρὰ νουμία, τὰ δὲ ἄλλα εἰς ἀγάπην δίδωμι· ἆρα σῴζομαι ἢ πλανῶμαι; Πολλὰ δὲ παρακαλούντων αὐτῶν, οὐκ ἔδωκεν αὐτοῖς ἀπόκρισιν. Μετὰ δὲ τέσσαρας ἡμέρας ἦλθον ἀναχωρῆσαι. Καὶ παρεκάλεσαν αὐτοὺς οἱ κληρικοὶ λέγοντες· Μὴ θλιβῆτε, ἀδελφοί· ὁ Θεὸς παρέχει ὑμῖν τὸν μισθόν· οὕτως ἐστὶν ἡ συνήθεια τοῦ Γέροντος· οὐ ταχέως λαλεῖ, ἐὰν μὴ πληροφορήσῃ αὐτὸν ὁ Θεός.

Εἰσῆλθον οὖν πρὸς τὸν Γέροντα καὶ εἶπον αὐτῷ· Ἀββᾶ, εὖξαι ὑπὲρ ἡμῶν. Καὶ λέγει αὐτοῖς· Ἀπελθεῖν θέλετε; Λέγουσι· Ναί. Καὶ ἀναλαβὼν τὰς πράξεις αὐτῶν ἐν ἑαυτῷ, γράφων ἐπὶ τὴν γῆν ἔλεγε· Παμβὼ δύο δύο νηστεύων καὶ ζεῦγος ψωμίων ἐσθίων· ἆρα ἐν τούτῳ γίνεται μοναχός; Οὐχί. Καὶ Παμβὼ ἐργάζεται δύο κερατίων καὶ δίδωσιν αὐτὰ ἀγάπην· ἆρα ἐν τούτῳ γίνεται μοναχός; Οὔπω. Εἶπε δὲ αὐτοῖς· Καλαὶ μὲν αἱ πράξεις· ἐὰν δὲ φυλάξῃς τὴν συνείδησιν ἀπὸ τοῦ πλησίον, οὕτω σῴζῃ. Καὶ πληροφορηθέντες ἀπῆλθον μετὰ χαρᾶς.

145. Ἔλεγον περὶ τοῦ ἀββᾶ Παμβὼ ὅτι οὐδέποτε ἐμειδίασε τὸ πρόσωπον αὐτοῦ. Μιᾶς οὖν τῶν ἡμερῶν θέλοντες οἱ

93. Βλ. ὑποσημ. 73 σελ. 108.

94. Κεράτιον: (ὑποκοριστικό τῆς λ. κέρας (ξυλοκέρατο, χαρούπι). Στούς Ρωμαίους καί Βυζαντινούς σήμαινε: α) εἶδος μικροῦ ἀσημένιου νομίσματος

Θεός τόσο τόν δόξασε, ὥστε νά μή μπορεῖ κανείς νά ἀντικρύσει τό πρόσωπό του ἀπό τήν λάμψη πού τό περιέβαλε.

144. Πῆγαν κάποτε δυό ἀδελφοί στόν ἀββᾶ Παμβώ. Τόν ρωτάει ὁ ἕνας: «Ἀββᾶ, ἐγώ νηστεύω δυό δυό[93] τίς μέρες καί τήν τρίτη μέρα τρώω δυό ψωμάκια. Ἄραγε σώζομαι ἔτσι ἤ βρίσκομαι σέ πλάνη;» Καί ὁ ἄλλος εἶπε: «Ἐγώ βγάζω ἀπ' τό ἐργόχειρό μου δυό κεράτια[94] τήν ἡμέρα καί κρατῶ γιά τροφή μου λίγα νουμία[95]. Τά ὑπόλοιπα τά δίνω ἐλεημοσύνη. Ἄραγε σώζομαι ἤ βρίσκομαι σέ πλάνη;» Ἄν καί τόν παρακαλοῦσαν πολύ, δέν τούς ἀπάντησε. Τήν τέταρτη μέρα πῆραν τήν ἀπόφαση νά φύγουν. Οἱ κληρικοί τούς παρηγοροῦσαν λέγοντας: «Μήν στενοχωρηθεῖτε, ἀδελφοί· ὁ Θεός θά σᾶς δώσει τόν μισθό σας. Ἔτσι συνηθίζει ὁ Γέροντας· δέν μιλάει ἀμέσως, ἄν δέν ἔχει πληροφορία ἀπό τόν Θεό».

Μπῆκαν λοιπόν στό κελί τοῦ Γέροντα καί τοῦ εἶπαν: «Ἀββᾶ, προσευχήσου γιά μᾶς». «Θέλετε νά φύγετε;» τούς ρωτάει ὁ Γέροντας. «Ναί» τοῦ ἀπαντοῦν. Τότε ἀποδίδοντας τίς πράξεις τους στόν ἑαυτό του, ἔγραφε στή γῆ καί ἔλεγε: «Ὁ Παμβώ δυό δυό μέρες νηστεύοντας καί δυό ψωμάκια τρώγοντας ἄραγε γίνεται μ' αὐτό μοναχός; Ὄχι. Ἐπίσης ὁ Παμβώ κάνει ἐργόχειρο γιά δύο κεράτια τήν ἡμέρα καί τά δίνει ἐλεημοσύνη. Ἄραγε μ' αὐτό γίνεται μοναχός; Ὄχι ἀκόμη». Καί πρόσθεσε: «Καλές εἶναι βέβαια οἱ πράξεις. Ἀλλά σώζεσαι ἄν κρατήσεις καθαρή τή συνείδησή σου ἔναντι τοῦ πλησίον». Ἔτσι βεβαιώθηκαν καί ἔφυγαν χαρούμενοι.

145. Ἔλεγαν γιά τόν ἀββᾶ Παμβώ ὅτι ποτέ δέν γέλασε τό πρόσωπό του. Κάποια μέρα λοιπόν θέλοντας οἱ δαίμονες

καί β) πολύ μικρή μονάδα βάρους.

95. Νουμίον: νόμισμα μικρό, χάλκινο, ἀργυρό ἤ χρυσό πού ἦταν σέ χρήση στούς Δωριεῖς τῆς Σικελίας καί Κάτω Ἰταλίας.

δαίμονες ποιῆσαι αὐτὸν γελᾶσαι ἔδησαν εἰς ξύλον πτερὸν καὶ ἐβάσταζον, θόρυβον ποιοῦντες καὶ λέγοντες· Ἀλλή, ἀλλή. Ἰδὼν δὲ αὐτοὺς ὁ ἀββᾶς Παμβὼ ἐγέλασεν. Οἱ δὲ δαίμονες ἤρξαντο χορεύειν λέγοντες· Οὐά, οὐά· Παμβὼ γεγέλακεν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Οὐκ ἐγέλασα, ἀλλὰ κατεγέλασα τῆς ἀδυναμίας ὑμῶν, ὅτι τοσοῦτοι τὸ πτερὸν βαστάζετε.

146. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Παμβὼ λέγων· Διὰ τί κωλύουσί με οἱ δαίμονες ποιῆσαι ἀγαθὸν τῷ πλησίον μου; Λέγει αὐτῷ ὁ Γέρων· Μὴ λέγε οὕτως· εἰ δὲ μήγε, τὸν Θεὸν ψεύστην ποιεῖς· ἀλλὰ μᾶλλον εἰπὲ ὅτι οὐ θέλω ὅλως ποιῆσαι ἔλεος· προλαβὼν γὰρ ὁ Θεὸς εἶπεν· Ἔδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

147. Εἶπεν ὁ ἀββᾶς Παλλάδιος· Δεῖ τὴν κατὰ Θεὸν ἀσκουμένην ψυχὴν ἢ μανθάνειν πιστῶς ἃ οὐκ οἶδεν, ἢ διδάσκειν σαφῶς ἃ ἔγνω· εἰ δὲ ὁπότερον μὴ βούληται, μανίαν νοσεῖ· ἀρχὴ γὰρ ἀποστασίας διδασκαλίας κόρος καὶ ἀνορεξία λόγου, ὃν ἀεὶ πεινᾷ ἡ ψυχὴ τοῦ φιλοθέου.

148. Ἔπεμψεν ἡ ἀμμᾶς Σάρρα πρὸς τὸν ἀββᾶν Παφνούτιον λέγουσα· Ἔργον ἐποίησας Θεοῦ ἀφήσας ἀτιμασθῆναι τὸν ἀδελφόν σου; Καὶ εἶπεν ὁ ἀββᾶς Παφνούτιος· Ὡς ἔργον Θεοῦ ποιῶν, πρᾶγμα μετά τινος οὐκ ἔχω.

νά τόν κάνουν νά γελάσει, ἔδεσαν σέ ξύλο ἕνα φτερό καί τό κρατοῦσαν θορυβώντας καί ἀλαλάζοντας.

Βλέποντάς τους ὁ ἀββᾶς Παμβώ γέλασε. Ἄρχισαν τότε οἱ δαίμονες νά χορεύουν λέγοντας: «Οὐά οὐά. Ὁ Παμβώ γέλασε». Κι ἐκεῖνος τούς λέει: «Δέν γέλασα ἀλλά σᾶς χλεύασα γιά τήν ἀδυναμία σας, γιατί τόσοι πολλοί κρατᾶτε ἕνα φτερό».

146. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Παμβώ: «Γιατί μέ ἐμποδίζουν οἱ δαίμονες νά κάνω καλό στόν πλησίον μου;» Καί ὁ Γέροντας τοῦ λέει: «Μή μιλᾶς ἔτσι· γιατί πᾶς νά βγάλεις ψεύτη τόν Θεό. Καλύτερα πές: Δέν ἔχω καθόλου τήν ἐπιθυμία νά σπλαχνίζομαι. Γιατί μᾶς πρόλαβε ὁ Θεός καί εἶπε: Σᾶς ἔχω δώσει ἐξουσία νά πατᾶτε πάνω σέ φίδια καί σκορπιούς καί νά κυριαρχεῖτε πάνω σ' ὅλη τή δύναμη τοῦ ἐχθροῦ»[96].

147. Εἶπε ὁ ἀββᾶς Παλλάδιος: «Ἡ ψυχή πού ἀσκεῖται κατά Θεόν πρέπει ἤ νά μαθαίνει μέ ἐμπιστοσύνη ἀκούγοντας ὅσα δέν γνωρίζει, ἤ νά διδάσκει μέ σαφήνεια ὅσα ἔμαθε μέ τήν πείρα. Ἄν κανένα ἀπό τά δυό δέν θέλει, δέν εἶναι στά καλά της. Γιατί εἶναι ἀρχή ἀπομάκρυνσης ἀπό τόν Θεό ἡ χορτασιά τῆς διδασκαλίας καί ἡ ἀνορεξία νά ἀκούσει λόγο Θεοῦ, γιά τόν ὁποῖο πάντοτε πεινάει ἡ ψυχή τοῦ ἀνθρώπου πού ἀγαπάει τόν Θεό».

148. Ἡ ἀμμᾶς Σάρρα ἔστειλε τό ἑξῆς μήνυμα στόν ἀββᾶ Παφνούτιο: «Ἔκανες ἔργο Θεοῦ πού ἄφησες τόν ἀδελφό σου νά ἐξευτελισθεῖ;» Καί ὁ ἀββᾶς Παφνούτιος εἶπε: «Ἐπειδή πιστεύω ὅτι κάνω ἔργο Θεοῦ, δέν μεροληπτῶ χάριν κανενός».

---

96. Λουκ. 10, 19.




Ἡ Α΄ Οἰκουμενικὴ Σύνοδος

149. Παφνούτιός τις ἦν ἐπίσκοπος τῆς Ἄνω Θηβαΐδος μιᾶς τῶν πόλεων. Οὗτος δὲ ἦν ἀνὴρ θεοφιλὴς καὶ ἀσκητὴς ὡς καὶ σημεῖα θαυμαστὰ γίνεσθαι ὑπ' αὐτοῦ· οὗτος ἐν τῷ καιρῷ τῶν διωγμῶν τὸν ὀφθαλμὸν τὸν ἀριστερὸν ἐξεκόπη. Σφόδρα δὲ ὁ βασιλεὺς Κωνσταντῖνος ἐτίμα τὸν ἄνδρα καὶ συνεχῶς ἐπὶ τὰ βασίλεια μετεπέμπετο καὶ τὸν ἐξωρυγμένον ὀφθαλμὸν κατεφίλει· τοσαύτη ἦν τῷ βασιλεῖ Κωνσταντίνῳ εὐλάβεια.

Ἐν δὲ τῶν παρὰ Παφνουτίου πεπραγμένων εἰς λυσιτέλειαν τῆς Ἐκκλησίας καλὸν διὰ τῆς αὐτοῦ συμβουλίας διηγήσομαι. Ἐδόκει τοῖς ἐν Νικαίᾳ ἐπισκόποις συναχθεῖσι κατὰ τοὺς καιροὺς ἐκείνους νόμον νεαρὸν εἰσφέρειν, ὡς τοὺς ἱερεῖς —

97. Στή Νίκαια τῆς Βιθυνίας, ὡς γνωστόν, συνῆλθε ἡ Α΄ οἰκουμενική σύνο-



149. Κάποιος πού ὀνομαζόταν Παφνούτιος* ὑπῆρξε ἐπίσκοπος σέ μιά πόλη τῆς Ἄνω Θηβαΐδος. Ἦταν ἄνθρωπος θεοφιλής καί ἀσκητικός μέ ἀποτέλεσμα νά κάνει σπουδαῖα θαύματα. Σέ περίοδο διωγμῶν τοῦ ἔβγαλαν τό ἀριστερό μάτι. Ὁ βασιλιάς Κωνσταντῖνος πάρα πολύ τόν ἐκτιμοῦσε καί συνεχῶς τόν προσκαλοῦσε στό παλάτι καί μέ πολλή ἀγάπη ἀσπαζόταν τό ἐξορυγμένο μάτι. Τόσο μεγάλη ἦταν ἡ εὐλάβεια τοῦ βασιλιᾶ Κωνσταντίνου.

Θά σᾶς διηγηθῶ ἕνα ἀπό τά καλά πού ἔκανε ὁ Παφνούτιος πρός τό συμφέρον τῆς Ἐκκλησίας μέ τίς συμβουλές του. Οἱ ἐπίσκοποι πού εἶχαν συγκεντρωθεῖ στή Νίκαια τήν ἐποχή ἐκείνη[97], θεώρησαν καλό νά προτείνουν ἕναν καινού-

δος τό 325 μ.Χ., ἐπί Μ. Κωνσταντίνου, καθώς καί ἡ Ζ΄ οἰκ. σύνοδος, πολύ ἀργότερα, τό 787.

λέγω δὴ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους— μὴ συγκαθεύδειν ταῖς γαμεταῖς, ἃς ἔτι λαϊκοὶ ὄντες ἠγάγοντο. Καὶ ἀναστὰς ἐν μέσῳ τοῦ συλλόγου Παφνούτιος ἐβόα λέγων μὴ βαρὺν ζυγὸν ἐπιθεῖναι τοῖς ἱερωμένοις ἀνδράσι, τίμιον τὸν γάμον λέγων εἶναι, καθὼς γέγραπται, μὴ τῇ ὑπερβολῇ τῆς ἀκριβείας μᾶλλον τὴν Ἐκκλησίαν βλάψωσιν. Οὐ γὰρ πάντες δύνανται φέρειν τῆς ἀπαθείας τὴν ἄσκησιν· ἴσως οὐδὲ φυλαχθήσονται τῇ σωφροσύνῃ. (Σωφροσύνην δὲ ἐκάλει καὶ τῆς νομίμου γυναικὸς τὴν συνέλευσιν). Ἀρκεῖσθαι δὲ τὸν φθάσαντα κληρικὸν γενέσθαι μηκέτι ἐπὶ γάμον ἔρχεσθαι κατὰ τὴν τῆς Ἐκκλησίας ἀρχαίαν παράδοσιν, μήτε μὴν ἀποζευγνύσθαι ταύτης, ἣν ἅπαξ κοσμικὸς ὢν ἠγάγετο.

Καὶ ταῦτα ἔλεγεν ἄπειρος ὢν γάμου καὶ ἁπλῶς εἰπεῖν γυναικός. Ἐκ παιδόθεν γὰρ ἀσκητηρίῳ ἀνετράφη καὶ τὴν σωφροσύνην περιέκειτο· ἐπείσθησαν δὲ πάντες οἱ ἐπίσκοποι τοῖς τοῦ Παφνουτίου λόγοις· διὸ καὶ τὴν περὶ τούτου ζήτησιν ἔπαυσαν τῇ γνώμῃ τῶν βουλομένων ἀπέχεσθαι τῶν γάμων καταλείψαντες.

150. Ἔλεγον οἱ Γέροντες ὅτι Παΐσιος ὁ ἀδελφὸς τοῦ ἀββᾶ Ποιμένος εὗρε μικρὸν σκεῦος ὁλοκοτίνων. Λέγει οὖν τῷ ἀδελφῷ αὐτοῦ τῷ μεγάλῳ, τῷ ἀββᾷ Ἀνούβ· Οἶδας ὅτι ὁ λόγος τοῦ ἀββᾶ Ποιμένος σκληρός ἐστι πάνυ· ἀλλὰ δεῦρο κτίζωμεν ἑαυ-

98. Πρβλ. Πράξ. 15, 10.

ριο ἐκκλησιαστικό νόμο, σύμφωνα μέ τόν ὁποῖο οἱ ἱερεῖς — ἐννοῶ βέβαια ἐπισκόπους καί πρεσβυτέρους καί διακόνους καί ὑποδιακόνους— νά μή συνευρίσκονται μέ τίς συζύγους τίς ὁποῖες εἶχαν νυμφευθεῖ, ὅταν ἀκόμη ἦσαν λαϊκοί.

Σηκώθηκε λοιπόν ἀνάμεσα στούς συγκεντρωμένους ὁ Παφνούτιος καί μέ βροντερή φωνή ἄρχισε νά λέει νά μή φορτώσουν βαρύ ζυγό[98] στούς ἱερωμένους ἄνδρες, γιατί ὁ γάμος εἶναι τίμιος ὅπως λέει ἡ Γραφή[99], καί θέλοντας νά τηρήσουν ὑπερβολική ἀκρίβεια μή βλάψουν περισσότερο τήν Ἐκκλησία. Γιατί —συνέχισε— δέν μποροῦν ὅλοι νά βαστάσουν τήν ἄσκηση τῆς ἀπαθείας καί ἴσως οὔτε σώφρονες θά παραμείνουν. (Καί σωφροσύνη ὀνόμαζε ἐδῶ καί τή συζυγική σχέση μέ τή νόμιμη σύζυγο). Καί νά ἀρκεσθοῦμε —πρόσθεσε στούς συνοδικούς— στό ἑξῆς νά μήν προσέρχεται σέ γάμο ἐκεῖνος πού εἶναι ἤδη κληρικός, σύμφωνα μέ τήν ἀρχαία παράδοση τῆς Ἐκκλησίας. Οὔτε βέβαια νά ἀποχωρίζεται ἀπ' αὐτήν, ἐφόσον ὅταν ἦταν κοσμικός τή νυμφεύθηκε.

Καί αὐτά τά ἔλεγε ἄν καί δέν εἶχε πείρα συζυγικῆς ζωῆς καί μέ μιά λέξη πείρα γυναικός. Διότι ἀπό παιδί ἀνατράφηκε σέ ἀσκητήριο καί εἶχε περίβλημα τή σωφροσύνη. Πείσθηκαν ὅλοι οἱ ἐπίσκοποι στά λόγια τοῦ Παφνουτίου· γι' αὐτό καί ἔπαυσαν τή συζήτηση τοῦ θέματος αὐτοῦ καί τήν ἀποχή ἀπό τόν γάμο τήν ἄφησαν στήν προαίρεση αὐτῶν πού τό ἤθελαν[100].

150. Ἔλεγαν οἱ Γέροντες ὅτι ὁ ἀδελφός τοῦ ἀββᾶ Ποιμένος Παΐσιος βρῆκε ἕνα μικρό σκεῦος μέ χρυσά νομίσματα. Λέει λοιπόν στόν μεγάλο του ἀδελφό ἀββᾶ Ἀνούβ*: «Γνωρίζεις καλά ὅτι ὁ λόγος τοῦ ἀββᾶ Ποιμένος εἶναι πολύ σκλη-

99. Ἑβρ. 13, 4.

100. Πρβλ. Α' Κορ. 7, 1-7.

τοῖς μοναστήριον πώποτε καὶ καθήμεθα ἐκεῖ ἀμερίμνως. Λέγει οὖν αὐτῷ ὁ ἀββᾶς Ἀνούβ· Καὶ πόθεν ἔχομεν κτίσαι; Ὁ δὲ ἔδειξεν αὐτῷ τὰ ὁλοκότινα. Πάνυ δὲ ἐλυπήθη ὁ ἀββᾶς Ἀνοὺβ λογιζόμενος ὅτι ζημία εἰσὶ τῆς ψυχῆς αὐτοῦ. Καὶ λέγει αὐτῷ· Καλῶς. Ἄγωμεν καὶ κτίζωμεν κελλίον πέραν τοῦ ποταμοῦ.

Ἔλαβεν οὖν τὸ σκεῦος ὁ ἀββᾶς Ἀνοὺβ καὶ ἔβαλεν εἰς τὸ κουκούλιον αὐτοῦ. Ὡς οὖν περῶσι τὸν ποταμὸν καὶ ἔφθασαν κατὰ τὸ μέσον, ἐποίησεν ἑαυτὸν ὁ ἀββᾶς Ἀνοὺβ ὡς περιστρεφόμενον καὶ ἐξέπεσε τὸ κουκούλιον μετὰ τῶν νομισμάτων εἰς τὸν ποταμόν. Ἤρξατο οὖν ὡς λυπεῖσθαι ὁ ἀββᾶς Ἀνούβ· καὶ λέγει αὐτῷ Παΐσιος· Μὴ λυπηθῇς, ἀββᾶ· ἐφ' ὅσον ἀπῆλθον τὰ ὁλοκότινα, ἄγωμεν πάλιν πρὸς τὸν ἀδελφὸν ἡμῶν. Καὶ ἀνακάμψαντες ἔμειναν μετ' εἰρήνης.

151. Ἦλθέ ποτε μοναχός τις Ῥωμαῖος καὶ ᾤκησεν ἐν Σκήτει ἐγγύτερον τῆς ἐκκλησίας· εἶχε δὲ καὶ ἕνα δοῦλον ὑπηρετοῦντα αὐτῷ. Ἰδὼν δὲ ὁ πρεσβύτερος τὴν ἀσθένειαν αὐτοῦ καὶ μαθὼν ἐκ ποίας ἀναπαύσεώς ἐστιν, εἴ τι ὁ Θεὸς ᾠκονόμει καὶ ἤρχετο εἰς τὴν ἐκκλησίαν, ἔπεμπεν αὐτῷ. Καὶ ποιήσας εἰκοσιπέντε ἔτη ἐν Σκήτει, γέγονε διορατικὸς καὶ ὀνομαστός.

Ἀκούσας δέ τις τῶν μεγάλων Αἰγυπτίων περὶ αὐτοῦ ἦλθεν ἰδεῖν αὐτόν, προσδοκῶν σωματικήν τινα πολιτείαν εὑρεῖν ἐν αὐτῷ. Εἰσελθὼν δὲ ἠσπάσατο αὐτὸν καὶ ποιήσαντες εὐχὴν

101. Καί τό ἀπόφθεγμα αὐτό ἀποκαλύπτει τόν ζωηρό χαρακτήρα τοῦ νεαροῦ Παϊσίου, τόν ὁποῖον τελικά τόν διέσωζε τό ἄδολον τῆς καρδίας, πού

ρός. Ἔλα λοιπόν νά κτίσουμε ἐπιτέλους ἕνα ἀσκητήριο γιά τόν ἑαυτό μας καί νά μένουμε ἐκεῖ ἀμέριμνοι». «Καί μέ τί χρήματα θά τό κτίσουμε;» τόν ρωτάει ὁ ἀββᾶς Ἀνούβ. Κι ἐκεῖνος τοῦ 'δειξε τά χρυσά νομίσματα. Λυπήθηκε πάρα πολύ ὁ ἀββᾶς Ἀνούβ σκεπτόμενος ὅτι τά χρήματα θά κάνουν ζημιά στήν ψυχή τοῦ Παϊσίου. Ἀμέσως ὅμως τοῦ εἶπε: «Ἐντάξει. Πᾶμε νά κτίσουμε ἕνα κελί στήν ἀπέναντι ὄχθη τοῦ ποταμοῦ».

Πῆρε λοιπόν ὁ ἀββᾶς Ἀνούβ τό σκεῦος καί τό ἔβαλε στό κουκούλι του. Καθώς διέσχιζαν τό ποτάμι καί ἔφθασαν στή μέση περίπου, ἔκανε προσποιητά ὅτι ταλαντεύεται ὁ ἀββᾶς Ἀνούβ καί ἔπεσε τό κουκούλι μαζί μέ τά νομίσματα μέσα στό ποτάμι. Ἄρχισε λοιπόν ὁ ἀββᾶς Ἀνούβ νά παριστάνει τόν λυπημένο, ὁπότε τοῦ λέει ὁ Παΐσιος: «Μή λυπᾶσαι, ἀββᾶ, ἀφοῦ χάθηκαν τά νομίσματα, ἄς ἐπιστρέψουμε στόν ἀδελφό μας». Πράγματι γύρισαν καί ἔζησαν εἰρηνικά[101].

151. Ἦρθε κάποτε ἕνας μοναχός ἀπό τή Ρώμη καί κατοίκησε στή Σκήτη, πολύ κοντά στήν ἐκκλησία. Εἶχε μάλιστα καί ἕναν ὑπηρέτη πού τόν διακονοῦσε. Ὅταν εἶδε ὁ πρεσβύτερος ὅτι ἦταν ἀσθενικός καί πληροφορήθηκε τί καλοπέραση ἄφησε πίσω του, ἀπ' αὐτά πού ὁ Θεός οἰκονομοῦσε καί προσφέρονταν στήν ἐκκλησία, τοῦ ἔστελνε. Ἀφοῦ ἔζησε ἔτσι εἰκοσιπέντε χρόνια στή Σκήτη, ἔγινε διορατικός καί ἀπέκτησε φήμη.

Ἄκουσε γι' αὐτόν κάποιος Αἰγύπτιος μοναχός ἀπό τούς διακεκριμένους καί πῆγε νά τόν δεῖ, ἀναμένοντας νά βρεῖ σ' αὐτόν κάποια σωματική ἄσκηση σπουδαία. Μπῆκε μέσα, τόν ἀσπάσθηκε καί ἀφοῦ προσευχήθηκαν κάθησαν. Βλέπει

ἰδιαίτερα ἐξῆρε ὁ Κύριος (πρβλ. Ματθ. 18, 3). Βλ. ὑποσημ. 90 σελ. 128.

ἐκαθέσθησαν. Βλέπει δὲ αὐτὸν ὁ Αἰγύπτιος φοροῦντα ἱμάτια τρυφερὰ καὶ χαράδριον καὶ δέρμα ὑποκάτω αὐτοῦ καὶ προσκεφάλαιον μικρόν, ἔχοντα δὲ καὶ τοὺς πόδας καθαροὺς μετὰ σανδαλίων. Ταῦτα ἰδὼν ἐσκανδαλίσθη, ὅτι ἐν τῷ τόπῳ οὐχ ὑπῆρχε τοιαύτη διαγωγὴ ἀλλὰ μᾶλλον σκληραγωγία.

Καὶ διορατικὸς ὢν ὁ Γέρων ἐννόησεν ὅτι ἐσκανδαλίσθη καὶ λέγει τῷ ὑπηρετοῦντι αὐτῷ· Ποίησον ἡμῖν ἑορτὴν εἰς τὸν ἀββᾶν σήμερον. Εὐκαίρησε δὲ μικρὰ λάχανα καὶ ἥψησε. Καὶ τῇ ὥρᾳ ἀναστάντες ἔφαγον· εἶχε δὲ καὶ μικρὸν οἶνον διὰ τὴν ἀσθένειαν αὐτοῦ ὁ Γέρων καὶ ἔπιον. Καὶ ὡς ἐγένετο ὀψέ, ἔβαλον τοὺς δώδεκα ψαλμοὺς καὶ ἐκοιμήθησαν· ὁμοίως δὲ καὶ τὴν νύκτα. Ἀναστὰς δὲ τὸ πρωὶ ὁ Αἰγύπτιος λέγει αὐτῷ· Εὖξαι ὑπὲρ ἐμοῦ. Καὶ ἐξῆλθε μηδὲν ὠφεληθείς. Καὶ ὡς ἀπῆλθε μικρόν, θέλων ὁ Γέρων ὠφελῆσαι αὐτόν, πέμψας μετεκαλέσατο αὐτόν· καὶ ὡς ἦλθε, πάλιν μετὰ χαρᾶς ἐδέξατο αὐτὸν καὶ ἐπηρώτησεν αὐτὸν λέγων· Ποίας χώρας εἶ; Καὶ λέγει· Αἰγύπτιος. Ποίας δὲ πόλεως; Ὁ δὲ ἔφη· Ἐγὼ ὅλως οὐκ εἰμι πολίτης. Καὶ λέγει· Τί ἦν τὸ ἔργον σου εἰς τὴν κώμην σου; Καὶ λέγει· Τηρητής. Καὶ λέγει· Ποῦ ἐκοιμῶ; Ὁ δὲ εἶπεν· Εἰς τὸν ἀγρόν. Εἶχες, φησί, στρωμνὴν ὑποκάτω σου; Καὶ λέγει· Καὶ εἰς ἀγρὸν εἶχον στρῶμα θεῖναι ὑποκάτω μου; Ἀλλὰ πῶς; Εἶπε δέ· Χαμαί. Λέγει αὐτῷ πάλιν· Καὶ τί εἶχες βρῶμα εἰς τὸν ἀγρόν, ἢ ποῖον οἶνον ἔπινες; Ἀπεκρίθη πάλιν· Ἔνι βρώματα ἢ πόματα εἰς ἀγρόν;

102. Ἡ λ. χαλάδριον ἢ χαράδριον τοῦ ἀρχαίου κειμένου σημαίνει στρωσίδι φτωχικό στό πάτωμα, ὅπως ἡ ψάθα, παλιό χαλάκι, κουρελοῦ κλπ.

λοιπόν ὁ Αἰγύπτιος ὅτι ἦταν ντυμένος μέ ἐνδύματα λεπτά καί εἶχε κατά γῆς ἕνα φτωχικό στρωσίδι[102] μ' ἕνα δέρμα ἀπό κάτω καί ἕνα μικρό μαξιλάρι. Τά πόδια του ἦταν καθαρά καί φοροῦσε σανδάλια. Σάν τά εἶδε αὐτά, σκανδαλίσθηκε, γιατί ἐκεῖ, στή Σκήτη, δέν συνηθιζόταν αὐτός ὁ τρόπος ζωῆς, ἀλλά κυριαρχοῦσε ἡ σκληραγωγία.

Ὁ Γέροντας καθώς ἦταν διορατικός, κατάλαβε ὅτι σκανδαλίσθηκε καί εἶπε σ' αὐτόν πού τόν ὑπηρετοῦσε: «Κάνε σήμερα νά γιορτάσουμε γιά τήν ἄφιξη τοῦ ἀββᾶ». Βρῆκε ἐκεῖνος λίγα χόρτα καί τά ἔβρασε. Ὅταν ἦρθε ἡ ὥρα, σηκώθηκαν καί ἔφαγαν. Ἤπιαν μάλιστα καί κρασί ἀπό τό λιγοστό πού φύλαγε ὁ Γέροντας γιά τήν ἀδυναμία του. Κατά τό σούρουπο εἶπαν τούς δώδεκα ψαλμούς καί κοιμήθηκαν. Τό ἴδιο ἔκαναν καί τή νύκτα. Τό πρωί σηκώθηκε ὁ Αἰγύπτιος καί τοῦ εἶπε: «Εὐχήσου γιά μένα» καί ἔφυγε χωρίς νά ὠφεληθεῖ καθόλου. Λίγη ὥρα μετά τήν ἀναχώρησή του, θέλοντας ὁ Γέροντας νά τοῦ δώσει κάποια ὠφέλεια, τόν εἰδοποίησε νά γυρίσει πίσω. Καί ὅταν ἦλθε, μέ πολλή χαρά πάλι τόν δέχθηκε καί τοῦ 'κανε τίς παρακάτω ἐρωτήσεις: «Ἀπό ποιόν τόπο εἶσαι;» «Αἰγύπτιος» εἶπε. «Καί ἀπό ποιά πόλη;» «Ἐγώ —ἀπάντησε— δέν εἶμαι ἀπό πόλη». «Καί τί δουλειά ἔκανες στό χωριό σου;» ρώτησε ὁ Γέροντας.

—Φύλακας, εἶπε.

—Καί ποῦ κοιμόσουν;

—Στό χωράφι.

—Εἶχες στρῶμα ἀπό κάτω σου;

—Σέ χωράφι καί θά εἶχα στρῶμα νά βάλω; εἶπε ἐκεῖνος.

—Καί πῶς κοιμόσουν;

—Κατάχαμα, ἀπάντησε.

Καί συνέχισε ὁ Γέροντας: Τί φαγητό ἔτρωγες στό χωράφι ἤ τί κρασί ἔπινες;

—Ὑπάρχουν φαγητά ἤ ποτά στό χωράφι; ἀποκρίθηκε.

Ἀλλὰ πῶς ἔζης; φησί. Λέγει· Ἤσθιον ξηρὸν ἄρτον καί, εἰ εὕρισκον, μικρὸν ταρίχιν καὶ ὕδωρ. Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπε· Μέγας κόπος· ἔνι δὲ καὶ βαλανεῖον εἰς τὴν κώμην, ἵνα λούεσθε; Ὁ δὲ εἶπεν· Οὐχί, ἀλλ' εἰς τὸν ποταμόν, ὅτε ἠθέλομεν.

Ὡς οὖν ἐξέβαλεν αὐτὸν ὁ Γέρων εἰς ταῦτα πάντα καὶ ἔμαθε τοῦ προτέρου βίου αὐτοῦ τὴν θλῖψιν, θέλων αὐτὸν ὠφελῆσαι διηγήσατο αὐτῷ τὴν προτέραν αὐτοῦ διαγωγὴν τὴν ἐν τῷ κόσμῳ λέγων· Ἐμὲ τὸν ταπεινόν, ὃν βλέπεις, ἐκ τῆς μεγάλης πόλεως Ῥώμης εἰμί, μέγας γενόμενος εἰς τὸ παλάτιον τοῦ βασιλέως.

Ὁ ἀδελφός πῆγε κατόπιν σέ πιό καταρτισμένο Γέροντα καί τόν ρώτησε γι᾽ αὐτό τό θέμα. Καί ὁ Γέροντας τοῦ εἶπε: «Ἀπό τόν καθένα θά ζητηθεῖ ἀνάλογα μέ τά μέτρα στά ὁποῖα βρίσκεται». «Γιά τόν Κύριο —παρακάλεσε ὁ ἀδελφός τόν Γέροντα— κάνε μου πιό σαφή τόν λόγο αὐτό». «Νά —τοῦ λέει ὁ Γέροντας— ὑπάρχει ἐδῶ ἕνα σκεῦος ἄξιο νά τό ἐπιθυμήσει κανείς. Καί μπαίνουν δυό ἀδελφοί. Ὁ ἕνας βρίσκεται σέ ὑψηλά μέτρα· ὁ ἄλλος σέ χαμηλότερα. Ἐάν πεῖ ὁ λογισμός τοῦ τελείου: Θά ἤθελα νά ἔχω τό σκεῦος αὐτό· ἀλλά δέν ἐπιμείνει, καί κόψει εὐθύς τόν λογισμό, δέν μολύνεται. Ὁ ἄλλος, πού δέν ἔχει φθάσει σέ μεγάλα μέτρα, ἐάν τό ἐπιθυμήσει καί τό περιεργαστεῖ μέ τόν λογισμό του ἀλλά δέν τό πάρει τελικά, δέν μολύνεται κι αὐτός».



Τό θεοβάδιστο ὄρος Σινᾶ. Στό βάθος ἀριστερά ἡ Ἱ. Μ. Σινᾶ

216. Εἶπε Γέρων· Οὐ τὸ εἰσέρχεσθαι λογισμοὺς εἰς ἡμᾶς τοῦτο ἡμῖν κατάκριμα, ἀλλὰ τὸ κακῶς χρᾶσθαι τοῖς λογισμοῖς. Ἔστι γὰρ ἐκ τῶν λογισμῶν ναυαγῆσαι καὶ ἔστιν ἐκ τῶν λογισμῶν στεφανωθῆναι.

217. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω, ὅτι πολλοὶ οἱ λογισμοὶ οἱ πολεμοῦντές με, καὶ οὐκ οἶδα πῶς πολεμήσω πρὸς αὐτούς; Λέγει αὐτῷ ὁ Γέρων· Μὴ πολεμήσῃς πρὸς πάντας ἀλλὰ πρὸς ἕνα· πάντες γὰρ οἱ λογισμοὶ τῶν μοναχῶν ἔχουσιν ἕνα κεφαλήν· πρὸς αὐτὴν οὖν τὴν κεφαλὴν χρὴ κατανοεῖν ποία ἐστὶ καὶ πρὸς ἐκείνην πολεμεῖν. Καὶ οὕτως οἱ λοιποὶ λογισμοὶ ταπεινοῦνται.

218. Εἶπε Γέρων· Ὁ ἔρημον οἰκῆσαι βουλόμενος διδακτικὸς ὀφείλει εἶναι, οὐ διδασκαλίας δεόμενος, ἵνα μὴ ζημιοῦται.

219. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ἀββᾶ, ἰδοὺ παρακαλῶ τοὺς Γέροντας καὶ λέγουσί μοι περὶ τῆς σωτηρίας τῆς ψυχῆς μου καὶ οὐδὲν κατέχω ἐκ τῶν λόγων αὐτῶν. Τί οὖν καὶ παρακαλῶ αὐτοὺς μηδὲν ποιῶν; Ὅλος γάρ εἰμι ἀκαθαρσία.

Ἦσαν δὲ ἐκεῖ ἀγγεῖα δύο κοῦφα καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε, φέρε ἓν τῶν ἀγγείων καὶ βάλε ἔλαιον καὶ κλεῖσον αὐτό· καὶ μετάβαλε καὶ θὲς εἰς τὸν τόπον αὐτοῦ· καὶ ἐποίησε δὲ οὕτως ἅπαξ καὶ δίς. Καὶ λέγει αὐτῷ· Φέρε ἄρτι τὰ δύο ὁμοῦ καὶ ἴδε ποῖον καθαρώτερόν ἐστι. Λέγει αὐτῷ ὁ ἀδελφός· Ὅπου τὸ ἔλαιον ἔβαλον. Λέγει αὐτῷ ὁ Γέρων· Οὕτως ἐστὶ καὶ

---

130. Ἡ ἔννοια καθαρός τοῦ ἀρχαίου κειμένου στό ἀπόφθεγμα ἐκφράζει περισσότερο τή στιλπνότητα, σέ ἀντίθεση τῆς ἐννοίας θολός τοῦ δοχείου πού

216. Εἶπε Γέροντας: «Τό ὅτι εἰσέρχονται λογισμοί μέσα μας, δέν εἶναι αὐτό καταδίκη μας, ἀλλά τό ὅτι χειριζόμαστε κακῶς τούς λογισμούς. Εἶναι δηλαδή δυνατόν ἀπό τούς λογισμούς νά ναυαγήσουμε, ὅπως ἐπίσης ἀπό τούς λογισμούς νά στεφανωθοῦμε».

217. «Τί νά κάνω; —ρώτησε ἀδελφός σέ κάποιον Γέροντα. Οἱ λογισμοί πού μέ πολεμοῦν εἶναι πολλοί καί δέν ξέρω πῶς νά τούς καταπολεμήσω». Καί ὁ Γέροντας ἀπαντᾶ: «Μήν ἀνοίγεις πόλεμο πρός ὅλους ἀλλά πρός ἕναν· γιατί ὅλοι οἱ λογισμοί τῶν μοναχῶν ἔχουν ἕναν ὡς κεφαλή. Αὐτή τήν κεφαλή λοιπόν εἶναι ἀνάγκη νά τήν καταλάβει κανείς ποιά εἶναι καί αὐτήν νά πολεμήσει. Μ' αὐτόν τόν τρόπο οἱ ὑπόλοιποι λογισμοί ἀποδυναμώνονται».

218. Εἶπε ἕνας Γέροντας: «Αὐτός πού ἐπιθυμεῖ νά κατοικήσει στήν ἔρημο, ὀφείλει νά εἶναι σέ θέση νά διδάσκει καί ὄχι νά τόν διδάσκουν, γιά νά μή ζημιώνεται».

219. Ἀδελφός ρώτησε κάποιον Γέροντα: «Ἀββᾶ, νά, παρακαλῶ τούς Γέροντες καί μοῦ μιλοῦν γιά τή σωτηρία τῆς ψυχῆς μου καί δέν κρατῶ τίποτε ἀπ' ὅσα μοῦ λένε. Γιά ποιόν λόγο λοιπόν νά ζητῶ τή βοήθειά τους, ἀφοῦ δέν κάνω τίποτε; Εἶμαι ὁλόκληρος μιά ἀκαθαρσία».

Ἐκεῖ δίπλα ἦσαν δυό δοχεῖα ἄδεια. «Ἔλα —τοῦ λέει ὁ Γέροντας— φέρε ἕνα ἀπό τά δοχεῖα, ρίξε μέσα λάδι καί κλεῖσ' το· ἄδειασέ το κατόπιν καί βάλ' το στή θέση του». Τό 'κανε ὅπως τοῦ εἶπε καί μιά καί δυό φορές. Ὕστερα τοῦ λέει: «Φέρε τώρα καί τά δυό μαζί καί δές ποιό εἶναι πιό στιλπνό[130]». «Ὅπου ἔριξα τό λάδι» ἀπαντᾶ ὁ ἀδελφός. Λέει τότε

μένει ἀχρησιμοποίητο γιά καιρό.

ἡ ψυχή· κἂν γὰρ οὐδὲν κατέχῃ ἐξ ὧν ἐρωτᾷ, ἀλλὰ πλέον καθαρίζεται τοῦ μὴ ἐρωτῶντος ὅλως.

220. Ἀδελφὸς ἐκάθητο ἡσυχάζων. Καὶ ἤθελον αὐτὸν οἱ δαίμονες πλανῆσαι προφάσει ἀγγέλων φανέντες καὶ ἤγειραν αὐτὸν εἰς σύναξιν καὶ φῶς ἐδείκνυον αὐτῷ. Παρέβαλε δέ τινι Γέροντι καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, οἱ ἄγγελοι ἔρχονται μετὰ φώτων καὶ ἐγείρουσί με εἰς σύναξιν. Λέγει ὁ Γέρων· Μὴ ἀκούσῃς αὐτῶν, τέκνον, δαίμονες γάρ εἰσιν. Ἀλλ' ὅτε ἔρχονται ἐξυπνίσαι σε, λέγε· Ἐγὼ ὅτε θέλω ἐγείρομαι, ὑμῶν δὲ οὐκ ἀκούω.

Λαβὼν δὲ ὁ ἀδελφὸς τὴν παραγγελίαν τοῦ Γέροντος ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ· καὶ τῇ ἐπιούσῃ νυκτὶ πάλιν κατὰ τὸ ἔθος ἐλθόντες οἱ δαίμονες ἤγειραν αὐτόν. Ὁ δέ, ὡς παρηγγέλθη ὑπὸ τοῦ Γέροντος, ἀπεκρίθη αὐτοῖς λέγων· Ὅτε θέλω, ἐγείρομαι· ὑμῶν δὲ οὐκ ἀκούω. Οἱ δὲ εἶπον αὐτῷ· Ὁ κακόγηρος ἐκεῖνος ὁ ψεύστης ἐπλάνησέ σε; Ἦλθε πρὸς αὐτὸν ἀδελφὸς θέλων χρήσασθαι κέρμα, καὶ ἔχων ἐψεύσατο λέγων· Οὐκ ἔχω· καὶ οὐκ ἔδωκεν αὐτῷ. Ἐκ τούτου μάθε ὅτι ψεύστης ἐστί.

Ὀρθρίσας δὲ ὁ ἀδελφὸς ἦλθε πρὸς τὸν Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ ταῦτα. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ὅτι μὲν εἶχον κέρμα ὁμολογῶ, καὶ ἦλθεν ὁ ἀδελφὸς ζητῶν, καὶ οὐκ ἔδωκα· ᾔδειν γὰρ ὅτι, ἐὰν δῶ αὐτῷ, εἰς ζημίαν ψυχῆς ἐρχόμεθα. Ἐλογισάμην οὖν παραβῆναι ἐντολὴν μίαν καὶ μὴ παραβῆναι δέκα καὶ ἔλθωμεν εἰς θλῖψιν. Σὺ δὲ τῶν δαιμόνων τῶν θελόντων σε πλανῆσαι μὴ ἀκούσῃς. Καὶ πολλὰ στηριχθεὶς ὑπὸ τοῦ Γέροντος ἀπῆλθεν εἰς τὴν κέλλαν αὐτοῦ.

221. Διηγήσαντό τινες τῶν Πατέρων περὶ μεγάλου Γέροντος ὅτι, ὅτε ἤρχετό τις ἐρωτῆσαι αὐτὸν λόγον, ἔλεγεν αὐτῷ

ὁ Γέροντας: «Ἔτσι εἶναι καί ἡ ψυχή. Καί σέ περίπτωση πού δέν κρατάει τίποτε ἀπό ὅσα ρωτάει, εἶναι ὅμως πιό καθαρή ἀπό τήν ψυχή ἐκείνου πού δέν ρωτάει καθόλου».

220. Κάποιος ἀδελφός ἀσκήτευε στό κελί του. Οἱ δαίμονες θέλοντας νά τόν πλανήσουν τοῦ παρουσιάστηκαν σάν ἄγγελοι μέσα σέ φῶς καί τόν σήκωσαν γιά προσευχή. Ὁ ἀδελφός πῆγε σέ κάποιον Γέροντα καί τοῦ εἶπε: «Ἀββᾶ, ἔρχονται οἱ ἄγγελοι μέσα σέ φῶτα καί μέ ξυπνοῦν γιά προσευχή». «Μήν τούς ἀκούσεις, παιδί μου —λέει ὁ Γέροντας— εἶναι δαίμονες. Ὅταν λοιπόν ἔρχονται νά σέ ξυπνήσουν, ἐσύ νά λές: Ἐγώ θά σηκωθῶ ὅποτε θέλω, ἐσᾶς δέν σᾶς ἀκούω».

Πῆρε ὁ ἀδελφός τήν παραγγελία τοῦ Γέροντα καί πῆγε στό κελί του. Τήν ἑπομένη νύκτα, πάλι κατά τά συνηθισμένα, ἦλθαν οἱ δαίμονες καί τόν ξύπνησαν. Κι αὐτός, ὅπως τοῦ παρήγγειλε ὁ Γέροντας, τούς εἶπε: «Ὅταν θέλω θά σηκωθῶ. Σέ σᾶς δέν ὑπακούω». «Ὁ κακόγερος —τοῦ εἶπαν αὐτοί— ἐκεῖνος ὁ ψεύτης σέ πλάνεψε; Πῆγε κάποιος ἀδελφός πού χρειαζόταν ἕνα νόμισμα καί ἐνῶ εἶχε, εἶπε ψέματα: Δέν ἔχω, τοῦ εἶπε καί δέν τοῦ ἔδωσε. Ἀπ' αὐτό νά μάθεις ὅτι εἶναι ψεύτης».

Ὅταν σηκώθηκε τό πρωί ὁ ἀδελφός, πῆγε στόν Γέροντα καί τοῦ τά ἀνέφερε αὐτά. «Ὁμολογῶ —τοῦ εἶπε ὁ Γέροντας— ὅτι εἶχα νόμισμα καί ἦρθε ὁ ἀδελφός νά ζητήσει καί δέν τοῦ ἔδωσα. Γιατί γνώριζα καλά ὅτι ἄν τοῦ ἔδινα, θά προξενοῦσα ζημιά στήν ψυχή του. Σκέφθηκα λοιπόν νά παραβῶ μιά ἐντολή γιά νά μήν παραβῶ δέκα καί μᾶς βροῦν στενοχώριες. Ἐσύ ὅμως μήν ἀκούσεις τούς δαίμονες πού θέλουν νά σέ ρίξουν στήν πλάνη». Στηρίχθηκε πολύ ἀπό τόν Γέροντα καί ἔφυγε γιά τό κελί του.

221. Διηγοῦνταν κάποιοι Πατέρες γιά ἕναν μεγάλο Γέροντα ὅτι, ὅταν πήγαινε κάποιος νά τοῦ ζητήσει λόγο Θεοῦ,

μετὰ ἔξεως· Ἰδοὺ ἐγὼ λαμβάνω τὸ πρόσωπον τοῦ Θεοῦ καὶ κάθημαι ἐπὶ θρόνου κρίσεως· Τί οὖν θέλεις, ἵνα σοι ποιήσω; Ἐὰν εἴπῃς ἐλέησόν με, λέγει σοι ὁ Θεός· Ἐλέησον καὶ σὺ τὸν ἀδελφόν σου. Εἰ θέλεις, ἵνα συγχωρήσω σοι, συγχώρησον καὶ σὺ τῷ πλησίον σου. Μὴ ἔστιν ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο· ἀλλ' ἐν ἡμῖν ἐστιν, ἐὰν θέλωμεν σωθῆναι.

222. Ἔλεγον περί τινος τῶν Γερόντων εἰς τὰ Κελλία ὅτι ἦν μέγας πονικός. Καὶ ὡς ἐποίει τὴν σύναξιν αὐτοῦ, συνέβη ἄλλον τινὰ τῶν Γερόντων παραβαλεῖν αὐτῷ· καὶ ἤκουσεν αὐτοῦ ἔξωθεν μαχομένου μετὰ τῶν λογισμῶν αὐτοῦ καὶ λέγοντος· Ἕως πότε; Δι' ἕνα λόγον ἐκεῖνα ὅλα ἀπῆλθον; Ὁ δὲ ἐνόμιζεν ὅτι μετὰ ἄλλου τινὸς μάχεται καὶ ἔκρουσεν ὥστε εἰσελθεῖν καὶ εἰρηνεῦσαι αὐτούς.

Εἰσελθὼν δὲ καὶ ἰδὼν ὅτι οὐδεὶς ἄλλος ἐστὶν ἔσω, καὶ ἔχων παρρησίαν μετὰ τοῦ Γέροντος, εἶπεν αὐτῷ· Ἀββᾶ, μετὰ τίνος ἐμάχου; Ὁ δὲ εἶπε· Μετὰ τοῦ λογισμοῦ μου, ὅτι δεκατέσσαρας βίβλους οἶδα ἀπὸ στήθους καὶ ἕνα λόγον ἤκουσα ἔξω· καὶ ὡς ἦλθον βαλεῖν τὴν σύναξίν μου, ὅλα ἐκεῖνα ἤργησαν καὶ τοῦτο μόνον ἦλθεν ἔμπροσθέν μου ἐν τῇ ὥρᾳ τῆς συνάξεως· καὶ διὰ τοῦτο ἐμαχόμην τῷ λογισμῷ.

223. Εἶπε Γέρων· Οἱ Προφῆται τὰ βιβλία ἐποίησαν καὶ ἦλθον οἱ Πατέρες ἡμῶν καὶ εἰργάσαντο αὐτά· οἱ δὲ μετ' αὐτοὺς ἐξέλαβον αὐτὰ ἐκ στήθους· ἦλθε δὲ ἡ γενεὰ αὕτη καὶ ἔγραψεν αὐτὰ καὶ ἔθηκεν εἰς τὰς θυρίδας ἀργά.

131. Μέ πολλή φυσικότητα.

τοῦ ἔλεγε μέ πολλή ἐπιδεξιότητα[131]: «Νά ἐγώ αὐτή τήν ὥρα σάν νά μιλῶ ἀπό μέρους τοῦ Θεοῦ καί κάθομαι στόν θρόνο τῆς κρίσεως. Τί θέλεις λοιπόν νά σοῦ κάνω; Ἐάν πεῖς: Ἐλέησέ με· θά σοῦ πεῖ ὁ Θεός: Ἐλέησε καί σύ τόν ἀδελφό σου. Ἐάν θέλεις νά σέ συγχωρήσω, συγχώρεσε κι ἐσύ τόν πλησίον σου[132]. Μήπως εἶναι ἄδικος ὁ Θεός; Κάθε ἄλλο. Ἑπομένως ἀπό μᾶς ἐξαρτᾶται ἄν θέλουμε νά σωθοῦμε».

222. Ἔλεγαν γιά κάποιον Γέροντα πού ἀσκήτευε στά Κελλία ὅτι ἦταν μεγάλος ἀγωνιστής. Κάποτε τήν ὥρα πού ἔκανε τήν προσευχή του, συνέβη νά τόν ἐπισκεφθεῖ ἕνας ἄλλος Γέροντας καί τόν ἄκουσε ἀπ' ἔξω, καθώς πάλευε μέ τούς λογισμούς του καί ἔλεγε: «Ὡς πότε; Ἐξαιτίας ἑνός λόγου ὅλα ἐκεῖνα χάθηκαν;» Καί νόμισε ὅτι μέ κάποιον ἄλλον τά 'χει βάλει καί χτύπησε γιά νά μπεῖ μέσα καί νά τούς ἠρεμήσει.

Σάν μπῆκε ὅμως καί εἶδε ὅτι κανένας ἄλλος δέν εἶναι, εἶπε στόν Γέροντα, ἐπειδή τοῦ εἶχε θάρρος: «Ἀββᾶ, μέ ποιόν τά εἶχες βάλει;» «Μέ τόν λογισμό μου —ἀποκρίθηκε— γιατί δεκατέσσερα βιβλία ἔχω ἀποστηθίσει καί μ' ἕναν λόγο πού ἄκουσα ἔξω, ὅταν ἦρθα νά ἀρχίσω τήν ἀκολουθία μου, ὅλα ἐκεῖνα σάν νά ἐξαφανίσθηκαν· καί αὐτός ὁ λόγος μόνο ἦρθε μπροστά μου τήν ὥρα τῆς προσευχῆς καί γι' αὐτό πολεμοῦσα μέ τόν λογισμό μου».

223. Εἶπε Γέροντας: «Οἱ Προφῆτες ἔγραψαν τά βιβλία (τῆς Γραφῆς). Ἦρθαν κατόπιν οἱ Πατέρες καί τά ἐφάρμοσαν. Οἱ μεταγενέστεροι τά ἀποστήθισαν. Ἦρθε κι αὐτή ἡ γενεά, τά ἔγραψε καί τά τοποθέτησε στά ράφια, ὅπου μένουν ἀχρησιμοποίητα».

132. Ματθ. 7, 12 καί 6, 14.

224. Ἀδελφοὶ ἀπὸ κοινοβίου ἐξελθόντες παρέβαλον εἰς τὴν ἔρημον πρὸς ἀναχωρητήν. Ὁ δὲ ἐδέξατο αὐτοὺς μετὰ χαρᾶς. Καὶ ὡς ἔθος ἐστὶ τοῖς ἐρημίταις, ἰδὼν αὐτοὺς ἀπὸ κόπου παρέθηκε τράπεζαν παρὰ τὴν ὥραν καὶ εἴ τι εἶχε παρέθηκεν αὐτοῖς καὶ ἀνέπαυσεν αὐτούς. Καὶ ὅτε ἐγένετο ὀψέ, ἔβαλον τοὺς δώδεκα ψαλμούς· ὁμοίως δὲ καὶ τὴν νύκτα.

Ὡς δὲ ὁ Γέρων κατὰ μόνας ἠγρύπνει, ἤκουσεν αὐτῶν ἀλλήλοις λεγόντων ὅτι οἱ ἀναχωρηταὶ εἰς τὴν ἔρημον ἀναπαύονται πλέον ἡμῶν τῶν ἐν κοινοβίοις. Καὶ μελλόντων αὐτῶν ὑπάγειν πρωὶ πρὸς τὸν Γέροντα τὸν γείτονα αὐτοῦ, εἶπεν αὐτοῖς· Ἀσπάσασθε αὐτὸν ἐξ ἐμοῦ καὶ εἴπατε αὐτῷ· Μὴ ποτίσῃς τὰ λάχανα· καὶ ἐποίησαν οὕτως. Ὁ δὲ ἀκούσας ἐννόησε τὸ ῥῆμα καὶ ἐκράτησεν αὐτοὺς ἕως ἑσπέρας ἐργαζομένους νήστεις. Ὡς δὲ ἐγένετο ὀψέ, ἐποίησε μεγάλην σύναξιν καὶ εἶπε· Καταλύσωμεν δι᾽ ὑμᾶς ὅτι ἀπὸ κόπου ἐστέ· καὶ εἶπε πάλιν· Καθ᾽ ἡμέραν μὲν ἐσθίειν οὐκ ἔχομεν ἔθος, δι᾽ ὑμᾶς δὲ γευσόμεθα μικρόν. Καὶ παρέθηκεν αὐτοῖς ἄρτους ξηροὺς καὶ ἅλας εἰπὼν ὅτι χρεία ἐστὶ δι᾽ ὑμᾶς ἑορτὴν ποιῆσαι· καὶ ἔβαλεν ὀλίγον ὄξος εἰς τὸ ἅλας.

Καὶ ἀναστάντες ἔβαλον σύναξιν ἕως πρωΐ. Καὶ λέγει αὐτοῖς· Οὐ δυνάμεθα δι᾽ ὑμᾶς τελέσαι ὅλον τὸν κανόνα, ἵνα ἀναπαύσησθε μικρόν, ὅτι ἀπὸ ξένης ἐστέ. Πρωίας δὲ γενομένης ἤθελον φυγεῖν· ὁ δὲ παρεκάλει αὐτοῖς λέγων· Μείνατε χρόνον μεθ᾽ ἡμῶν· εἰ δὲ μή, κἂν διὰ τὴν ἐντολήν, κατὰ τὸ ἔθος ἡμῶν τῆς ἐρήμου, τρεῖς ἡμέρας. Οἱ δὲ ἰδόντες ὅτι οὐκ ἀπολύει αὐτούς, ἀναστάντες ἔφυγον λάθρα.

224. Ἀδελφοί βγῆκαν ἀπό τό κοινόβιό τους καί ἐπισκέφθηκαν ἕναν ἀναχωρητή στήν ἔρημο. Ὁ ἀναχωρητής τούς δέχθηκε μέ πολλή χαρά. Καί ὅπως εἶναι συνήθεια στούς ἐρημίτες, ἐπειδή τούς εἶδε κουρασμένους, ἔβαλε τράπεζα χωρίς νά εἶναι ἡ ὥρα, τούς παρέθεσε ὅ,τι εἶχε καί τούς ἀνέπαυσε. Ὅταν ἄρχισε νά βραδιάζει, εἶπαν τούς δώδεκα ψαλμούς· τό ἴδιο καί τή νύκτα.

Καθώς ὁ Γέροντας ἀγρυπνοῦσε μόνος του, τούς ἄκουσε νά λένε μεταξύ τους ὅτι οἱ ἀναχωρητές στήν ἔρημο περνοῦν καλύτερα ἀπό μᾶς πού εἴμαστε στά κοινόβια. Ὅταν ξημέρωσε καί ἐπρόκειτο οἱ ἀδελφοί νά πᾶνε σέ ἄλλον Γέροντα, γείτονά του, τούς εἶπε: «Χαιρετῆστε τον ἀπό μέρους μου καί πεῖτε του: Μήν ποτίσεις τά χόρτα». Καί ἔκαναν ὅπως τούς εἶπε. Ἐκεῖνος κατάλαβε τί σήμαιναν τά λόγια πού τοῦ εἶπαν καί τούς κράτησε ὥς τό ἀπόγευμα νά δουλεύουν νηστικοί. Ὅταν βράδιασε, ἔκανε μεγάλη ἀκολουθία καί εἶπε κατόπιν: «Ἄς καταλύσουμε γιά χάρη σας, γιατί κουραστήκατε»· καί πρόσθεσε· «Ἐμεῖς δέν συνηθίζουμε νά τρῶμε κάθε μέρα, ἀλλά γιά χάρη σας θά φᾶμε λίγο». Καί τούς παρέθεσε ξερά ψωμιά καί ἁλάτι λέγοντας: «Χρειάζεται γιά χάρη σας νά γιορτάσουμε». Ἔριξε λοιπόν καί λίγο ξύδι[133] στό ἁλάτι.

Ὅταν σηκώθηκαν ἀπ᾽ τό τραπέζι, ἄρχισαν τήν ἀκολουθία μέχρι τίς πρωινές ὧρες· καί τούς λέει: «Δέν μποροῦμε γιά χάρη σας ὅλον τόν κανόνα νά τόν κάνουμε· νά ξεκουραστεῖτε λίγο, γιατί εἶστε φιλοξενούμενοι». Μόλις ξημέρωσε, ἤθελαν νά φύγουν κι ἐκεῖνος τούς παρακαλοῦσε λέγοντάς τους: «Μείνετε κι ἄλλο μαζί μας. Ἤ τουλάχιστον χάριν τῆς ἐντολῆς, σύμφωνα μέ τή συνήθειά μας ἐδῶ στήν ἔρημο, μείνετε τρεῖς μέρες». Ἐκεῖνοι βλέποντας ὅτι δέν τούς δίνει εὐλογία νά φύγουν, σηκώθηκαν καί ἔφυγαν κρυφά.

---

133. Τό ξύδι ἦταν ἡ ἑορταστική «πολυτέλεια».

225. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων λέγων· Ἐὰν συμβῇ με βαρεθῆναι ἀπὸ ὕπνου καὶ παρέλθῃ ἡ ὥρα τῆς συνάξεως, οὐκέτι θέλει ἡ ψυχή μου ἀπὸ αἰσχύνης βαλεῖν σύναξιν. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν συμβῇ σοι ἀφυπνῶσαι ἕως πρωΐας, ἀναστὰς κλεῖσον τὰς θύρας καὶ τὰς θυρίδας καὶ βάλε τὴν σύναξίν σου. Γέγραπται γάρ· Σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ· ἐν παντὶ γὰρ καιρῷ δοξάζεται ὁ Θεός.

226. Εἶπε Γέρων· Ἔστιν ἄνθρωπος ἐσθίων πολλὰ καὶ ἔτι πεινῶν· καὶ ἔστιν ἄλλος ὀλίγα ἐσθίων καὶ χορταζόμενος. Καὶ ὁ πολλὰ ἐσθίων καὶ ἔτι πεινῶν πλείονα μισθὸν ἕξει τοῦ ὀλίγα ἐσθίοντος καὶ χορταζομένου.

227. Εἶπε Γέρων ὅτι· Εἰ καὶ ἐκοπίασαν ὧδε οἱ ἅγιοι, ἀλλ' ἔλαβον ἤδη καὶ μέρος ἀναπαύσεως. Τοῦτο δὲ ἔλεγε διὰ τὸ εἶναι αὐτοὺς ἐλευθέρους ἀπὸ τῶν τοῦ κόσμου φροντίδων.

228. Εἶπε Γέρων· Ἐὰν οἶδε μοναχὸς τόπον ἔχοντα προκοπήν, διὰ δὲ τὰς χρείας τοῦ σώματος οὐχ ὑπάγει ἐκεῖ, ὁ τοιοῦτος οὐ πιστεύει ὅτι ἔστι Θεός.

229. Ἀδελφὸς ἠρώτησε μικρὸν μοναχὸν λέγων· Καλὸν τὸ σιωπῆσαι ἢ λαλῆσαι; Λέγει αὐτῷ τὸ παιδίον· Ἐάν εἰσιν οἱ λόγοι ἀργοί, ἄφες αὐτούς· εἰ δὲ ἀγαθοί, δὸς τόπον τῷ καλῷ καὶ

225. Κάποιος ἀδελφός ἀνέφερε τό πρόβλημά του σ' ἕναν ἀπό τούς Πατέρες: «Ἐάν συμβεῖ —τοῦ εἶπε— νά κυριευθῶ ἀπό τόν ὕπνο καί περάσει ἡ ὥρα τῆς ἀκολουθίας, δέν θέλει ὕστερα ἡ ψυχή μου, ἀπό ντροπή, νά ἀρχίσει τήν ἀκολουθία».

Καί ὁ Γέροντας τοῦ λέει: «Ἄν σοῦ συμβεῖ νά σέ πάρει ὁ ὕπνος ὥς τό πρωί, σήκω μετά, κλεῖσε τήν πόρτα καί τά παράθυρα καί ἄρχισε τήν προσευχή σου. Γιατί ἡ Γραφή λέει: Δική σου εἶναι ἡ ἡμέρα, δική σου καί ἡ νύκτα[134]. Ὁ Θεός δέχεται τήν δοξολογία ὅποια ὥρα καί νά 'ναι».

226. Εἶπε Γέροντας: «Ὑπάρχει ἄνθρωπος πού τρώει πολύ καί ἀκόμη πεινάει· καί εἶναι ἄλλος πού τρώει λίγο καί χορταίνει. Ἐκεῖνος πού τρώει πολύ καί ἀκόμη πεινάει, θά ἔχει μεγαλύτερο μισθό ἀπό τόν ἄλλον πού τρώει λίγο καί χορταίνει».

227. Εἶπε Γέροντας: «Ἄν καί στόν κόσμο αὐτόν ἐδῶ κόπιασαν οἱ ἅγιοι, ἀλλά ἀπόλαυσαν ἤδη καί ἕνα μέρος ἀνάπαυσης». Αὐτό τό ἔλεγε ἐπειδή ἦταν ἐλεύθεροι ἀπό τίς κοσμικές φροντίδες.

228. Εἶπε Γέροντας: «Ἐάν γνωρίζει ὁ μοναχός κάποιον τόπο στόν ὁποῖο μπορεῖ νά προκόψει πνευματικά καί δέν πηγαίνει, ἐπειδή δέν θά ἔχει τά μέσα γιά τήν συντήρησή του, αὐτός δέν πιστεύει ὅτι ὑπάρχει Θεός».

229. Ἀδελφός ρώτησε ἕναν μοναχό μικρό στήν ἡλικία: «Εἶναι καλό νά σωπαίνει κανείς ἤ νά μιλάει;» Τό παιδί τοῦ εἶπε: «Ἐάν τά λόγια εἶναι ἀνώφελα, ἄφησέ τα· ἄν εἶναι καλά, δῶσε θέση στό καλό καί μίλησε. Πάντως καί ὅταν εἶναι καλά,

---

134. Ψαλμ. 73, 16.

λάλησον· πλήν, κἂν ἀγαθοὶ ὦσι, μὴ χρονίσῃς, ἀλλὰ ταχέως κόψον καὶ ἀναπαύῃ.

230. Εἶπέ τις τῶν Πατέρων ὅτι· Δεῖ πάντως τὸν ἄνθρωπον ἔχειν ἐντὸς αὐτοῦ ἐργασίαν· ἐὰν μὲν οὖν εἰς ἐργασίαν Θεοῦ σχολάζῃ, παραβάλλει αὐτῷ ὁ ἐχθρὸς μίαν μίαν, ἀλλ' οὐχ εὑρίσκει τόπον τοῦ μεῖναι· ἐὰν δὲ πάλιν κυριευθῇ ὑπὸ τῆς αἰχμαλωσίας τοῦ ἐχθροῦ, παραβάλλει αὐτῷ τὸ Πνεῦμα τοῦ Θεοῦ πυκνά, ἀλλ' οὐκ ἀφίεμεν αὐτῷ τόπον, καὶ διὰ τὴν κακίαν ἡμῶν ἀναχωρεῖ.

231. Κατῆλθόν ποτε μοναχοὶ ἀπὸ Αἰγύπτου εἰς Σκῆτιν παραβαλεῖν τοῖς Γέρουσι καὶ ἰδόντες αὐτοὺς ἀπὸ λιμοῦ τῆς αὐτῶν ἀσκήσεως λάβρως ἐσθίοντας ἐσκανδαλίσθησαν. Μαθὼν δὲ τοῦτο ὁ πρεσβύτερος ἠθέλησε θεραπεῦσαι αὐτοὺς καὶ ἐκήρυξεν ἐν τῇ ἐκκλησίᾳ λέγων τῷ λαῷ· Νηστεύσατε καὶ τείνατε τὴν πολιτείαν τῆς ἀσκήσεως ὑμῶν, ἀδελφοί. Ἤθελον δὲ οἱ παραβαλόντες Αἰγύπτιοι ἀναχωρῆσαι καὶ ἐκράτησαν αὐτούς. Καὶ ὡς τὴν πρώτην ἐνήστευσαν, ἐσκοτώθησαν· ἐποίησε δὲ αὐτοὺς νηστεύειν δύο δύο. Αὐτοὶ δὲ οἱ σκητιῶται ἐνήστευον τὴν ἑβδομάδα.

Καὶ γενομένου τοῦ Σαββάτου ἐκάθησαν φαγεῖν οἱ Αἰγύπτιοι μετὰ τῶν Γερόντων. Θορυβουμένων δὲ τῶν Αἰγυπτίων εἰς τὸ φαγεῖν, εἷς τῶν Γερόντων ἐκράτησεν αὐτῶν τὰς χεῖρας λέγων· Μετ' ἐπιστήμης φάγετε, ὡς μοναχοί· εἷς δὲ ἐξ αὐτῶν ὤθησεν αὐτοῦ τὴν χεῖρα λέγων· Ἀπόλυσόν με, ἀποθνήσκω γὰρ ὅλην τὴν ἑβδομάδα ἕψημα μὴ φαγών. Καὶ εἶπεν ὁ Γέρων· Εἰ οὖν ὑμεῖς διὰ δύο ἐσθίοντες οὕτως ἐξελίπετε, πῶς εἰς τοὺς

135. Στό ἀπόφθεγμα αὐτό ἔχουμε τό σπάνιο χαρισματικῆς φύσεως φαινόμενο, κατά τό ὁποῖο παιδί-ἔφηβος χαριτώνεται ἀπό τόν Θεό σέ τέτοιο βαθμό ὥστε ἀββάδες λευκανθέντες στήν ἄσκηση νά σκύβουν μπροστά του ζητών-

μή χρονοτριβεῖς ἀλλά γρήγορα σταμάτησε καί θά εἶσαι ἀναπαυμένος»[135].

230. Εἶπε κάποιος ἀπό τούς Πατέρες: «Πρέπει ὁπωσδήποτε ὁ ἄνθρωπος νά ἔχει μέσα του κάποια ἐργασία. Ἐάν λοιπόν ἀσχολεῖται μέ ἐργασία θεία, τόν πλησιάζει ὁ ἐχθρός πότε πότε, ἀλλά δέν βρίσκει τόπο νά παραμείνει. Ἄν πάλι κυριευθεῖ ἀπό τόν ἐχθρό καί αἰχμαλωτισθεῖ, τόν πλησιάζει συχνά τό Πνεῦμα τοῦ Θεοῦ ἀλλά δέν τοῦ ἀνοίγουμε τόπο· καί ἐξαιτίας τῆς κακίας μας φεύγει».

231. Μοναχοί ἀπό τήν Αἴγυπτο κατέβηκαν στή Σκήτη κάποτε νά συναντήσουν τούς Γέροντες. Καί σάν τούς εἶδαν ἀπό μεγάλη πείνα λόγω τῆς ἀσκήσεως νά τρῶνε ἁρπαχτά, σκανδαλίσθηκαν.

Τό 'μαθε ὁ πρεσβύτερος καί θέλησε νά τούς θεραπεύσει· γι' αὐτό μίλησε σέ σύναξη τῶν μοναχῶν καί εἶπε: «Ἀδελφοί, νηστέψτε καί ἐπιτείνετε τή ζωή τῆς ἀσκήσεως». Οἱ Αἰγύπτιοι πού τούς εἶχαν ἐπισκεφθεῖ, ἤθελαν νά φύγουν ἀλλά τούς κράτησαν. Ἔτσι ὅλη τήν πρώτη ἡμέρα νήστεψαν καί μαύρισαν τά μάτια τους. Τούς ἔκανε ὅμως νά νηστεύουν δυό-δυό μέρες, ἐνῶ οἱ ἴδιοι οἱ σκητιῶτες νήστευαν ὅλη τήν ἑβδομάδα.

Ὅταν ἔφθασε τό Σάββατο κάθησαν οἱ Αἰγύπτιοι νά φᾶνε μαζί μέ τούς Γέροντες. Θορυβοῦσαν ὅμως οἱ Αἰγύπτιοι γιά νά φᾶνε καί ἕνας ἀπό τούς Γέροντες ἔπιασε τά χέρια τους λέγοντας: «Φᾶτε μέ τρόπο σάν μοναχοί». Ἀλλά ἕνας ἀπ' αὐτούς ἔσπρωξε τό χέρι του λέγοντας: «Ἄσε με, γιατί πεθαίνω, ὅλη τήν ἑβδομάδα δέν ἔφαγα μαγειρεμένο φαγητό». Τότε εἶπε ὁ Γέροντας: «Ἄν λοιπόν ἐσεῖς τόσο ἀποκάματε νηστεύον-

τας ν' ἀκούσουν λόγον Χάριτος. Εἶναι τά νεαρά ἄτομα πού χαρακτηρίσθηκαν ὡς παιδαριογέροντες. Βλ. *Μ. Γεροντικόν* Α' τ. σελ. 448: Ἀββᾶς Ζαχαρίας.

ἀδελφοὺς ἐσκανδαλίσθητε, οἵτινες διὰ παντὸς οὕτω τὴν ἄσκησιν ἐπιτελοῦσι; Καὶ μετενόησαν αὐτοῖς καὶ ὠφεληθέντες ἀπῆλθον μετὰ χαρᾶς.

232. Ἀδελφός τις ἀναχωρήσας καὶ λαβὼν τὸ σχῆμα εὐθέως ἀπέκλεισεν ἑαυτὸν λέγων ὅτι· Ἀναχωρητής εἰμι. Ἀκούσαντες δὲ οἱ Γέροντες ἦλθον καὶ ἐξέβαλον αὐτόν. Καὶ ἐποίησαν αὐτὸν κυκλεύειν τὰ κελλία τῶν μοναχῶν καὶ βάλλειν μετάνοιαν καὶ λέγειν· Συγχωρήσατέ μοι, ὅτι οὔκ εἰμι ἀναχωρητὴς ἀλλὰ ἀρχάριος.

233. Δύο ἀδελφοὶ κατὰ σάρκα ἀνεχώρησαν. Πρῶτος δὲ ἦν εἰς τὸ σχῆμα ὁ μικρότερος τῇ ἡλικίᾳ. Ἐλθόντος δέ τινος τῶν Πατέρων παραβαλεῖν αὐτοῖς, ἔθηκαν τὴν λεκάνην καὶ ἦλθεν ὁ μικρότερος νίψαι τὸν Γέροντα. Ὁ δὲ Γέρων κρατήσας αὐτοῦ τὴν χεῖρα μετέστησεν αὐτὸν καὶ τὸν μειζότερον ἔστησε. Καὶ εἶπον οἱ παρεστῶτες τῷ Γέροντι· Ὁ μικρότερος, ἀββᾶ, πρῶτός ἐστιν εἰς τὸ σχῆμα. Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Ἐγὼ αἴρω τὸ πρωτεῖον τοῦ μικροτέρου καὶ ἐπιβάλλω τῇ ἡλικίᾳ τοῦ μειζοτέρου.

234. Εἶπε Γέρων· Ἐάν τις μείνῃ ἐν τόπῳ καὶ μὴ ποιήσῃ τὸ ἔργον τοῦ τόπου, ὁ τόπος διώκει αὐτὸν ὡς μὴ ποιοῦντα τὸν καρπὸν τοῦ τόπου.

235. Εἶπε Γέρων· Ἐάν τις ποιήσῃ πρᾶγμα ἀκολουθῶν τῷ θελήματι αὐτοῦ καὶ οὐκ ἔστι κατὰ Θεόν, ἐν ἀγνοίᾳ δέ ἐστιν, ὕστερον πάντως δεῖ ἐλθεῖν αὐτὸν εἰς τὴν ὁδὸν τοῦ Θεοῦ. Ὁ δὲ κρατῶν θέλημα οὐ κατὰ Θεόν, οὐδὲ παρ' ἄλλων θέλων ἀκοῦσαι, ἀλλ' ὡς εἰδὼς τὰ ἑαυτοῦ νομίζει, ὁ τοιοῦτος κόπῳ ἔρχεται εἰς τὴν ὁδὸν τοῦ Θεοῦ.

τας δυό δυό μέρες, πῶς σκανδαλισθήκατε μέ τούς ἀδελφούς πού ὅλον τόν καιρό κάνουν αὐτή τήν ἄσκηση;» Τούς ἔβαλαν μετάνοια καί ἔφυγαν ὠφελημένοι καί χαρούμενοι.

232. Κάποιος ἀδελφός πού ἔφυγε ἀπό τόν κόσμο καί ἔλαβε τό σχῆμα, εὐθύς ἔγινε ἔγκλειστος καί ἔλεγε: «Εἶμαι ἀναχωρητής». Μόλις τό πληροφορήθηκαν οἱ Γέροντες, πῆγαν, τόν ἔβγαλαν καί τοῦ ἐπέβαλαν νά γυρνάει τά κελιά τῶν μοναχῶν, νά βάζει μετάνοια καί νά λέει: «Συγχωρῆστε με· δέν εἶμαι ἀναχωρητής ἀλλά ἀρχάριος».

233. Δυό ἀδέλφια κατά σάρκα ἔφυγαν ἀπό τόν κόσμο γιά νά μονάσουν. Καί πρῶτος ἔλαβε τό σχῆμα ὁ μικρότερος στήν ἡλικία. Κάποια φορά τούς ἐπισκέφθηκε ἕνας ἀπό τούς Πατέρες· ἔβαλαν λοιπόν τή λεκάνη καί ἦρθε ὁ μικρότερος νά νίψει τά πόδια τοῦ Γέροντα. Ὁ Γέροντας ὅμως τοῦ 'πιασε τό χέρι, τόν ἔκανε πιό πέρα καί ἔβαλε στή θέση του τόν μεγαλύτερο. Εἶπαν τότε οἱ παρευρισκόμενοι στόν Γέροντα: «Ἀββᾶ, ὁ μικρότερος εἶναι πρῶτος στό σχῆμα». «Καί ἐγώ — ἀπάντησε ὁ Γέροντας— παίρνω τό πρωτεῖο τοῦ μικροτέρου καί τό τοποθετῶ στήν ἡλικία τοῦ μεγαλυτέρου».

234. Εἶπε Γέροντας: «Ἐάν μείνει κάποιος σ' ἕνα τόπο καί δέν κάνει τήν ἐργασία πού προϋποθέτει ὁ τόπος, τόν διώχνει αὐτόν ὁ τόπος, γιατί δέν παράγει τόν καρπό τοῦ τόπου».

235. Εἶπε Γέροντας: «Ἄν κάποιος κάνει κάτι, πού δέν εἶναι σύμφωνο μέ τό θέλημα τοῦ Θεοῦ, ἀκολουθώντας τό θέλημά του, ἀλλά βρίσκεται σέ ἄγνοια, αὐτός ὁπωσδήποτε ἀργότερα θά ἔρθει στόν δρόμο τοῦ Θεοῦ. Ἐνῶ ἐκεῖνος πού κρατάει θέλημα, καί δέν εἶναι κατά Θεόν, οὔτε θέλει νά ἀκούσει γνώμη ἀπό ἄλλους, ἀλλά νομίζει ὅτι ξέρει πολύ καλά τί τοῦ γίνεται, αὐτός δύσκολα θά βρεῖ τόν δρόμο τοῦ Θεοῦ».

236. Εἶπε Γέρων· Ὥσπερ ἡ τάξις τῶν μοναχῶν προτιμοτέρα τῶν κοσμικῶν ἐστιν, οὕτω καὶ ὁ ξένος μοναχὸς ὀφείλει εἶναι ἔσοπτρον τοῖς ἐντοπίοις μοναχοῖς κατὰ πάντα τρόπον.

237. Εἶπέ τις τῶν Πατέρων· Ἐὰν μείνῃ ἐργάτης εἰς τόπον ὅπου οὔκ εἰσιν ἐργάται, οὐ δύναται προκόψαι· τοῦτο δὲ δύναται, τοῦ ἀγωνίσασθαι μὴ καταβῆναι κάτω. Καὶ ἀργὸς πάλιν ἐὰν μείνῃ μετὰ ἐργατῶν, ἐὰν νήφῃ, προκόπτει, εἰ δὲ μή, κάτω οὐκ ἔρχεται.

238. Εἶπε Γέρων ὅτι· Ἡ ψυχὴ ἐὰν λόγον ἔχῃ, ἔργον δὲ οὐκ ἔχῃ, ἔοικε δένδρῳ ἔχοντι φύλλα, καρπὸν δὲ οὔ· ὥσπερ γὰρ δένδρον πλῆρες καρπῶν, εὐθαλῆ αὐτοῦ ἐστι καὶ τὰ φύλλα, οὕτως ἁρμόζει λόγος ψυχῇ ἐχούσῃ ἀγαθὰς ἐργασίας.

239. Παρέβαλόν ποτε τρεῖς ἀδελφοί τινι Γέροντι ἐν Σκήτει καὶ ἠρώτησεν αὐτὸν ὁ εἷς λέγων· Ἀββᾶ, ἔλαβον τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην ἀπὸ στήθους. Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν αὐτῷ· Ἐγέμισας τὸν ἀέρα λόγων. Καὶ ὁ δεύτερος ἠρώτησε λέγων· Κἀγὼ τὴν Παλαιὰν καὶ Καινὴν ἔγραψα ἐμαυτῷ. Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπε· Καὶ σὺ τὰς θυρίδας ἐγέμισας χαρτίων. Καὶ ὁ τρίτος εἶπε· Κἀμοῦ εἰς τὸν χυτρόπο-

136. Βλ. ὑποσημ. 43 σελ. 78.

137. Ἡ λ. χυτρόπους τοῦ ἀρχ. κειμένου σημαίνει χύτρα πού στηριζόταν σέ τρίποδα σιδερένιο· ἤ πυροστιά σιδερένια μέ πόδια, πάνω στήν ὁποία τοποθετοῦσαν χύτρα ἤ καζάνι μαγειρικῆς, πού ἄλλοτε ἦσαν καί ἐνσωματωμένα μέ τήν πυροστιά.

236. Εἶπε Γέροντας: «Ὅπως ἀκριβῶς ἡ τάξη τῶν μοναχῶν εἶναι πιό τιμημένη ἀπό τήν τάξη τῶν κοσμικῶν, ἔτσι καί ὁ μοναχός πού ἔρχεται ἀπό ἄλλο μέρος ὀφείλει νά εἶναι καθρέφτης στούς ντόπιους μοναχούς μέ ὅλη του τή διαγωγή».

237. Εἶπε κάποιος ἀπό τούς Πατέρες: «Ἐάν ἀγωνιστής μοναχός μείνει σέ τόπο πού δέν ὑπάρχουν ἀγωνιστές μοναχοί, δέν μπορεῖ νά προκόψει. Ἀλλά τοῦτο μπορεῖ νά κάνει: νά ἀγωνίζεται νά μήν πάει πίσω. Ὁ ὀκνηρός πάλι ἐάν μείνει μαζί μέ ἀγωνιστές, ἐφόσον ἔχει νήψη[136], προκόπτει· τουλάχιστον δέν πάει πίσω».

238. Εἶπε Γέροντας: «Ἐάν ἡ ψυχή ἔχει λόγο, ἀλλά δέν ἔχει νά παρουσιάσει ἔργο, μοιάζει μέ δένδρο πού ἔχει φύλλα, καρπό ὅμως δέν ἔχει. Ἐνῶ ὅπως συμβαίνει μέ τό δένδρο τό φορτωμένο καρπό, νά εἶναι ζωηρά καί τά φύλλα του, ἔτσι ὁ λόγος ἁρμόζει στήν ψυχή πού ἔχει νά παρουσιάσει καλή ἐργασία».

239. Ἐπισκέφθηκαν κάποτε τρεῖς ἀδελφοί ἕναν Γέροντα στή Σκήτη καί ὁ ἕνας ἀπ' αὐτούς τοῦ ἔθεσε τό ἑξῆς θέμα: «Ἀββᾶ, —τοῦ εἶπε— ἀποστήθισα τήν Παλαιά καί τήν Καινή Διαθήκη». «Γέμισες τόν ἀέρα μέ λόγια» τοῦ ἀποκρίθηκε ὁ Γέροντας.

Ὁ δεύτερος εἶπε: «Καί ἐγώ ἀντέγραψα τήν Παλαιά καί τήν Καινή Διαθήκη νά τήν ἔχω γιά τόν ἑαυτό μου». «Καί σύ —τοῦ ἀπάντησε ὁ Γέροντας— γέμισες τά ράφια μέ χαρτιά». Καί ὁ τρίτος εἶπε: «Στήν πυροστιά[137] μου ὑψώθηκαν βοῦρ-

δα θρύα ἀνέβησαν. Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν αὐτῷ· Καὶ σὺ τὴν φιλοξενίαν ἐδίωξας ἀπὸ σοῦ.

240. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Διὰ τί μετὰ ὀλιγωρίας ποιῶ τὴν μικράν μου σύναξιν; Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπεν αὐτῷ· Ἡ πρὸς τὸν Θεὸν ἀγάπη ἔνθεν δείκνυται, ὅταν τις μετὰ πάσης προθυμίας καὶ κατανύξεως καὶ ἀπερισπάστου λογισμοῦ ποιῇ τὸ ἔργον τοῦ Θεοῦ.

241. Παρέβαλόν ποτε ἀδελφοὶ μεγάλῳ Γέροντι πέντε· καὶ λέγει τῷ πρώτῳ· Τί ἐργάζῃ, ἀδελφέ; Ὁ δὲ εἶπε· Σειρὰν πλέκω, ἀββᾶ. Λέγει οὖν αὐτῷ ὁ Γέρων· Ὁ Θεὸς πλέξῃ σοι στέφανον, τέκνον. Λέγει καὶ τῷ δευτέρῳ· Σὺ τί ἐργάζῃ; Ὁ δὲ εἶπε· Ψίαθον. Εἶπε δὲ αὐτῷ· Ὁ Θεὸς ἐνδυναμώσῃ σε, τέκνον. Εἶπε δὲ καὶ τῷ τρίτῳ· Καὶ σὺ τί ἐργάζῃ; Ὁ δὲ εἶπε· Κόσκινα. Εἶπε δὲ καὶ αὐτῷ· Ὁ Θεὸς φυλάξῃ σε, τέκνον. Εἶπε δὲ καὶ τῷ τετάρτῳ; Καὶ σὺ τί ἐργάζῃ; Καὶ εἶπε· Καλλιγράφος εἰμί. Λέγει αὐτῷ· Σὺ οἶδας. Εἶπε δὲ τῷ πέμπτῳ· Καὶ σὺ τί ἐργάζῃ; Ὁ δὲ ἔφη· Τὸ λινυφικόν. Εἶπε δὲ ὁ Γέρων· Ἐγὼ πρᾶγμα οὐκ ἔχω. Ὅτι ὁ πλέκων τὴν σειράν, ἐὰν νήφῃ, μετὰ τοῦ Θεοῦ πλέκει στέφανον ἑαυτῷ. Τὸ δὲ ψιάθιον ἰσχὺν θέλει, ὅτι κόπον ἔχει· ὁ δὲ τὰ κόσκινα φυλακῆς δέεται, ὅτι εἰς τὰς κώμας αὐτὰ πωλοῦσιν. Ὁ δὲ καλλιγράφος χρείαν ἔχει ταπεινοῦν τὴν καρδίαν· ἔχει γὰρ τὸ πρᾶγμα ὑψηλοφροσύνην. Τὸ δὲ λινυφικὸν οὐκ ἔχω πρᾶγμα, ὅτι πραγματεύεται. Ἐὰν γάρ τις ἴδῃ τινὰ ἀπὸ μακρόθεν βαστάζοντα σπυρίδας ἢ ψίαθον ἢ κόσκινα, λέγει· Οὗτος μοναχός ἐστι· χόρτος γάρ ἐστι τὸ ἐργόχειρον ἡμῶν καὶ εἰς καῦσιν τοῦ πυρός. Ἐὰν δέ τις ἴδῃ τινὰ πωλοῦντα ὀθόνια, λέγει· Ἰδοὺ

---

138. Σειρά: ἔτσι ὀνόμαζαν τά σχοινιά ἤ τίς πλεξοῦδες πού ἔκαναν οἱ μοναχοί μέ φοινικόφυλλα καί βλαστούς φοινίκων ἤ καί μέ βούρλα. Καί μέ τίς πλεξοῦδες αὐτές συρράπτοντάς τες σχημάτιζαν τά ζεμπίλια, τά πανέρια, τά καλάθια καί παρόμοια χρήσιμα σκεύη.

λα». «Καί σύ —ἀποκρίθηκε ὁ Γέροντας— ἔδιωξες μακριά σου τήν ἀρετή τῆς φιλοξενίας».

240. Ἀδελφός ρώτησε ἕναν Γέροντα: «Γιατί κάνω ἀνόρεκτα τή σύντομη ἀκολουθία μου;» Ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Ἡ ἀγάπη πρός τόν Θεό ἀπ' ἐδῶ φαίνεται, ἄν δηλαδή κανείς ὁλοπρόθυμα καί μέ κατάνυξη καί συγκεντρωμένο τόν νοῦ ἐκτελεῖ τήν θεϊκή ἐργασία».

241. Ἐπισκέφθηκαν κάποτε ἀδελφοί ἕναν μεγάλο Γέροντα, πέντε τόν ἀριθμό. Λέει λοιπόν στόν πρῶτο: «Τί ἐργόχειρο κάνεις, ἀδελφέ;» «Πλέκω σειρά[138], ἀββᾶ» εἶπε ἐκεῖνος. «Ὁ Θεός —ἀποκρίθηκε ὁ Γέροντας— νά σοῦ πλέξει στεφάνι, παιδί μου». Ρωτάει τόν δεύτερο: «Ἐσύ τί δουλεύεις;» «Ψαθί» εἶπε αὐτός. «Ὁ Θεός νά σέ ἐνδυναμώσει, παιδί μου». Ἦρθε ἡ σειρά τοῦ τρίτου: «Καί σύ τί ἐργόχειρο κάνεις;» «Κόσκινα» ἀποκρίθηκε. «Ὁ Θεός νά σέ φυλάξει, παιδί μου», εἶπε καί σ' αὐτόν. Προχώρησε στόν τέταρτο: «Καί σύ τί δουλειά κάνεις;» «Καλλιγράφος εἶμαι» ἀπάντησε. «Δική σου ἡ εὐθύνη» εἶπε ὁ Γέροντας. Ρώτησε καί τόν πέμπτο: «Καί σύ, ποιό εἶναι τό ἐργόχειρό σου;» «Ἡ ὑφαντική» ἀποκρίθηκε. Καί ὁ Γέροντας εἶπε: «Προτιμῶ νά μή μιλήσω. Δηλαδή αὐτός πού πλέκει τή σειρά, ἐάν εἶναι νηφάλιος, πλέκει μαζί μέ τόν Θεό στεφάνι γιά τόν ἑαυτό του. Τά ψαθιά θέλουν δύναμη, γιατί ἔχουν κόπο. Αὐτός πού κάνει τά κόσκινα, ἔχει ἀνάγκη προσοχῆς, γιατί στά χωριά τά πουλᾶνε αὐτά. Ὁ καλλιγράφος χρειάζεται νά ταπεινώνει τήν καρδιά του, γιατί ἡ ἐργασία αὐτή ἔχει ὑψηλοφροσύνη. Γιά τήν ὑφαντική δέν ἔχω τί νά πῶ, γιατί εἶναι ἐμπόριο. Ἄν δηλαδή δεῖ κανείς ἀπό μακριά κάποιον νά κρατάει ζεμπίλια ἤ ψαθιά ἤ κόσκινα, θά πεῖ αὐτός εἶναι μοναχός· γιατί τό ἐργόχειρό μας εἶναι χορτάρι καί θά καταλήξει στή φωτιά. Ἄν ὅμως δεῖ κάποιον νά πουλάει λινά

οἱ πραγματευταὶ ἦλθον· τοῦ κόσμου γάρ ἐστι τὸ ἐργόχειρον τοῦτο καὶ οὐ πολὺ ὠφέλιμον.

242. Διηγήσατό τις τῶν Πατέρων ὅτι ἀδελφὸς εὐλαβὴς πάνυ εἶχε μητέρα πτωχήν. Μεγάλου οὖν λιμοῦ γενομένου, λαβὼν ἄρτους ἐπορεύετο ἀπενεγκεῖν τῇ μητρὶ αὐτοῦ. Καὶ ἰδοὺ φωνὴ ἐγένετο πρὸς αὐτὸν λέγουσα· Σὺ φροντίζεις τῆς μητρός σου ἢ φροντίσω ἐγώ; Ὁ δὲ ἀδελφὸς διακρίνας τὴν δύναμιν τῆς φωνῆς ἔρριψεν ἑαυτὸν ἐπὶ πρόσωπον εἰς τὴν γῆν παρακαλῶν καὶ λέγων· Σύ, Κύριε, φρόντισον ἡμῶν· καὶ ἀναστὰς ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἦλθεν ἡ μήτηρ αὐτοῦ λέγουσα αὐτῷ· Ὁ δεῖνα ὁ μοναχὸς ἔδωκέ μοι μικρὸν σίτον· λάβε αὐτὸν καὶ ποίησον ἡμῖν μικρὰ ψωμία, ἵνα τραφῶμεν. Ὁ δὲ ἀδελφὸς ἀκούσας ταῦτα ἐδόξασε τὸν Θεόν· καὶ εὔελπις γενόμενος προέκοπτε διὰ τῆς χάριτος τοῦ Θεοῦ εἰς πᾶσαν ἀρετήν.

243. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ἰδοὺ παραβάλλω εἰς τόπον μετὰ ἀδελφῶν καὶ παρατίθησιν ἡμῖν φαγεῖν ἢ κανίσκιν· καὶ πολλάκις οἱ ἀδελφοὶ ἢ δι' ἐγκράτειαν ἢ ἀπὸ φαγίου εἰσὶ καὶ οὐ θέλουσι φαγεῖν, ἐγὼ δὲ πεινῶ· τί ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν σὺ πεινᾷς, πρόσεχε τοῖς καθημένοις πόσοι εἰσίν· ὁμοίως καὶ τὰ παρατιθέμενα. Καὶ ὃ δοκιμάζεις ὅτι ἔρχεταί σοι μέρος, τοῦτο φάγε, καὶ οὐκ ἔστι σοι πρόσκομμα, ἀλλὰ τὰ τῆς χρείας σου ἐποίησας. Ἐὰν δὲ ἡττηθῇς καὶ πλέον ἐσθίῃς, τοῦτο ἥττημά σοί ἐστιν.

244. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ἐστι καταλαλιὰ καὶ τί ἐστι κατακρίνειν; Ὁ δὲ ἔφη· Καταλαλιὰ ἐν πᾶσι λέγεται·

ὑφάσματα, θά πεῖ: Νά, οἱ ἔμποροι ἦρθαν. Γιατί αὐτό τό ἐργόχειρο εἶναι κοσμικό καί δέν συμφέρει καθόλου τήν ψυχή».

242. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες: «Ἕνας ἀδελφός πολύ εὐλαβής εἶχε φτωχή μητέρα. Ὅταν κάποτε ἔπεσε μεγάλη πείνα, ὁ ἀδελφός πῆρε ψωμιά καί τά πήγαινε στή μητέρα του. Καθώς βάδιζε, ἄκουσε μιά φωνή νά λέει: Ἐσύ φροντίζεις γιά τή μητέρα σου ἤ θά φροντίσω ἐγώ; Ὁ ἀδελφός κατάλαβε τή σημασία τῶν λόγων αὐτῶν, ρίχθηκε κατά πρόσωπο στή γῆ ἱκετεύοντας: Σύ, Κύριε, φρόντισε γιά μᾶς· σηκώθηκε καί γύρισε στό κελί του.

Μετά ἀπό δυό μέρες ἦρθε ἡ μητέρα του καί τοῦ 'πε: Ὁ τάδε μοναχός μοῦ ἔδωσε λίγο σιτάρι· πάρ' το καί κάνε μας λίγα ψωμάκια, γιά νά 'χουμε νά τρῶμε. Ὁ ἀδελφός μόλις τ' ἄκουσε, δόξασε τόν Θεό, αναθάρρησε καί μέ τή χάρη τοῦ Θεοῦ πρόκοβε στήν ἐνάρετη ζωή».

243. Ἕνας ἀδελφός συμβουλεύθηκε Γέροντα γιά τό ἑξῆς: «Ἄς ὑποθέσουμε —εἶπε— πάω κάπου μέ ἄλλους ἀδελφούς καί στρώνουν τραπέζι νά φᾶμε ἤ προσφέρουν κάποιο κέρασμα· πολλές φορές οἱ ἀδελφοί εἴτε ἀπό ἐγκράτεια εἴτε γιατί μόλις σηκώθηκαν ἀπό τό φαγητό, δέν θέλουν νά φᾶνε· ἐγώ ὅμως πεινῶ· τί νά κάνω;»

Ὁ Γέροντας τοῦ ἀποκρίνεται: «Ἐάν ἐσύ πεινᾶς, κύτταξε πόσοι εἶναι οἱ φιλοξενούμενοι· τό ἴδιο κάνε καί γι' αὐτά πού προσφέρουν. Καί ὅσο κρίνεις ὅτι σοῦ ἀναλογεῖ, αὐτό φάγε το· δέν ὑπάρχει ἐμπόδιο, γιατί κάνεις αὐτό πού σοῦ χρειάζεται. Ἄν ὅμως νικηθεῖς καί φᾶς περισσότερο, αὐτό εἶναι ἧττα σου».

244. Ἀδελφός ρώτησε Γέροντα: «Τί εἶναι καταλαλιά καί τί κατάκριση;» Κι ἐκεῖνος εἶπε: «Σ' ὅλες τίς περιπτώσεις λέ-

τὸ δὲ κατακρίνειν ἐπὶ φανεροῖς. Πᾶν ῥῆμα, ὃ οὐ δύναταί τις λαλῆσαι ἔμπροσθεν τοῦ ἀδελφοῦ αὐτοῦ, καταλαλιά ἐστιν. Ἐὰν δέ τις εἴπῃ· Ὁ δεῖνα ὁ ἀδελφὸς καλὸς καὶ ἀγαθός ἐστι, ἀσύστροφος δὲ καὶ οὐκ ἔχει διάκρισιν, τοῦτο καταλαλιά ἐστι. Τὸ δὲ κρῖναι, ἐάν τις εἴπῃ ὅτι ὁ ἀδελφὸς ἐκεῖνος πραγματευτής ἐστι καὶ φιλάργυρος, τοῦτό ἐστι τὸ κρῖναι· κατέκρινας γὰρ αὐτοῦ τὰς πράξεις· τοῦτο δὲ χεῖρόν ἐστι τῆς καταλαλιᾶς.

245. Ἄλλος Γέρων ἦλθεν ἐπὶ τὸν ποταμὸν καὶ εὑρὼν χάρακα καλάμων ἡσυχάζοντα ἐκάθισε. Καὶ κόπτων φυλλίδια ἐκ τοῦ ποταμοῦ ἔπλεκε σειρὰν καὶ ἔβαλλεν εἰς τὸν ποταμόν. Οὕτως ἐποίει, ἕως οὗ ἦλθον οἱ ἄνθρωποι καὶ εἶδον αὐτόν· καὶ τότε ἀναστὰς ἀνεχώρησεν· οὐ γὰρ διὰ τὸ χρῄζειν εἰργάζετο ἀλλὰ διὰ τὸν κόπον καὶ τὴν ἡσυχίαν.

246. Ἦν τις ἀδελφὸς καὶ ἐπολέμει αὐτὸν ὁ λογισμός, ὅτι ὀφείλεις ἀπελθεῖν καὶ ἐπισκέψασθαι τόνδε τὸν Γέροντα. Καὶ ὑπερετίθετο ἡμέραν καὶ ἡμέραν λέγων ὅτι· Αὔριον ὑπάγω. Ἐπὶ τρία οὖν ἔτη ἐπολέμησε τῷ λογισμῷ. Ὕστερον δὲ λέγει πρὸς τὸν λογισμόν· Ἴδε, νόμισον ὅτι ἀπῆλθον πρὸς τὸν Γέροντα· καὶ λέγει· Καλῶς ὑγιαίνεις, καλόγηρε; Πόσον χρόνον ἐπεθύμουν ἰδεῖν τὴν ἁγιωσύνην σου! Καὶ στήσας λεκάνην ὑπένιψεν ἑαυτόν· καὶ ἔλεγεν ὡς ἐκ προσώπου τοῦ Γέροντος· Καλῶς ἦλθες, ἀδελφέ· συγχώρησόν μοι, ὅτι δι' ἐμὲ ἐκοπώθης·

139. Ρωμ. 14, 4. Βλ. Ἀββᾶ Δωροθέου *Ἀσκητικά*, Διδ. ΣΤ', 70 κ.ἑ. καί Ἠλία Βουλγαράκη, *Σύ τί κρίνεις τόν ἀδελφόν σου*, Ἐκδ. «Ἀστήρ», Ἀθήνα 1982.

γεται καταλαλιά. Ἐνῶ ἡ κατάκριση ἀναφέρεται σέ φανερά πράγματα. Κάθε λόγος πού δέν μπορεῖ κανείς νά τόν πεῖ μπροστά στόν ἀδελφό του, εἶναι καταλαλιά. Ἐπίσης ἄν πεῖ κανείς: Ὁ τάδε ἀδελφός εἶναι καλός καί ἀγαθός ἀλλά δέν ἔχει τάξη οὔτε διάκριση, εἶναι καταλαλιά. Ἐνῶ ἐάν κανείς πεῖ ὅτι ὁ ἀδελφός ἐκεῖνος εἶναι ἔμπορος καί μάλιστα φιλάργυρος, αὐτό εἶναι ἡ κατάκριση· γιατί κατέκρινες τίς πράξεις του. Αὐτό εἶναι χειρότερο ἀπό τήν καταλαλιά»[139].

245. Ἕνας ἄλλος Γέροντας πηγαίνοντας στίς ὄχθες τοῦ ποταμοῦ, βρῆκε ἕνα περιφραγμένο τόπο μέ καλαμιές ἐρημικό καί ἔμεινε ἐκεῖ. Ἔκοβε λοιπόν τρυφερούς βλαστούς ἀπό τίς καλαμιές τοῦ ποταμοῦ, ἔπλεκε πλεξούδα καί τήν ἔριχνε στό ποτάμι.

Αὐτό ἔκανε ἕως ὅτου ἦρθαν οἱ νοικοκυραῖοι τοῦ κτήματος καί τόν εἶδαν· τότε ἀκριβῶς σηκώθηκε καί ἔφυγε. Δέν δούλευε γιατί εἶχε νά καλύψει τίς ἀνάγκες του, ἀλλά γιά νά καταβάλλει κόπο καί νά ἐκμεταλλεύεται τήν ἡσυχία[140].

246. Πολεμοῦσε ἕναν ἀδελφό ὁ λογισμός ὅτι πρέπει νά πάει νά ἐπισκεφθεῖ τόν τάδε Γέροντα. Καί ἀνέβαλε κάθε μέρα λέγοντας: «Αὔριο πηγαίνω». Τρία χρόνια πολέμησε ἔτσι τόν λογισμό του.

Ὕστερα εἶπε στόν λογισμό: «Κύτταξε, πές ὅτι πῆγα στόν Γέροντα καί μοῦ λέει: Εἶσαι καλά, καλόγηρε; Πόσον καιρό εἶχα τήν ἐπιθυμία νά δῶ τήν ἁγιοσύνη σου!»

Ἔπειτα ἔβαλε λεκάνη καί ἔνιψε τά πόδια του· καί ἔλεγε σάν νά μιλοῦσε ὁ Γέροντας: «Καλῶς ἦλθες, ἀδελφέ. Συγχώρησον, γιατί κόπιασες γιά χάρη μου· ὁ Κύριος νά σέ ἀντα-

140. Τό ἀπόφθεγμα αὐτό μέ ἐλάχιστες διαφορές συμπεριλαμβάνεται καί στόν Α' τόμο τοῦ *Μ. Γεροντικοῦ* σελ. 296 (ἀπόφθ. Β 75).

ὁ Κύριος δῴη σοι τὸν μισθόν. Καὶ ποιήσας ἑψητὸν ἔφαγε καὶ ἔπιε καλῶς. Καὶ εὐθὺς ἀνεχώρησεν ὁ πόλεμος ἀπ' αὐτοῦ.

247. Εἶπε Γέρων· Οὐχ ἕνεκεν καλῶν ἢ ὠφελείας κάθημαι ὧδε ἀσθενῶν, ἀλλ' ἕνεκεν ταλαιπωρίας. Δυνατοὶ γάρ, φησί, οἱ ὄντες μεταξὺ ἀδελφῶν.

248. Εἶπε πάλιν· Ἐν τῷ τόπῳ ᾧ ἐάν ἐστί τις, ἐὰν δοκιμάσῃ καλόν τι ποιῆσαι καὶ μὴ ἰσχύσῃ, μὴ νομίσῃ ὅτι ἀλλαχοῦ δύναται ποιῆσαι αὐτό.

249. Ἠρωτήθη Γέρων περὶ τῶν ἔτι περιιόντων καὶ εὐχὴν ἐξαιτουμένων παρ' ἑτέρων, αὐτῶν δὲ ἀμελέστερον διακειμένων καὶ βιούντων, καὶ ἀπεκρίνατο ὅτι· Πολὺ μὲν ἰσχύει δέησις δικαίου ἐνεργουμένη, συνεργοῦντος δὲ καὶ συναγωνιζομένου δηλονότι τοῦ τὴν εὐχὴν αἰτοῦντος καὶ πάσῃ σπουδῇ μετὰ πόνου καρδίας ἑαυτὸν φυλάττοντος ἀπὸ λογισμῶν καὶ πράξεων πονηρῶν. Ἐπεί, ἐὰν ἀδιαφόρως διάγῃ, οὐδεμία ὠφέλεια ἔσται, κἂν ἅγιοι εὔχωνται περὶ αὐτοῦ. Εἷς γάρ, φησίν, οἰκοδομῶν καὶ εἷς καθαιρῶν· τί ὠφέλησαν ἀμφότεροι ἢ κόπους;

Εἴπω δὲ καὶ πρᾶγμα συμβεβηκὸς ἐφ' ἡμῶν τοιοῦτον: Ἀββᾶς τις ἅγιος, κοινοβίου πατήρ, πάσῃ ἀρετῇ κεκοσμημένος καὶ μάλιστα ἐν ταπεινοφροσύνῃ καὶ ἐπιεικείᾳ, ἦν δὲ καὶ ἐλεήμων καὶ συμπαθὴς καὶ τῇ ἀγάπῃ ὑπερέβαλλε πολλούς. Οὗτος ἐδέετο τοῦ Θεοῦ λέγων· Κύριε, οἶδα ἐμαυτὸν ἁμαρτωλὸν ὄντα· ἀλλ' εἰς τοὺς οἰκτιρμούς σου ἐλπίζω σωθῆναι διὰ τὸ ἔλεός

141. Ὁ τύπος δῴη τοῦ ἀρχαίου κειμένου, πού τό συναντοῦμε καί σέ ἄλλα ἀποφθέγματα, εἶναι εὐκτική τοῦ μεταγενέστερου τύπου διδόω καί κλίνεται κατά τά εἰς -όω ρήματα.

142. Παροιμ. 18, 19. 143. Ἰακ. 5, 16. 144. Σοφ. Σειρ. 34, 23.

μείψει»[141]. Στή συνέχεια μαγείρεψε φαγητό, ἔφαγε καί ἤπιε καλά. Καί εὐθύς ἀποχώρησε ὁ πόλεμος ἀπό τόν ἀδελφό.

247. Εἶπε Γέροντας: «Δέν μένω ἐδῶ γιά νά ἀποκομίσω ἀγαθά ἤ γιά νά ὠφεληθῶ ἐνῶ εἶμαι ἄρρωστος, ἀλλά γιά νά ταλαιπωρηθῶ. Ἄλλωστε —λέει ἡ Γραφή— εἶναι ἰσχυροί αὐτοί πού εἶναι μεταξύ ἀδελφῶν[142]».

248. Εἶπε ὁ ἴδιος: «Στόν τόπο πού βρίσκεται κανείς, ἐάν δοκιμάσει κάτι καλό νά κάνει καί δέν τό κατορθώσει, μή νομίσει ὅτι πηγαίνοντας ἀλλοῦ θά μπορέσει νά τό κάνει».

249. Ρώτησαν κάποιον Γέροντα γι' αὐτούς πού συνεχίζουν νά τριγυρνοῦν καί νά ζητοῦν ἀπό ἄλλους νά προσεύχονται, ἐνῶ οἱ ἴδιοι δέν πολυενδιαφέρονται ἀλλά καί στή ζωή τους εἶναι ἀμελεῖς.

Ἀποκρίθηκε ὁ Γέροντας: «Ἡ δέηση τοῦ δικαίου βέβαια ἔχει μεγάλη δύναμη καί ἀποτελεσματικότητα[143], μέ τήν προϋπόθεση ὅμως αὐτός πού ζητάει τήν προσευχή νά συνεργεῖ καί νά ἀγωνίζεται μαζί του καί μέ πολύ ζῆλο καί πόνο καρδιᾶς νά φυλάγει τόν ἑαυτό του ἀπό πονηρούς λογισμούς καί πράξεις. Γιατί ἐάν ζεῖ μέ ἀδιαφορία, καμιά ὠφέλεια δέν θά ἔχει, κι ἄν ἀκόμη ἅγιοι εὔχονται γι' αὐτόν. Ἡ Γραφή λέει: Ἄν σέ μιά οἰκοδομή ὁ ἕνας χτίζει καί ὁ ἄλλος γκρεμίζει, ποιό τό ὄφελός τους, παρά μόνο οἱ κόποι[144];

Θά σᾶς ἀναφέρω καί ἕνα γεγονός πού συνέβη στά χρόνια μας, τό ἑξῆς: Ἦταν ἕνας ἀββᾶς ἅγιος, πνευματικός πατέρας κοινοβίου, στολισμένος μέ ὅλες τίς ἀρετές καί ἰδιαίτερα μέ ταπεινοφροσύνη καί καλοσύνη· ἦταν καί ἐλεήμων καί σπλαχνικός καί στήν ἀγάπη ξεπερνοῦσε πολλούς. Αὐτός λοιπόν παρακαλοῦσε τόν Θεό καί ἔλεγε: «Κύριε, γνωρίζω ὅτι εἶμαι ἁμαρτωλός· ἀλλά ἐλπίζω στήν εὐσπλαχνία σου καί στό

σου. Δέομαι οὖν τῆς ἀγαθότητός σου, Δέσποτα, μὴ χωρισθῆναί με τῆς συνοδίας μου μήτε ἐν τῷ μέλλοντι αἰῶνι, ἀλλὰ μετ' ἐμοῦ κἀκείνους ἀξίωσον τῆς Βασιλείας σου διὰ τὴν ἀγαθότητά σου. Ἀεὶ οὖν καὶ συνεχῶς ταύτην τὴν εὐχὴν ποιούμενος, ὁ φιλάνθρωπος Θεὸς ἐπληροφόρησεν αὐτὸν τρόπῳ τοιούτῳ. Ἔμελλεν ἐπιτελεῖσθαι μνήμη ἁγίων ἐν ἑτέρῳ μοναστηρίῳ ἀπέχοντι οὐ πολὺ ἀπ' αὐτῶν· καὶ παραιτουμένου αὐτοῦ ἀπελθεῖν ἀκούει καθ' ὕπνους ὅτι· Ἄπελθε· προαπόστειλον δὲ τοὺς μαθητάς σου. Καὶ μετὰ τοῦτο μόνος ἀπελεύσῃ.

Ὁ οὖν δι' ἡμᾶς πτωχεύσας Χριστὸς καὶ πᾶσι πάντα γενόμενος, ἵνα τοὺς πάντας σώσῃ, πτωχοῦ σχῆμα ἀναλαβὼν ἀσθενοῦς κατὰ μέσον ἔκειτο τῆς ὁδοῦ. Ἐλθόντες δὲ οἱ μαθηταὶ καὶ εὑρόντες αὐτὸν ὀδυρόμενον ἠρώτησαν τὴν αἰτίαν. Ὁ δέ φησιν· Ἀσθενής εἰμι καὶ ἐκαθεζόμην ζῴῳ καὶ ῥίψαν με ἔφυγε· καὶ ἰδού, οὐκ ἔχω τὸν ἀντιλαμβανόμενόν μου. Καὶ αὐτοὶ εἶπον πρὸς αὐτόν· Τί σοι ἔχομεν ποιῆσαι, ἀββᾶ; Ἡμεῖς πεζοί ἐσμεν. Καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. Μετὰ μικρὸν ἔρχεται ὁ ἀββᾶς αὐτῶν καὶ εὑρίσκει αὐτὸν κείμενον καὶ στένοντα· καὶ μαθὼν τὴν αἰτίαν λέγει αὐτῷ· Οὐκ ἦλθόν τινες μοναχοὶ πρὸ μικροῦ καὶ εὗρόν σε οὕτως; Ὁ δέ· Ναί, φησίν· ἀλλὰ μαθόντες τὴν αἰτίαν ἀπῆλθον εἰπόντες· Ἡμεῖς πεζοί ἐσμεν, τί ἔχομέν σοι ποιῆσαι;

Λέγει αὐτῷ ὁ ἀββᾶς· Δύνασαι μικρὸν περιπατῆσαι καὶ ὑπάγομεν; Ὁ δὲ λέγει· Οὐ δύναμαι. Καὶ λέγει αὐτῷ· Δεῦρο οὖν βαστάσω σε καὶ βοηθεῖ ὁ Θεὸς καὶ ἀπερχόμεθα. Ὁ δέ φησι· Πῶς δύνασαι τοσοῦτον διάστημα; Ἀλλ' ὕπαγε, εὖξαι ὑπὲρ ἐμοῦ. Ὁ δὲ λέγει· Οὐ μή σε ἀφήσω· ἰδοὺ ἡ πέτρα· τίθημί σε καὶ ὑπεισέρχομαι καὶ βαστάζω σε· καὶ ἐποίησεν οὕτω. Καὶ τὸ μὲν

145. Πρβλ. Β' Κορ. 8, 9 καὶ Λουκ. 10, 30-37.

ἔλεός σου νά σωθῶ. Παρακαλῶ λοιπόν τήν ἀγαθότητά σου, Δέσποτα, νά μή χωρισθῶ ἀπό τή συνοδία μου οὔτε στή μέλλουσα ζωή. Ἀλλά μαζί μ' ἐμένα καί ἐκείνους ἀξίωσέ τους τῆς Βασιλείας σου χάρις στήν ἀγαθότητά σου». Καθώς λοιπόν ὅλο τόν καιρό καί ἀδιάκοπα ἔκανε αὐτή τήν προσευχή, ὁ φιλάνθρωπος Θεός τόν πληροφόρησε μέ τόν ἑξῆς τρόπο: Ἐπρόκειτο σ' ἕνα ἄλλο μοναστήρι, πού δέν ἀπεῖχε πολύ ἀπ' αὐτούς, νά γιορτασθεῖ ἡ μνήμη ἁγίων. Αὐτός ἐνῶ ἀποφάσισε νά μήν πάει, ἀκούει στόν ὕπνο του μιά φωνή: «Νά πᾶς. Στεῖλε πιό μπροστά τούς μαθητές σου καί μετά νά πᾶς ἐσύ μόνος».

Ὁ Χριστός λοιπόν πού πτώχευσε γιά χάρη μας καί ἔγινε στόν καθένα τό πᾶν γιά νά τούς σώσει ὅλους[145], πῆρε τό σχῆμα φτωχοῦ καί ἀρρώστου καί ξάπλωσε καταμεσίς τοῦ δρόμου. Ὅταν ἔφθασαν ἐκεῖ οἱ μαθητές καί τόν βρῆκαν νά ὀδύρεται, ρώτησαν τόν λόγο. Κι ἐκεῖνος εἶπε: «Ἄρρωστος εἶμαι· καβαλίκευα σ' ἕνα ζῶο ἀλλά μέ ἔριξε καί ἔφυγε. Καί νά, δέν ἔχω κανένα νά μέ φροντίσει». Οἱ μοναχοί τοῦ εἶπαν: «Τί μποροῦμε νά σοῦ κάνουμε, γέροντα; Ἐμεῖς πεζοί εἴμαστε». Τόν ἄφησαν λοιπόν κι ἔφυγαν. Μετά ἀπό λίγο ἔφθασε ὁ ἀββᾶς τους ἐκεῖ καί τόν βρίσκει ξαπλωμένο νά στενάζει. Σάν ἔμαθε τήν αἰτία, τόν ρωτᾶ: «Δέν ἦρθαν πρίν ἀπό λίγο κάποιοι μοναχοί καί δέν σέ εἶδαν σ' αὐτή τήν κατάσταση;» «Ναί —εἶπε ὁ ἀσθενής— ἀλλά ὅταν ἔμαθαν τόν λόγο, εἶπαν: πεζοί εἴμαστε ἐμεῖς, τί μποροῦμε νά σοῦ κάνουμε, καί ἔφυγαν».

«Μπορεῖς —τοῦ λέει τότε ὁ ἀββᾶς— λίγο λίγο νά περπατήσεις καί νά πᾶμε;» «Δέν μπορῶ» ἀπαντᾶ. «Ἔλα λοιπόν —τοῦ λέει τότε— θά σέ κουβαλήσω ἐγώ· θά βοηθήσει ὁ Θεός καί θά πᾶμε». Ἐκεῖνος ἐπιμένει: «Πῶς μπορεῖς τόσο μεγάλη ἀπόσταση; Πήγαινε καί προσευχήσου γιά μένα». Ὁ ἀββᾶς ὅμως λέει: «Δέν θά σ' ἀφήσω· νά ὁ βράχος· θά σέ βάλω ἐκεῖ, θά χαμηλώσω μπροστά σου καί θά σέ πάρω στούς ὤμους μου» καί ἔτσι ἔγινε. Στήν ἀρχή ὁ ἀββᾶς αἰσθανόταν ὅτι ἔχει

πρῶτον ᾔσθετο ὡς ἀνθρώπου ἔχοντα βάρος· εἶτα κουφότερος καὶ ἐλαφρότερος ἐγίνετο· εἶτα πάνυ κούφου γενομένου, διηπόρει τὸ πρᾶγμα· ἄφνω δὲ ἀφανὴς ἐγένετο ὁ βασταζόμενος.

Καὶ —φησί— πρὸς τὸν ἀββᾶν Ἐκεῖνος διὰ φωνῆς εἶπεν· Ἐπειδὴ ἀεὶ παρεκάλεις ὑπὲρ τῶν μαθητῶν σου, ὥστε σὺν σοὶ ἀξιωθῆναι τῆς Βασιλείας τῶν Οὐρανῶν, ἰδού, ἄλλα μέτρα τὰ σὰ καὶ ἄλλα τὰ ἐκείνων· πεῖσον οὖν αὐτοὺς ἐλθεῖν εἰς τὴν ἐργασίαν σου καὶ λήψῃ τὴν αἴτησιν· δικαιοκρίτης γάρ εἰμι ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

250. Ἦν ποτε ἀναχωρητὴς πάνυ διακριτικὸς καὶ ἤθελε μένειν εἰς τὰ Κελλία καὶ οὐχ εὕρισκε τὸ παρὸν κελλίον. Ἦν δὲ ἐκεῖ Γέρων ἔχων κατὰ μόνας κελλίον παρὰ μέρος. Καὶ παρεκάλεσεν αὐτὸν ὁ Γέρων λέγων· Δεῦρο, κάθου ἐκεῖ, ἕως οὗ εὑρεθῇ κελλίον. Καὶ ἀπῆλθεν. Ἤρχοντο δέ τινες πρὸς αὐτὸν ὡς πρὸς ξένον φέροντες τὸ κατευοδούμενον, ἵνα ὠφεληθῶσι· καὶ αὐτὸς ἐφιλοξένει αὐτούς.

Ἤρξατο οὖν ὁ Γέρων ὁ δοὺς αὐτῷ τὸ κελλίον φθονεῖν καὶ κακολογεῖν αὐτὸν καὶ λέγειν· Ἐγὼ πόσα ἔτη ἔχω ὧδε ἐν ἀσκήσει πολλῇ, καὶ οὐδεὶς ἔρχεται πρός με· καὶ οὗτος ὁ ἐπιθέτης ὀλίγας ἡμέρας ἔχει καὶ πόσοι ἔρχονται πρὸς αὐτόν; Καὶ λέγει τῷ μαθητῇ αὐτοῦ· Ὕπαγε καὶ εἰπὲ αὐτῷ· Ἀναχώρησον ἔνθεν, ὅτι χρείαν ἔχω τοῦ κελλίου. Καὶ ἐλθὼν ὁ μαθητὴς εἶπεν αὐτῷ· Λέγει ὁ ἀββᾶς μου, πῶς ἔχεις; Ὁ δὲ ἔφη· Εὔξηται ὑπὲρ ἐμοῦ, ὅτι βεβάρηται ὁ στόμαχός μου. Καὶ ἐλθὼν ὁ ἀδελφὸς λέγει τῷ Γέροντι· Εἶπεν ὅτι· Βλέπω κελλίον καὶ ὑπάγω. Καὶ πάλιν μετὰ δύο ἡμέρας λέγει αὐτῷ· Ὕπαγε, εἰπὲ αὐτῷ ὅτι· Ἐὰν μὴ ἀναχω-

βάρος ὅσο ἑνός ἀνθρώπου. Ἔπειτα ὅλο καί πιό ἐλαφρύς γινόταν· κατόπιν ὅταν ἐλάφραινε πάρα πολύ, ἄρχισε νά ἀπορεῖ τί συμβαίνει· καί ξαφνικά ἔγινε ἄφαντος ὁ ἄνθρωπος πού εἶχε στίς πλάτες του.

Καί —συνεχίζει ὁ Γέροντας— ἀκούσθηκε πάλι ἡ φωνή Ἐκείνου νά λέει στόν ἀββᾶ: «Ἐπειδή πάντοτε παρακαλοῦσες γιά τούς μαθητές σου νά ἀξιωθοῦν μαζί μ' ἐσένα τή Βασιλεία τῶν Οὐρανῶν, νά, λοιπόν, ἄλλα μέτρα τά δικά σου καί ἄλλα ἐκείνων. Νά τούς πείσεις νά φθάσουν στή δική σου πνευματική ἐργασία καί θά πάρεις αὐτό πού ζητᾶς. Γιατί κρίνω δίκαια καί ἀμείβω τόν καθένα σύμφωνα μέ τά ἔργα του».

250. Ζοῦσε κάποτε ἕνας ἀναχωρητής πολύ διακριτικός καί ἤθελε νά μένει στά Κελλία, ἀλλά δέν εὕρισκε πρός τό παρόν κελί. Ἐκεῖ κοντά ἦταν ἕνας Γέροντας πού εἶχε παράμερα ἕνα μοναχικό κελί· καί παρεκάλεσε τόν ἀναχωρητή ὁ Γέροντας: «Πήγαινε —τοῦ εἶπε— καί μεῖνε ἐκεῖ, ἕως ὅτου βρεθεῖ κελί». Καί πῆγε. Ἄρχισαν τότε νά τόν ἐπισκέπτονται κάποιοι, καθώς ἦταν ξένος στόν τόπο αὐτό, φέρνοντας στόν Γέροντα ὅ,τι τούς βρίσκονταν, γιά νά ὠφεληθοῦν κι αὐτοί πνευματικά. Καί αὐτός τούς φιλοξενοῦσε.

Ὁ Γέροντας λοιπόν πού τοῦ 'δωσε τό κελί ἄρχισε νά τόν φθονεῖ καί νά τόν κακολογεῖ λέγοντας: «Ἐγώ πόσα χρόνια ἔχω ἐδῶ μέ τόση ἄσκηση καί κανένας δέν ἔρχεται σέ μένα. Καί αὐτός ὁ ἀπατεώνας λίγες μέρες ἔχει ἐδῶ καί πόσοι ἦρθαν». Γυρνάει καί λέει στόν μαθητή του: «Πήγαινε καί πές του νά φύγει, γιατί χρειάζομαι τό κελί». Ὁ μαθητής του πῆγε καί τοῦ εἶπε: «Ρωτάει ὁ ἀββᾶς μου πῶς εἶσαι;» Κι ἐκεῖνος εἶπε: «Ἄς προσευχηθεῖ γιά μένα, γιατί τό στομάχι μου δέν εἶναι καλά». Πάει ὁ ἀδελφός καί λέει στόν Γέροντα: «Εἶπε, θά ψάξω γιά κελί καί θά φύγω». Μετά δυό μέρες τοῦ ξαναλέει: «Πήγαινε καί πές του: Ἐάν δέν φύγεις, θά ρθῶ μέ τή ράβδο

ρήσῃς, ἐγὼ ἔρχομαι μετὰ ῥάβδου καὶ ἐκβαλῶ σε. Καὶ ἀπελθὼν ὁ ἀδελφὸς λέγει αὐτῷ· Ἤκουσεν ὁ ἀββᾶς μου ὅτι ἀσθενεῖς καὶ πάνυ λυπεῖται· καὶ ἀπέστειλέ με ἐπισκέψασθαί σε. Λέγει αὐτῷ ἐκεῖνος· Εἰπὲ αὐτῷ ὅτι διὰ τῶν εὐχῶν σου καλῶς ἔσχον. Ἔρχεται οὖν καὶ λέγει τῷ Γέροντι ὅτι εἶπεν· Ἕως τῆς Κυριακῆς ἐκβαίνω θελήματι τοῦ Θεοῦ.

Ὡς ἦλθεν ἡ Κυριακὴ καὶ οὐκ ἐξῆλθε, λαβὼν ῥάβδον ἀπῆλθε δεῖραι αὐτὸν καὶ διῶξαι. Λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Προλαμβάνω ἐγώ, μήπως εὑρεθῶσιν ἐκεῖ τινες καὶ σκανδαλισθῶσι· καὶ προλαβὼν λέγει τῷ Γέροντι· Ὁ ἀββᾶς μου ἔρχεται παρακαλέσαι σε καὶ λαβεῖν εἰς τὸ κελλίον. Ὡς οὖν ἤκουσε τὴν ἀγάπην τοῦ Γέροντος, ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ βάλλων μετάνοιαν ἀπὸ μακρόθεν καὶ λέγων· Ἔρχομαι πρὸς τὴν ἁγιωσύνην σου καὶ μὴ σκύλου, πάτερ.

Ἰδὼν δὲ ὁ Θεὸς τὴν ἐργασίαν τοῦ νεωτέρου κατήνυξε τὸν ἀββᾶν αὐτοῦ· καὶ ῥίψας τὴν ῥάβδον ἔτρεχεν εἰς τὸν ἀσπασμὸν αὐτοῦ· καὶ ἠσπάσατο αὐτὸν καὶ ἀπήγαγεν εἰς τὸ κελλίον ὡς μηδὲν ἀκούσαντα. Λέγει οὖν ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Οὐδὲν αὐτῷ εἶπες ὧν εἶπόν σοι; Λέγει· Οὐχί. Πάνυ οὖν ἐχάρη ὁ Γέρων· καὶ ἔγνω ὅτι τοῦ ἐχθροῦ ἦν ὁ φθόνος καὶ ἀνέπαυσε τὸν Γέροντα. Καὶ προσπίπτων τῷ μαθητῇ αὐτοῦ λέγει· Σύ μου πατὴρ κἀγώ σου μαθητής, ὅτι διὰ τὴν ἐργασίαν σου τῶν δύο αἱ ψυχαὶ ἐσώθησαν.

251. Ἔλεγον περί τινος ἁγίου ὅτι ὡμολόγησεν ἐν τῷ διωγμῷ καὶ πολλὰ ἐβασανίσθη, ὥστε καὶ καθίσαι αὐτὸν εἰς θρόνον χαλκοῦν πεπυρωμένον. Καὶ ἐν τῷ μεταξὺ ἐγένετο ὁ μακάριος Κωνσταντῖνος βασιλεὺς καὶ ἀπελύθησαν οἱ χριστιανοί. Καὶ θεραπευθεὶς ὁ ἅγιος οὗτος ὑπέστρεψεν εἰς τὸ

καί θά σέ βγάλω ἔξω». Πάει ὁ ἀδελφός καί τοῦ λέει: «Ἄκουσε ὁ ἀββᾶς μου ὅτι εἶσαι ἄρρωστος καί πολύ λυπήθηκε· γι' αὐτό μ' ἔστειλε νά σέ ἐπισκεφθῶ». «Πές του —ἀποκρίθηκε ἐκεῖνος— ὅτι μέ τίς εὐχές του ἔγινα καλά». Γυρίζει λοιπόν καί λέει στόν Γέροντα: «Εἶπε: ὥς τήν Κυριακή, ἄν θέλει ὁ Θεός, θά βγῶ».

Σάν ἔφθασε ἡ Κυριακή καί δέν ἔφυγε ἀπ' τό κελί, πῆρε τό ραβδί (ὁ Γέροντας) καί πῆγε νά τόν χτυπήσει καί νά τόν διώξει. «Νά προλάβω ἐγώ —τοῦ εἶπε ὁ μαθητής του— μήπως βρεθοῦν ἐκεῖ κάποιοι καί σκανδαλισθοῦν». Πράγματι πρόλαβε καί λέγει στόν Γέροντα: «Ἔρχεται ὁ ἀββᾶς μου νά σέ παρακαλέσει καί νά σέ πάρει στό κελί του». Ἀκούγοντας ἐκεῖνος γιά τήν ἀγάπη αὐτή τοῦ Γέροντα, βγῆκε νά τόν προϋπαντήσει καί ἔβαλε μετάνοια ἀπό μακριά λέγοντας: «Ἔρχομαι πρός τήν ἁγιοσύνη σου καί μήν κοπιάζεις ἐσύ, πάτερ».

Καί ὁ Θεός βλέποντας τήν ἐργασία τοῦ νεαροῦ ἀδελφοῦ, κατένυξε τόν ἀββᾶ του καί ρίχνοντας τό ραβδί ἔτρεξε νά προλάβει. Τόν ἀσπάσθηκε καί τόν πῆρε στό κελί του σάν νά μήν εἶχε ἀκούσει τίποτε. Ρωτάει κατόπιν ὁ Γέροντας στόν μαθητή του: «Δέν τοῦ εἶπες τίποτε ἀπ' ὅσα σοῦ εἶπα;» «Ὄχι» ἀπάντησε. Χάρηκε πάρα πολύ ὁ Γέροντας καί κατάλαβε ὅτι ὁ φθόνος ἦταν ὑποβολή τοῦ ἐχθροῦ καί φρόντισε γιά τόν Γέροντα ἔτσι ὥστε νά τόν ἀναπαύσει. Ἔπεσε κατόπιν στά πόδια τοῦ μαθητῆ του καί εἶπε: «Ἐσύ εἶσαι πατέρας μου καί ἐγώ μαθητής σου· γιατί χάρις στήν ἐργασία σου καί τῶν δυό οἱ ψυχές σώθηκαν».

251. Ἔλεγαν γιά κάποιον ἅγιο ὅτι ὁμολόγησε τήν πίστη του σέ διωγμό καί ὑπέστη πολλά βασανιστήρια, μέχρι καί σέ πυρακτωμένο χάλκινο θρόνο τόν ἐκάθισαν. Στό μεταξύ ἔγινε βασιλιάς ὁ μακαριστός Κωνσταντίνος, ἐλευθερώθηκαν οἱ χριστιανοί καί ὁ ἅγιος αὐτός θεραπεύθηκε καί γύρισε στό

κελλίον αὐτοῦ· καὶ ὡς εἶδε τοῦτο μακρόθεν, εἶπεν· Οἴμοι, ὅτι εἰς πολλοὺς κόπους πάλιν ἔρχομαι. Τοῦτο δὲ εἶπε διὰ τοὺς ἀγῶνας καὶ τὰς πρὸς τοὺς δαίμονας πάλας.

252. Εἶπε Γέρων· Ἐὰν ἴδῃς τινὰ ἐμπεσόντα εἰς ὕδωρ καὶ δύνασαι αὐτῷ βοηθῆσαι, χάλασον αὐτῷ τὴν ῥάβδον καὶ ἕλκυσον αὐτόν· ἐὰν δὲ μὴ δυνηθῇς ἑλκύσαι αὐτόν, κατάλιπε αὐτῷ τὴν ῥάβδον σου. Ἐὰν δὲ αὐτῷ δώσῃς τὴν χεῖρά σου καὶ μὴ δυνηθῇς ἑλκύσαι αὐτόν, ἕλκει σε αὐτὸς κάτω καὶ ἀμφότεροι ἀποθανεῖσθε. Τοῦτο δὲ εἶπε πρὸς τοὺς ἐμβάλλοντας ἑαυτοὺς εἰς πειρασμοὺς βοηθῆσαί τινι ὑπὲρ τὸ μέτρον αὐτῶν.

253. Ἀδελφὸς διὰ χρόνου παρέβαλε Γέροντι. Καί φησι πρὸς αὐτὸν ὁ Γέρων· Ποῦ ὑπῆρχες, τέκνον, τοσοῦτον χρόνον; Ὁ δὲ λέγει· Ἐν Κωνσταντινουπόλει, πάτερ, διά τινα χρείαν ἀναγκαίαν μοι. Εἶπεν οὖν αὐτῷ ὁ Γέρων· Καὶ τί σπουδαῖον ἀκήκοας ἢ ἐθεάσω ἐκεῖ; Λέγει ὁ ἀδελφός· Σπουδαῖον μὲν σχεδὸν οὐδέν· εἰ γὰρ καὶ κομπάζω, ἀλλ' οὖν γήινα τὰ πολλὰ κατενόησα· ἓν δέ με κατέπληξεν· εἶδον γὰρ κοσμικὸν πλεῖον ὡς ἔστιν εἰπεῖν τῶν ἐν ἐρήμῳ διαγόντων περιφρονοῦντα χρημάτων. Λέγει ὁ Γέρων· Πῶς; Σαφήνισόν μοι τὸν λόγον.

Ἀπεκρίθη ὁ ἀδελφός· Δύο τινὰς πλουσίους ἑώρακα· καὶ ὁ εἷς τῷ ἑτέρῳ ἐνεκάλει λέγων ἐποφείλεσθαι παρ' αὐτοῦ δισχίλια νομίσματα καὶ προέφερε τὴν ὁμολογίαν τοῦ πατρὸς αὐτοῦ. Ὁ δὲ ἔλεγε τὸ μὲν χρέος ἀποδεδόσθαι παρὰ τοῦ αὐτοῦ πατρός, τὴν δὲ ὁμολογίαν ἐναπομεῖναι κατὰ γνησιότητα φιλίας.

146. Τό ἀπόφθ. αὐτό ἀναφέρεται καί στόν Β' τόμο τοῦ *Μ. Γεροντικοῦ* σελ. 408 (ἀπόφθ. Ζ 95).

κελί του. Καί μόλις τό ἀντίκρυσε ἀπό μακριά, εἶπε: «Ἀλί μου, σέ πολλούς κόπους πάλι ἐπιστρέφω». Καί αὐτό τό εἶπε γιά τούς ἀγῶνες καί τούς κόπους τῆς πάλης ἐναντίον τῶν δαιμόνων[146].

252. Εἶπε Γέροντας: «Ἂν δεῖς κάποιον πού ἔπεσε σέ νερό καί μπορεῖς νά τόν βοηθήσεις, ἅπλωσέ του τό ραβδί καί τράβηξέ τον. Ἂν ὅμως δέν μπορέσεις νά τόν σύρεις, ἄφησέ του τό ραβδί σου. Καί ἐάν τοῦ δώσεις τό χέρι σου καί δέν μπορέσεις νά τόν σύρεις πρός τό μέρος σου, θά σέ τραβήξει αὐτός πρός τά κάτω καί θά πεθάνετε καί οἱ δυό». Καί αὐτό τό εἶπε γι' αὐτούς πού ἐκθέτουν τόν ἑαυτό τους στόν πειρασμό νά βοηθήσουν κάποιον παραπάνω ἀπό τίς δυνάμεις τους.

253. Ἕνας ἀδελφός μετά ἀπό πολύ καιρό ἐπισκέφθηκε Γέροντα. Καί τοῦ εἶπε ὁ Γέροντας: «Ποῦ ἤσουν, παιδί μου, τόσον καιρό;» «Στήν Κωνσταντινούπολη, πάτερ —εἶπε— γιά κάποια ἀναπόφευκτη ἀνάγκη». «Καί τί σπουδαῖο ἄκουσες ἤ εἶδες ἐκεῖ;» ρώτησε ὁ Γέροντας. «Σχεδόν τίποτε τό σπουδαῖο —ἀπαντᾶ ὁ ἀδελφός·— ἄν καί καυχιέμαι γιά ὅσα εἶδα, κατάλαβα καλά ὅτι εἶναι προσωρινά ὡς ἐπί τό πλεῖστον. Ἕνα μόνο μέ κατέπληξε· εἶδα κοσμικόν ἄνθρωπο νά περιφρονεῖ τά χρήματα μπορῶ νά πῶ περισσότερο ἀπ' αὐτούς πού ζοῦν στήν ἔρημο». «Πῶς; —ρωτάει ὁ Γέροντας— ἐξήγησέ μου αὐτό πού λές».

«Εἶδα δυό πλουσίους —ἀποκρίθηκε ὁ ἀδελφός— καί ὁ ἕνας κατηγοροῦσε τόν ἄλλον ὅτι ἔχει νά παίρνει ἀπ' αὐτόν δυό χιλιάδες νομίσματα. Καί παρουσίαζε τήν ἰδιόχειρη ἀπόδειξη τοῦ πατέρα του. Ὁ ἄλλος πάλι ἔλεγε ὅτι τό χρέος ἐξοφλήθηκε ἀπό τόν πατέρα του, ἀλλά τό συμφωνητικό δέν ζητήθηκε νά διαγραφεῖ λόγω ἐμπιστοσύνης στήν ἀληθινή φιλία.

Καὶ ὡς οὐκ ἔπειθον ἀλλήλους, ἔληξεν εἰς ὅρκον τὸ πρᾶγμα. Ἔλεγεν οὖν ὁ δῆθεν χρεωστῶν· Ἐὰν ὀμόσω ὅτι κατεβλήθη παρὰ τοῦ πατρός μου τὸ χρέος, ἔχω νομισθῆναι ὡς αἰσχροκερδής· ἀλλὰ μᾶλλον οὕτω γενέσθω· ἢ ὀμνύω ὅτι ἀπεδόθη σοι τὸ χρέος τῶν δισχιλίων νομισμάτων καὶ δίδωμί σοι αὐτὰ ἐκ δευτέρου, ἢ ὄμοσον σὺ ὅτι κεχρεώστησαι αὐτὰ καὶ μηδὲν λάβῃς παρ᾽ ἐμοῦ, ἀλλὰ ἀπόδος μοι τὴν ὁμολογίαν. Ἐθαύμασαν πάντες οἱ ἀκούσαντες τὴν τοσαύτην σύνεσιν τοῦ ἀνδρός.

Λέγει οὖν ὁ Γέρων· Καὶ σὺ νέος ὤν, τέκνον, εἰκότως ἐθαύμασας. Ἐὰν γὰρ ἐπισκέψῃ τὸ βάθος τοῦ πράγματος, εὑρήσεις μηδὲν ὂν μέγα ἀλλὰ μόνης κενοδοξίας καὶ ἀνθρωπαρεσκείας ὑπερβολήν.

Λέγει ὁ ἀδελφός· Πῶς, πάτερ, εἴ γε περιεφρόνησε τῶν τοσούτων χρημάτων τῆς ἰδίας ὑπολήψεως ἕνεκεν; Λέγει ὁ Γέρων· Ὁ καταφρονῶν χρημάτων ὀφείλει καὶ τῆς σωτηρίας τοῦ πλησίον προνοεῖν κατὰ τὸ δυνατόν· τοῦ γὰρ Κυρίου καὶ Θεοῦ ἡμῶν ἡ ἐντολὴ τὰ ἀμφότερα κελεύει. Εἰ οὖν ᾔδει ἀκριβῶς ὅτι κατεβάλετο ὁ πατὴρ αὐτοῦ τὸ χρέος καὶ προέτεινεν, ἵνα ὀμόσῃ καὶ πάλιν ἐκ δευτέρου αὐτὸ καταβάλῃ, τί ἕτερον ἔπραττεν ἢ ὅτι παρεδειγμάτιζε τὸν ἀδελφὸν αὐτοῦ καὶ Θεῷ καὶ ἀνθρώποις ὡς ἄδικον καὶ αἰσχροκερδῆ προέφαινε, ἑαυτὸν δὲ ἀνεκήρυττε καὶ πλουσιώτατον καὶ ἀφιλοχρήματον· ὅπερ οὐκ ἔστι τοσοῦτον ἀκτημοσύνης ἀρετὴ ὅσον κενοδοξίας, ἢ τό γε ἀληθέστερον εἰπεῖν, φθόνου καὶ ὀργῆς ὑποτύπωσις.

Λέγει οὖν ὁ ἀδελφός· Τί οὖν ἔδει αὐτὸν ποιῆσαι, ἐπενεχθέντος αὐτῷ τοῦ ὅρκου παρὰ τοῦ λέγοντος κεχρεωστῆσθαι; Ἀπεκρίθη ὁ Γέρων· Εἰ ἦν τέλειος, οὔτε ὀμόσαι ὤφειλεν οὔτε

Καί ἐπειδή δέν ἔπειθε ὁ ἕνας τόν ἄλλο, κατέληξε ἡ ὑπόθεση σέ ὅρκο. Εἶπε τότε ὁ δῆθεν χρεώστης: Ἐάν ὁρκιστῶ ὅτι δόθηκε ἀπό τόν πατέρα μου τό χρέος, μπορεῖ νά θεωρηθῶ ὡς αἰσχροκερδής. Προτιμότερο νά γίνει ἔτσι: Ἤ θά ὁρκισθῶ ὅτι σοῦ ἐπεστράφη τό χρέος τῶν δυό χιλιάδων νομισμάτων καί σοῦ τά δίνω αὐτά γιά δεύτερη φορά, ἤ ὁρκίσου ἐσύ ὅτι ἔχουν ἐξοφληθεῖ αὐτά καί τίποτε δέν ἔχεις νά παίρνεις ἀπό μέρους μου, ἀλλά δός μου πίσω τό ἔγγραφο τῆς συμφωνίας. Θαύμασαν ὅλοι ὅσοι ἄκουσαν τήν τόσο μεγάλη σύνεση τοῦ ἀνθρώπου».

Ὁ Γέροντας πῆρε τότε τόν λόγο καί εἶπε: «Κι ἐσύ, παιδί μου, ἐπειδή εἶσαι νέος, ἦταν φυσικό πού θαύμασες. Ἀλλά ἄν ἐξετάσεις σέ βάθος τήν ὑπόθεση, θά διαπιστώσεις ὅτι τίποτε τό σπουδαῖο δέν ὑπάρχει, παρά μόνο ἡ κενοδοξία καί ἡ ἀνθρωπαρέσκεια σέ μεγάλο βαθμό».

«Πῶς, πάτερ, συμβαίνει αὐτό; —ρωτάει ὁ ἀδελφός— ἐφόσον περιφρόνησε τόσα πολλά χρήματα χάριν τῆς ὑπολήψεώς του;» Καί ὁ Γέροντας ἀποκρίνεται: «Αὐτός πού καταφρονεῖ τά χρήματα, ὀφείλει νά προνοεῖ καί γιά τή σωτηρία τοῦ πλησίον, ὅσο εἶναι δυνατόν· γιατί ἡ ἐντολή τοῦ Κυρίου καί Θεοῦ μας μιλάει καί γιά τά δυό. Ἐάν λοιπόν σίγουρα γνώριζε ὅτι ὁ πατέρας του πλήρωσε τό χρέος, καί πρότεινε νά ὁρκισθεῖ καί νά καταβάλει τό ποσό γιά δεύτερη φορά, τί ἄλλο ἔκανε παρά ὅτι ἐξέθετε τόν ἀδελφό του σέ Θεό καί ἀνθρώπους ὡς ἄδικο καί τόν παρουσίαζε ὡς αἰσχροκερδή, ἐνῶ τόν ἑαυτό του ἀνακήρυσσε καί πολύ πλούσιο καί ἀφιλοχρήματο. Καί αὐτό βέβαια δέν συνιστᾶ ἀρετή ἀκτημοσύνης τόσο, ὅσο κενοδοξίας. Ἤ γιά νά ποῦμε καθαρότερα τήν ἀλήθεια εἶναι ἀπόδειξη φθόνου καί ὀργῆς».

«Καί τί ἔπρεπε νά κάνει —λέει ὁ ἀδελφός— ἐφόσον ὁ ὅρκος ἐπεβλήθηκε ἀπ᾽ αὐτόν πού ἔλεγε ὅτι τοῦ χρωστοῦν;» «Ἐάν ἦταν τέλειος —ἀποκρίθηκε ὁ Γέροντας— οὔτε ὄφει-

ἀντεπενέγκαι ὅρκον, μάλιστα καὶ πλούσιος ὢν καὶ εἰδὼς ἀκριβῶς ὅτι κατεβλήθη τὸ χρέος. Λέγει ὁ ἀδελφός· Οὐκ οὖν ἀνάγκη δοῦναι αὐτὸν τὰ νομίσματα; Λέγει ὁ πατήρ· Καὶ πόσῳ κάλλιον ἦν ζημιωθῆναι αὐτὸν διὰ τὸ ἐκφυγεῖν ὅρκον καὶ κερδῆσαι ἀγάπην καὶ τὴν ἀμοιβὴν παρὰ Θεοῦ προσδοκᾶν ἤπερ διὰ κενοδοξίαν καὶ τὸ δεῖξαι τοῖς ἀνθρώποις ὅτι ἄδικός ἐστιν ὁ ἐνάγων αὐτὸν εἰς τὸν ὅρκον· τοῦτο γὰρ φθόνου ἐστὶ καὶ μισαλληλίας. Ὥστε οὖν πρόσεχε, τέκνον, ὡς ἐκεῖνα μόνα ἐστὶν εὐαπόδεκτα παρὰ τῷ Θεῷ, τὰ καλῷ σκοπῷ γινόμενα καὶ θεοφιλεῖ λογισμῷ. Καὶ ὠφεληθεὶς ὁ ἀδελφὸς ἀνεχώρησεν.

254. Εἶπε Γέρων· Ὁ ἐπαινῶν μοναχὸν παραδίδωσιν αὐτὸν τῷ Σατανᾷ.

255. Εἶπε πάλιν· Πάντα ὅσα λογίζεται ἄνθρωπος ἀπὸ τοῦ οὐρανοῦ καὶ κάτω, μάτην λογίζεται· ὁ δὲ προσκαρτερῶν ἐν τῇ μνήμῃ τοῦ Ἰησοῦ οὗτος ἐν τῇ ἀληθείᾳ ἐστί.

256. Μοναχοῦ κατοικοῦντος ἐν Σκήτει διαβληθεὶς ὁ υἱὸς αὐτοῦ εἰς τὸν ἄρχοντα κατεσχέθη. Ἐδηλώθη οὖν αὐτῷ ὑπὸ τῆς μητρὸς τοῦ παιδίου ὅτι· Γράψον τῷ ἄρχοντι, ἵνα ἀπολυθῇ. Λέγει οὖν ὁ μοναχός· Καὶ ἐὰν οὗτος ἀπολυθῇ, οὐ κρατεῖ τὸν ἀντ' αὐτοῦ; Λέγει ὁ ἀποσταλείς· Ναί. Καὶ τί μοι, ἔφη, τὸ ὄφελος, ἐὰν ἀπολύσας αὐτὸν βάλῃ χαρὰν εἰς τὴν καρδίαν τῆς μητρὸς αὐτοῦ καὶ λαβὼν τὴν λύπην αὐτῆς εἰς ἄλλης καρδίαν γυναικὸς ἐπενέγκῃ;

λε νά ὁρκισθεῖ οὔτε καί νά ζητήσει ἀμοιβαῖο ὅρκο, καί μάλιστα ἀφοῦ ἦταν καί πλούσιος καί σίγουρος ὅτι καταβλήθηκε τό χρέος». «Λοιπόν —ρωτάει ὁ ἀδερφός— δέν θά ἔπρεπε νά τοῦ δώσει τά χρήματα;» Ἀπαντᾶ ὁ Γέροντας: «Πόσο καλύτερο θά ἦταν νά ὑποστεῖ τή ζημία ὁ ἴδιος γιά νά ἀποφύγει τόν ὅρκο καί νά κερδίσει σέ ἀγάπη καί νά ἀναμένει τήν ἀμοιβή ἀπό τόν Θεό, παρά νά κάνει αὐτό πού ἔκανε χάριν τῆς κενοδοξίας καί γιά νά δείξει στούς ἀνθρώπους ὅτι εἶναι ἄδικος ἐκεῖνος πού τόν ὠθεῖ στόν ὅρκο· αὐτό εἶναι ἔνδειξη φθόνου καί μίσους τοῦ ἑνός πρός τόν ἄλλον.

Νά 'χεις λοιπόν ὑπόψιν σου, παιδί μου, ὅτι ὁ Θεός ἀποδέχεται μόνο ὅσα γίνονται μέ καλό σκοπό καί μέ λογισμό σύμφωνο μέ τό θέλημά του». Ἔτσι ὁ ἀδελφός ὠφελήθηκε καί ἀναχώρησε.

254. Εἶπε Γέροντας: «Ἐκεῖνος πού ἐπαινεῖ μοναχό, τόν παραδίνει στόν Σατανᾶ».

255. Εἶπε ἐπίσης: «Ὅλα ὅσα σκέπτεται ὁ ἄνθρωπος γιά πράγματα ἀπό τόν οὐρανό καί κάτω, εἶναι χαμένος κόπος· ἐνῶ ἐκεῖνος πού παραμένει καρτερικά στή μνήμη τοῦ Ἰησοῦ, αὐτός βρίσκεται μέσα στήν ἀλήθεια».

256. Κάποιου μοναχοῦ πού ἔμενε στή Σκήτη κατηγορήθηκε ὁ γιός του στόν ἄρχοντα καί τόν συνέλαβαν. Τοῦ στέλνει ἡ μητέρα τοῦ παιδιοῦ τό μήνυμα: «Γράψε στόν ἄρχοντα γιά νά τόν ἀπολύσει».

Καί ὁ μοναχός λέει: «Ἄν αὐτός ἀπολυθεῖ, δέν θά συλλάβει ἄλλον στή θέση του ὡς ἔνοχο;» «Ναί» ἀπαντᾶ ὁ ἄνθρωπος πού τοῦ ἔφερε τό μήνυμα. «Τότε —λέει— πῶς νά τό θεωρήσω ὄφελος, ἐάν ἀπολύοντας αὐτόν ὁ ἄρχοντας δώσει χαρά στήν καρδιά τῆς μητέρας του καί παίρνοντας τή λύπη ἀπ' αὐτήν τή μεταφέρει στήν καρδιά ἄλλης γυναίκας;»

257. Ὁ αὐτὸς Γέρων ἦν ἐργαζόμενος πολὺ ἐργόχειρον. Καὶ ἠφίει τὸ ἐπαρκοῦν εἰς τὴν χρείαν αὐτοῦ καὶ τὸ ἄλλο ἐδίδου πτωχοῖς.

Λιμοῦ οὖν γενομένου ἔπεμψεν ἡ μήτηρ τὸν υἱὸν αὐτοῦ πρὸς αὐτόν, παρακαλοῦντες αὐτὸν δοῦναι αὐτοῖς μικρὰ ψωμία. Ἀκούσας δὲ ὁ Γέρων λέγει τῷ υἱῷ αὐτοῦ· Εἰσὶ καὶ ἄλλοι ἐν τῷ τόπῳ χρῄζοντες ὡς ὑμεῖς; Λέγει· Ναί, εἰσὶ πολλοί. Καὶ κλείσας τὴν θύραν εἰς τὸ πρόσωπον αὐτοῦ δακρύσας εἶπεν· Ἄπελθε, τέκνον μου· ὁ τὴν φροντίδα ποιῶν ἐκείνων καὶ τὴν ὑμετέραν ποιήσει. Ἠρώτησε δὲ αὐτὸν ἀδελφός· Ἄρτι οὐκ ἔκαμες τῷ λογισμῷ τὸν υἱόν σου οὕτως ἀποστρέψας; Ἔφη ὁ Γέρων ὅτι· Εἰ μὴ εἰς ἕκαστον πρᾶγμα βιάσηται ἄνθρωπος ἑαυτόν, μισθὸν οὐκ ἔχει.

258. Εἶπε Γέρων· Πᾶσα πονηρία μὴ τετελεσμένη, οὐκ ἔστι πονηρία. Καὶ πᾶσα δικαιοσύνη μὴ τελειωθεῖσα, οὐκ ἔστι δικαιοσύνη. Ὅμοιος γάρ ἐστιν ὁ ἄνθρωπος ὁ μὴ ἔχων λογισμοὺς πονηροὺς καὶ ἀγαθοὺς γῇ Σοδόμων καὶ Γομόρρας, ὅτι ἁλμυρά ἐστι καὶ οὔτε καρπὸν ποιεῖ οὔτε βοτάνην. Ἡ δὲ καλὴ γῆ ἐκβάλλει καὶ σῖτον καὶ ζιζάνια.

259. Εἶπε Γέρων ὅτι· Καθεζομένου μού ποτε ἐγγὺς ἑτέρου Γέροντος, παρέβαλεν αὐτῷ παρθένος λέγουσα· πάτερ, ἐνήστευσα διακοσίας Κυριακὰς ἓξ ἕξ· ἀπήγγειλα δὲ τὴν Καινὴν καὶ τὴν Παλαιάν· τί ἔσται μοι λοιπόν, ἵνα αὐτό σοι ἐργάσωμαι; Λέγει αὐτῇ ὁ Γέρων· Ἐγένετό σοι ἡ ἐξουδένωσις ὡς ἡ τιμή; Λέγει· Οὐχί. Ἡ ζημία ὡς τὸ κέρδος ἢ ὁ ξένος ὡς ὁ κατὰ σάρκα ἢ ἡ ἔνδεια ὡς ἡ δαψίλεια; Λέγει· Οὐχί. Ἀπεκρίθη ὁ

147. Δηλαδή καταλύοντας μόνο τήν Κυριακή.

257. Ὁ ἴδιος Γέροντας ἔκανε πολύ ἐργόχειρο· κρατοῦσε ἀπό τά ἔσοδα ὅσο χρειαζόταν γιά τίς ἀνάγκες του καί τό ὑπόλοιπο τό ἔδινε στούς φτωχούς.

Κάποτε λοιπόν ἔπεσε πείνα καί ἡ μητέρα ἔστειλε στόν Γέροντα τόν γιό του νά τόν παρακαλέσουν νά τούς δώσει λίγα ψωμάκια. Τ' ἄκουσε ὁ Γέροντας καί ρωτᾶ τόν γιό του: «Εἶναι καί ἄλλοι ἐκεῖ πού ἔχουν ἀνάγκη ὅπως ἐσεῖς;» «Ναί —εἶπε— εἶναι πολλοί». Κλείνοντας τότε τήν πόρτα στό πρόσωπό του δάκρυσε καί εἶπε: «Πήγαινε, παιδί μου· αὐτός πού φροντίζει γιά κείνους, θά φροντίσει καί γιά σᾶς».

Τόν ρώτησε κατόπιν ἕνας ἀδελφός: «Τήν ὥρα πού ἔδιωξες ἔτσι τόν γιό σου, δέν κάμφθηκε ὁ λογισμός σου;» Καί ὁ Γέροντας εἶπε: «Ἐάν σέ κάθε περίσταση δέν βιάσει ὁ ἄνθρωπος τόν ἑαυτό του, μισθό δέν θά ἔχει».

258. Εἶπε Γέροντας: «Κάθε κακία πού δέν ἔχει γίνει πράξη, δέν εἶναι κακία. Ὅπως καί κάθε ἀρετή, πού δέν πραγματοποιήθηκε, δέν εἶναι ἀρετή.

Ἄλλωστε ὁ ἄνθρωπος πού δέν ἔχει λογισμούς κακούς καί καλούς, μοιάζει μέ τή γῆ τῶν Σοδόμων καί Γομόρρας, πού εἶναι ἁλμυρή καί οὔτε καρπούς βγάζει οὔτε ἀγριόχορτα. Ἐνῶ ἡ καλή γῆ βγάζει καί σιτάρι καί ζιζάνια».

259. Εἶπε ἕνας Γέροντας ὅτι ὅταν ἀσκήτευα κάποτε κοντά σέ ἄλλον Γέροντα, ἐπισκέφθηκε τόν Γέροντα αὐτόν μιά μοναχή καί τοῦ εἶπε: «Πάτερ, νήστευσα διακόσιες ἑβδομάδες ἀπό ἕξι μέρες τήν κάθε μιά[147]. Εἶπα ἐκφώνως καί τήν Καινή καί τήν Παλαιά Διαθήκη. Τί μοῦ ὑπολείπεται ἀκόμη, γιά νά σοῦ τό κάνω καί αὐτό;»

Τῆς λέει ὁ Γέροντας: «Ἔχεις στήν ἴδια μοίρα τήν ἐξουθένωση μέ τήν τιμή;» «Ὄχι» ἀπαντᾶ. «Ἤ τήν ζημία μέ τό κέρδος, ἤ τόν ξένο μέ τόν συγγενή ἤ τή στέρηση μέ τήν ἀ-

ρων· Λοιπόν, οὐκ ἐνήστευσας ἓξ ἕξ, οὐδὲ Παλαιὰν καὶ Καινὴν ἀπήγγειλας, ἀλλ' ἀπατᾷς ἑαυτήν. Ἄπελθε οὖν, ἐργασαι, οὐδὲν γὰρ ἔχεις.

260. Εἶπε Γέρων ὅτι· Ἄνθρωπος ἑκουσίως ἐκδιδοὺς ἑαυτὸν εἰς θλῖψιν, πιστεύω ὅτι μετὰ τῶν μαρτύρων αὐτὸν ὁ Θεὸς λογίζεται· ἀντὶ γὰρ αἵματος λογίζεται αὐτοῦ τὰ δάκρυα.

261. Εἶπε Γέρων ὅτι· Παιδίον βάλλον τὸν λόγον αὐτοῦ μεταξὺ τῶν μειζοτέρων αὐτοῦ ὅμοιόν ἐστιν ἀνθρώπῳ ῥίπτοντι πῦρ ἐν τῷ κόλπῳ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγον οἱ Γέροντες· Παιδεύσατε τὰ παιδία, ἀδελφοί, ἵνα μὴ ἐκεῖνα παιδεύσωσιν ὑμᾶς.

262. Ἀδελφὸς παρέβαλεν εἰς τὸ ὄρος τῆς Φέρμης πρὸς μέγαν Γέροντα καὶ λέγει αὐτῷ· Ἀββᾶ, τί ποιήσω, ὅτι ἀπόλλυταί μου ἡ ψυχή; Λέγει αὐτῷ ὁ Γέρων· Διὰ τί, τέκνον; Καὶ εἶπεν αὐτῷ ὁ ἀδελφὸς ὅτι· Ὅτε ἤμην εἰς τὸν κόσμον, φύσει πολλὰ ἐνήστευον καὶ ἠγρύπνουν καὶ πολλὴ κατάνυξις καὶ θέρμη ἐν ἐμοὶ ἦν. Ἀρτίως οὖν, ἀββᾶ, οὐδὲ ὅλως ἀγαθὸν θεωρῶ ἐν ἑαυτῷ. Λέγει αὐτῷ ὁ Γέρων· Πίστευέ μοι, τέκνον, ὅτι ὅσα ἐποίεις, ὅτε ἧς ἐν τῷ κόσμῳ, ἀπὸ κενοδοξίας καὶ τοῦ ἐπαίνου τῶν ἀνθρώπων εἶχες τὴν προθυμίαν, καὶ ἀπρόσδεκτα ἦσαν ἐνώπιον τοῦ Θεοῦ, καὶ διὰ τοῦτο καὶ ὁ Σατανᾶς οὐκ ἐπολέμει σε· οὐ γὰρ ἔμελλεν αὐτῷ ἐκκόψαι τὴν προθυμίαν σου· ἀρτίως δὲ ὁρῶν σε ὅτι ἐστρατεύθης τῷ Θεῷ καὶ ἐξῆλθες κατ' αὐτοῦ, καὶ αὐτὸς λοιπὸν ὡπλίσθη κατὰ σοῦ.

148. Ἐννοεῖ τούς κόπους τῆς μετανοίας πού εἶναι ἑκούσιοι.

φθονία;» «Ὄχι» τοῦ λέει. «Τό συμπέρασμα —ἀποκρίνεται ὁ Γέροντας— εἶναι ὅτι δέν νήστευσες ἔξι ἔξι τίς μέρες, οὔτε τήν Παλαιά καί τήν Καινή Διαθήκη ἀπήγγειλες· ξεγελᾶς λοιπόν τόν ἑαυτό σου. Πήγαινε καί στρώσου στή δουλειά, γιατί δέν ἔκανες τίποτε».

260. Εἶπε Γέροντας: «Ὁ ἄνθρωπος πού ἑκούσια προσφέρει τόν ἑαυτό του σέ θλίψη, πιστεύω ὅτι μεταξύ τῶν μαρτύρων τόν λογαριάζει ὁ Θεός. Γιατί τά δάκρυα τοῦ ἀνθρώπου αὐτοῦ ὑπολογίζονται ὡς αἷμα»[148].

261. Εἶπε Γέροντας: «Τό παιδί πού πετάει τίς κουβέντες του, σάν βρίσκεται ἀνάμεσα στούς μεγαλυτέρους του, μοιάζει μέ ἄνθρωπο πού ρίχνει φωτιά στόν κόρφο τοῦ ἀδελφοῦ του. Οἱ Γέροντες ἔλεγαν: Παιδαγωγῆστε τά παιδιά, ἀδελφοί, γιά νά μήν παιδεύσουν ἐκεῖνα ἐσᾶς».

262. Ἕνας ἀδελφός πῆγε στό ὄρος τῆς Φέρμης σ' ἕναν μεγάλο Γέροντα καί τοῦ λέει: «Ἀββᾶ, τί νά κάνω, χάνεται ἡ ψυχή μου». «Γιατί, παιδί μου;» τόν ρωτάει ὁ Γέροντας. Καί ὁ ἀδελφός τοῦ ἐξηγεῖ: «Ὅταν ἤμουν στόν κόσμο, ἀλήθεια πολλές νηστεῖες ἔκανα καί ἀγρυπνοῦσα καί εἶχα μεγάλη κατάνυξη καί θέρμη μέσα μου. Τώρα τελευταῖα, ἀββᾶ, δέν βρίσκω κανένα καλό στόν ἑαυτό μου».

Ὁ Γέροντας τοῦ λέει: «Πίστεψέ με, παιδί μου· τήν προθυμία γιά ὅσα ἔκανες, ὅταν ἦσουν στόν κόσμο, τήν γεννοῦσαν ἡ κενοδοξία καί ὁ ἔπαινος τῶν ἀνθρώπων. Καί αὐτά δέν ἦταν εὐπρόσδεκτα ἀπό τόν Θεό· γι' αὐτό ὁ Σατανᾶς δέν σέ πολεμοῦσε καί οὔτε ἐπρόκειτο νά σοῦ κόψει τήν προθυμία. Τώρα τελευταῖα ὅμως βλέποντάς σε ὅτι στρατεύθηκες γιά τόν Θεό καί βγῆκες στόν ἀγώνα ἐναντίον του (τοῦ Σατανᾶ), καί αὐτός, ὅπως ἦταν ἑπόμενο, ἔστρεψε τά ὅπλα του ἐναντίον σου.

Πλὴν ἀρέσκει τῷ Θεῷ εἷς ψαλμός, ὃν λέγεις ἄρτι μετὰ κατανύξεως, ὑπὲρ χιλίους, οὓς ἔλεγες ἐν τῷ κόσμῳ· καὶ προσδέχεταί σου τὴν μικρὰν νηστείαν ὑπὲρ τὰς ἑβδομάδας, ἃς ἐνήστευες ἐν τῷ κόσμῳ. Λέγει αὐτῷ ὁ ἀδελφός· Οὐδόλως νηστεύω ἄρτι· ἀλλ' ὅλα τὰ ἀγαθά, ἅπερ εἶχον ἐν τῷ κόσμῳ, ἤρθησαν ἀπ' ἐμοῦ. Λέγει αὐτῷ ὁ Γέρων· Ἀδελφέ, ἀρκεῖ σοι ὃ ἔχεις· μόνον ὑπόμεινον καὶ καλῶς εἶ.

Τοῦ οὖν ἀδελφοῦ ἐπιμένοντος καὶ λέγοντος ὅτι· Φύσει, ἀββᾶ, ἀπόλλυταί μου ἡ ψυχή, τότε ὁ Γέρων λέγει αὐτῷ· Πίστευσον, ἀδελφέ, οὐκ ἤθελόν σοι εἰπεῖν, ἵνα μὴ βλαβῇ σου ὁ λογισμός· πλὴν ὁρῶ σε εἰς ῥαθυμίαν ἐλθόντα ὑπὸ τοῦ Σατανᾶ. Λέγω σοι ὅτι αὐτὸ τὸ νομίζειν σε ὅτι, ὡς ἦς ἐν τῷ κόσμῳ, ἀγαθὰ ἐποίεις καὶ καλῶς παρήρχου, ὑπερηφανία ἐστίν. Οὕτω γὰρ καὶ ὁ Φαρισαῖος ἀπώλεσε πάντα ὅσα ἐποίησεν ἀγαθά. Πλὴν δὲ νῦν ὅτι ἔχεις σαυτὸν μηδὲν ὅλως ἀγαθὸν ποιοῦντα, ἀρκεῖ σοι, ἀδελφέ, εἰς σωτηρίαν· ταπείνωσις γάρ ἐστι· οὕτω γὰρ ἐδικαιώθη καὶ ὁ τελώνης μηδὲν ἀγαθὸν ποιήσας· καὶ γὰρ ἀρέσκει τῷ Θεῷ ἄνθρωπος ἁμαρτωλὸς καὶ ἀμελὴς μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ὑπὲρ τὸν πολλὰ ποιοῦντα ἀγαθὰ καὶ ἔχοντα ἐν ἑαυτῷ ὅτι ὅλως ποιεῖ τι ἀγαθόν. Καὶ ὠφεληθεὶς μεγάλως ὁ ἀδελφὸς ἔβαλε μετάνοιαν τῷ Γέροντι λέγων· Σήμερον, ἀββᾶ, ἐσώθη ἡ ψυχή μου διὰ σοῦ.

263. Ἠρωτήθη Γέρων· Τί ἐστι τὸ ὑπὲρ ἀργοῦ ῥήματος

149. Ψαλμ. 50, 19. 150. Ματθ. 12, 36.

Ἔχε ὅμως ὑπόψιν σου ὅτι ἕνας ψαλμός, πού λές τώρα μέ κατάνυξη, ἀρέσει στόν Θεό περισσότερο ἀπό χίλιους πού ἔλεγες μέσα στόν κόσμο· καί τή λίγη σου νηστεία τήν δέχεται παραπάνω ἀπό τίς ἑβδομάδες πού νήστευες στόν κόσμο». «Μά, καθόλου δέν νηστεύω τώρα —διακόπτει ὁ ἀδελφός— ὅλα τά ἀγαθά πού εἶχα στόν κόσμο φύγαν ἀπό μένα». «Ἀδελφέ, —συνεχίζει ὁ Γέροντας— σοῦ ἀρκεῖ αὐτό πού ἔχεις· μόνο κάνε ὑπομονή καί εἶσαι σέ καλό δρόμο».

Ἀλλά ἐπειδή ὁ ἀδελφός ἐπέμενε καί ἔλεγε: «Ἀββᾶ, σίγουρα χάνεται ἡ ψυχή μου», τοῦ λέει τότε ὁ Γέροντας: «Ἀδελφέ, πίστεψέ με, δέν ἤθελα νά σοῦ τό ὁμολογήσω, γιά νά μήν πάθει ζημιά ὁ λογισμός σου. Ἡ ἀλήθεια εἶναι ὅτι σέ βλέπω νά 'χεις πέσει σέ ραθυμία ἀπό σατανική ἐνέργεια. Αὐτή ἡ ἄποψή σου ὅτι, ὅσο ἤσουν στόν κόσμο, ἔκανες καλά πράγματα καί καλά περνοῦσες, σοῦ τό λέω ρητά ὅτι εἶναι ὑπερηφάνεια. Ἔτσι ἀκριβῶς καί ὁ Φαρισαῖος ἔχασε ὅλα τά ἀγαθά ὅσα εἶχε κάνει. Ὡστόσο αὐτή ἡ κατάστασή σου τώρα, πού θεωρεῖς τόν ἑαυτό σου ὅτι δέν κάνει τίποτε τό καλό, αὐτό σοῦ ἀρκεῖ, ἀδελφέ, γιά τή σωτηρία· γιατί εἶναι ταπείνωση. Ἔτσι δικαιώθηκε καί ὁ τελώνης, ἄν καί δέν εἶχε κάνει κανένα καλό. Στόν Θεό μάλιστα ἕνας ἄνθρωπος ἁμαρτωλός καί ἀμελής, πού ἔχει συντριβή στήν καρδιά καί ταπείνωση[149], ἀρέσει περισσότερο ἀπό ἐκεῖνον πού κάνει πολλά καλά πράγματα καί ἔχει μέσα του τήν ἰδέα ὅτι πάντα ἐργάζεται τό ἀγαθό».

Ἔτσι ὁ ἀδελφός ὠφελήθηκε πάρα πολύ καί ἔβαλε μετάνοια στόν Γέροντα λέγοντας: «Σήμερα, ἀββᾶ, σώθηκε ἡ ψυχή μου χάρις σέ σένα».

263. Ρωτήθηκε ἕνας Γέροντας: «Τί σημαίνει τό ὅτι γιά κάθε ἀργό (δηλαδή ἀνώφελο) λόγο θά λογοδοτήσουν οἱ ἄνθρωποι;[150]»

διδόναι λόγον; Καὶ ἀπεκρίθη· Οἷος δήποτε λόγος περὶ σωματικοῦ πράγματος λαλούμενος ἀργολογία ἐστί· μόνον δὲ τὸ λαλεῖν περὶ σωτηρίας ψυχῆς τοῦτο οὐκ ἔστιν ἀργολογία. Πλὴν τὸ ἐξ ὅλων σκοπῆσαι καὶ σιωπῆσαι κάλλιόν ἐστιν· ὡς γὰρ λαλεῖς τὸ καλόν, ἔρχεται εἰς μέσον καὶ τὸ κακόν.

264. Ἄλλοτε ἐφάνη ὁ Σατανᾶς Γέροντι καὶ λέγει αὐτῷ· Οὐκ εἶ χριστιανός. Ἀπεκρίθη ὁ Γέρων αὐτῷ· Εἴ τις ἐάν εἰμι, τέως προάγω σου. Λέγει αὐτῷ ὁ Σατανᾶς· Λέγω σοι ὅτι εἰς τὴν κόλασιν ὑπάγεις. Ἀπεκρίθη ὁ Γέρων· Οὐκ εἶ σὺ κριτής μου οὐδὲ Θεός μου.

265. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πῶς, πάτερ, ἡ γενεὰ ἡμῶν οὐ δύναται κρατῆσαι τὴν ἄσκησιν τῶν Πατέρων; Καὶ εἶπεν ὁ Γέρων· Ὅτι οὐκ ἀγαπᾷ τὸν Θεὸν οὐδὲ φεύγει τοὺς ἀνθρώπους οὐδὲ μισεῖ τὴν ὕλην τοῦ κόσμου. Ἄνθρωπος γὰρ φεύγων τοὺς ἀνθρώπους καὶ τὴν ὕλην, ἀφ' ἑαυτοῦ ἔρχεται αὐτῷ ἡ κατάνυξις καὶ ἡ ἄσκησις. Ὥσπερ γὰρ ὁ θέλων σβέσαι τὸ πῦρ τὸ ἅπτον ἐν τῷ ἀγρῷ αὐτοῦ, ἐὰν μὴ προλάβῃ καὶ κόψῃ τὴν ὕλην τὴν ἔμπροσθεν αὐτοῦ, οὐ σβέννυσιν αὐτό, οὕτω καὶ ὁ ἄνθρωπος, ἐὰν μὴ ἀπέλθῃ εἰς τόπον ὅπου μετὰ κόπου εὑρίσκει καὶ αὐτὸν τὸν ψωμὸν αὐτοῦ, οὐ δύναται κτήσασθαι τὴν ἄσκησιν· ψυχὴ γὰρ ἐὰν μὴ βλέπῃ, οὐδὲ ταχέως ἐπιθυμεῖ.

266. Εἶπε πάλιν ὅτι· Ὁ κλέπτων ἢ ὁ ψευδόμενος ἢ ὁ ἄλλην ἁμαρτίαν ποιῶν, πολλάκις εὐθέως τῷ τελέσαι τὴν ἁμαρτίαν στενάζει ἢ μέμφεται ἑαυτοῦ καὶ ἔρχεται εἰς μετάνοιαν· ὁ δὲ

Ἀποκρίθηκε ὁ Γέροντας: «Ὁποιαδήποτε συζήτηση γιά σωματικά πράγματα εἶναι ἀργολογία. Καί μόνο τό νά μιλάει κανείς γιά τή σωτηρία τῆς ψυχῆς, αὐτό δέν εἶναι ἀργολογία. Πέραν τούτου ὅμως τό νά εἶσαι προσεκτικός σ' ὅλα καί νά σιωπᾶς, εἶναι τό προτιμότερο· γιατί καθώς μιλᾶς τόν καλό λόγο, ἐκεῖ ἀνάμεσα μπαίνει καί τό κακό».

264. Κάποια φορά παρουσιάστηκε ὁ Σατανᾶς σ' ἕναν Γέροντα καί τοῦ λέει: «Δέν εἶσαι χριστιανός». «Ὅποιος κι ἄν εἶμαι —ἀποκρίνεται ὁ Γέροντας— ὁπωσδήποτε ὑπερέχω ἀπό σένα». «Σέ διαβεβαιώνω —συνεχίζει ὁ Σατανᾶς— ὅτι θά πᾶς στήν κόλαση». Καί ὁ Γέροντας ἀπαντᾶ «Δέν εἶσαι σύ κριτής μου οὔτε Θεός μου».

265. Ἕνας ἀδελφός ρώτησε Γέροντα: «Πῶς ἡ γενιά μας, πάτερ, δέν μπορεῖ νά κάνει τήν ἄσκηση τῶν Πατέρων;» Καί εἶπε ὁ Γέροντας: «Ἐπειδή δέν ἀγαπάει τόν Θεό καί δέν ἀποφεύγει τούς ἀνθρώπους οὔτε μισεῖ τά ὑλικά ἀγαθά τοῦ κόσμου. Γιατί στόν ἄνθρωπο πού ἀποφεύγει τήν συντυχία τῶν ἀνθρώπων καί τόν πειρασμό τῆς ὕλης, ξεκινοῦν ἀπό μέσα του ἡ κατάνυξη καί ἡ ἄσκηση.

Ὅπως ἀκριβῶς αὐτός πού θέλει νά σβήσει τή φωτιά πού ἄναψε στό χωράφι του, ἐάν δέν προλάβει νά κόψει τά δέντρα πού εἶναι μπροστά στή φωτιά, δέν μπορεῖ νά τή σβήσει, ἔτσι καί ὁ ἄνθρωπος ἐάν δέν φύγει σέ τόπο ὅπου καί τό ψωμί του ἀκόμη μέ κόπο βρίσκει, δέν μπορεῖ νά ἀποκτήσει τήν ἄσκηση. Γιατί ἡ ψυχή ἐάν δέν βλέπει οὔτε καί εὔκολα ἐπιθυμεῖ».

266. Εἶπε ἐπίσης: «Αὐτός πού κλέβει ἤ ψεύδεται ἤ διαπράττει ἄλλη ἁμαρτία, συχνά εὐθύς μετά τήν τέλεση τῆς ἁμαρτίας στενάζει, κατηγορεῖ τόν ἑαυτό του καί μετανοεῖ.

μνησικακίαν κρατῶν ἐν τῇ ψυχῇ, εἴτε τρώγει εἴτε πίνει εἴτε καθεύδει εἴτε περιπατεῖ, ὥσπερ ἰὸς κατεσθίει αὐτόν. Ὅθεν πάντοτε ἀχώριστον τὴν ἁμαρτίαν ἔχει· καὶ ἡ εὐχὴ αὐτοῦ κατάρα αὐτῷ γίνεται, καὶ ὅλος ὁ κόπος αὐτοῦ, κἂν τὸ αἷμα αὐτοῦ ἐκχύσῃ διὰ τὸν Χριστόν, ἀπρόσδεκτος γίνεται.

267. Εἶπε Γέρων· Ἐὰν παραβάλωσί σοί τινες καὶ ἴδῃς αὐτοὺς ἀπὸ μήκοθεν, στᾶ εἰς εὐχὴν καὶ εἰπέ· Κύριε Ἰησοῦ Χριστέ, ῥῦσαι ἡμᾶς ἀπὸ καταλαλιᾶς καὶ λοιδορίας. Καὶ μετ' εἰρήνης ἀπένεγκε αὐτοὺς ἐκ τοῦ τόπου τούτου.

268. Εἶπε πάλιν· Ἐάν ἐστι τὸ σῶμά σου ἀσθενές, πρὸς αὐτὸ ποίησον καὶ τὴν χρείαν σου, μήποτε πέσῃς εἰς ἀσθένειαν καὶ μέλλεις ζητεῖν βρώματα καὶ βαρεῖν τὸν διακονοῦντά σε.

269. Ἠρωτήθη Γέρων περὶ τοῦ ἐνυπνιάζεσθαι ὡσὰν εἰς μῖξιν γυναικὸς ἢ καθ' ἑαυτὸν μόνον. Καὶ ἀπεκρίθη λέγων· Μὴ προσποιεῖσθαι ὅλως, ἀλλὰ νομίζειν ἑαυτὸν ἀπομύσσεσθαι. Ἐὰν γὰρ περιπατῶν δημοσίᾳ ἴδῃς καπηλομαγειρεῖον καὶ πλησιάσας ἐν τῷ παρέρχεσθαί σε μεταλάβῃς τῆς τῶν κρεῶν ἀναθυμιάσεως, ἔφαγες ἢ οὔ; Πάντως ἐρεῖς μοι ὅτι· Οὔ. Οὕτως οὔτε τὸ ἐνυπνιάζεσθαι μολυσμόν σοι παρέξει. Ἐὰν γάρ σε ἴδῃ ὁ ἐναντίος δειλιῶντα, πλέον σοι ἐπεμβαίνει. Παρατήρει δέ, ὅπως μὴ ἐν αἰσθήσει ἐλθὼν συγκαταβῇς τῇ διανοίᾳ.

270. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Καλὸν τὸ παρα-

Ἐνῶ αὐτός πού διατηρεῖ μνησικακία στήν ψυχή του, εἴτε τρώει εἴτε πίνει εἴτε κοιμᾶται εἴτε περπατάει, σάν δηλητήριο τόν κατατρώει ἡ μνησικακία. Ἑπομένως τήν ἁμαρτία δέν τήν ἀποχωρίζεται ποτέ· ἡ προσευχή του γίνεται κατάρα γιά τόν ἴδιο καί ὅλος ὁ κόπος πού κάνει, κι ἂν ἀκόμη χύσει τό αἷμα του γιά τόν Χριστό, δέν θά εἶναι δεκτός ἀπό τόν Θεό».

267. Εἶπε Γέροντας: «Ἐάν ἔρχονται κάποιοι νά σέ ἐπισκεφθοῦν καί τούς δεῖς ἀπό μακριά, στάσου σέ προσευχή καί πές: Κύριε Ἰησοῦ Χριστέ, γλύτωσέ μας ἀπό τήν καταλαλιά καί τήν κακολογία. Καί κάνε νά φύγουν εἰρηνικά ἀπό τόν τόπο αὐτόν».

268. Εἶπε ἐπίσης: «Ἐάν ἔχεις ἀσθενικό σῶμα, σύμφωνα πρός αὐτό νά οἰκονομήσεις καί τά ἀπαραίτητα· μήν πέσεις καμιά φορά σέ ἀρρώστια καί θά ζητᾶς τρόφιμα καί θά φέρεις σέ δύσκολη θέση αὐτόν πού σέ διακονεῖ».

269. Ρώτησαν Γέροντα σχετικά μέ τίς ρεύσεις στόν ὕπνο, σάν νά συνέρχεται κανείς μέ γυναίκα ἤ καί μόνος (μέ τόν ἑαυτό του). Ἀποκρίθηκε καί εἶπε: «Μήν τό ἀποδίδετε καθόλου στόν ἑαυτό σας (ὡς κατηγορία), ἀλλά νά τό θεωρεῖτε ὡσάν νά τρέχει ἡ μύτη σας. Γιατί, ἐάν περπατώντας στήν ἀγορά συναντήσεις οἰνομαγειρεῖο καί πλησιάζοντάς το, καθώς περνᾶς ἀπ' ἐκεῖ, μυρίσεις τίς ἀναθυμιάσεις ἀπό τά κρέατα, σημαίνει ὅτι ἔφαγες; Ναί ἤ ὄχι; Ἀσφαλῶς θά μοῦ πεῖς: Ὄχι. Ἔτσι οὔτε οἱ ρεύσεις στόν ὕπνο σέ μολύνουν. Ἐάν μάλιστα σέ δεῖ ὁ ἐχθρός νά δειλιάζεις, περισσότερο σοῦ ἐπιτίθεται. Πρόσεξε ὅμως, ὅταν ξυπνήσεις, νά μήν συγκατατεθεῖς μέ τή σκέψη».

270. Ἀδελφός ρώτησε Γέροντα: «Εἶναι καλό νά ἐπισκέ-



Καισάρεια Φιλίππου

βαλεῖν Γέρουσιν ἢ τὸ ἡσυχάσαι; Λέγει αὐτῷ ὁ Γέρων· Τὸ παραβαλεῖν Γέρουσιν ἦν ὁ κανὼν τῶν ἀρχαίων Πατέρων.

271. Εἶπε Γέρων· Ἐμίσησα νεωτέρους κενοδοξοῦντας, ὅτι κάμνουσι καὶ μισθὸν οὐκ ἔχουσιν ἀποβλέποντες εἰς τὴν τῶν ἀνθρώπων δόξαν. Λέγει αὐτῷ ἄλλος Γέρων γνωστικώτατος· Ἐγὼ καὶ πάνυ αὐτοὺς ἀποδέχομαι. Συμφέρει γὰρ τῷ νεωτέρῳ κενοδοξεῖν καὶ μὴ ἀμελεῖν. Πάντως γὰρ κενοδοξῶν, ἀνάγκῃ καὶ ἐγκρατεύεται καὶ ἀγρυπνεῖ καὶ γυμνητεύει καὶ ἀγάπην κτᾶται καὶ τὰς θλίψεις βαστάζει διὰ τὸν ἔπαινον. Μετὰ οὖν τὸ πολιτεύεσθαι οὕτως, ἔρχεται αὐτῷ ἡ Χάρις τοῦ Θεοῦ λέγουσα αὐτῷ οὕτω· Διὰ τί οὐ κάμνεις δι' ἐμὲ ἀλλὰ διὰ τοὺς ἀνθρώπους; Τότε πείθεται μὴ προσέχειν δόξῃ ἀνθρωπίνῃ, ἀλλὰ τοῦ Θεοῦ. Καὶ ἀκούσας εἶπεν· Ὄντως οὕτως ἔχει.

272. Ἀδελφὸς ὑπὸ λύπης κρατούμενος ἠνάγκαζε Γέροντα λέγων· Τί ποιήσω, ὅτι οἱ λογισμοὶ ἐπιτίθενταί μοι λέγοντες ὅτι ἀκαίρως ἀπετάξω, οὐ δύνασαι σωθῆναι; Λέγει αὐτῷ ὁ Γέρων· Κἂν μὴ δυνάμεθα εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, συμφέρει ἡμῖν, ἵνα τὰ κῶλα ἡμῶν πέσῃ ἐν τῇ ἐρήμῳ ἢ ὑποστρέψαι εἰς Αἴγυπτον.

151. Ἀριθ. 14, 29-33.

152. Τό ὄνομα Αἴγυπτος στήν ἐκκλησιαστική ὁρολογία, μέ τή μεταφορική της ἔννοια, σημαίνει τήν μακράν τοῦ Θεοῦ ζωή, τή φθορά καί τή δουλεία τοῦ ἀνθρώπου στό καθεστώς τῆς ἁμαρτίας. Ὁ συμβολισμός αὐτός προέκυψε προφανῶς ἀπό τό ἱστορικό γεγονός τῆς ἐπί αἰῶνες δουλείας τῶν Ἰσραηλιτῶν στούς Φαραώ τῆς Αἰγύπτου, καθεστώς εἰδωλολατρίας.

πτεται κανείς Γέροντες ἤ νά ἡσυχάζει;» Ὁ Γέροντας εἶπε: «Οἱ ἐπισκέψεις στούς Γέροντες ἦταν κανόνας γιά τούς παλαιούς Πατέρες».

271. Εἶπε Γέροντας: «Μίσησα νά βλέπω νέους μοναχούς νά κενοδοξοῦν· κοπιάζουν καί μισθό δέν ἔχουν, γιατί ἀποβλέπουν στή δόξα τῶν ἀνθρώπων».

Ἄλλος Γέροντας, πού κατεῖχε πολύ σωστά τά πράγματα, τοῦ εἶπε: «Ἐγώ τούς ἀποδέχομαι καί πολύ μάλιστα. Συμφέρει στόν νέο νά κενοδοξεῖ παρά νά ἀμελεῖ. Γιατί ἀποβλέποντας στήν κενοδοξία, ἀπό ἀνάγκη καί ἐγκρατής γίνεται καί ἀγρυπνεῖ καί ἐκθέτει τόν ἑαυτό του στό κρύο καί ἀγάπη ἀποκτᾶ καί τίς στενοχώριες σηκώνει γιά νά κερδίσει τόν ἔπαινο. Μετά ἀπό ἕνα τέτοιο τρόπο ζωῆς, τόν ἐπισκέπτεται ἡ Χάρις τοῦ Θεοῦ καί τοῦ μιλάει ὡς ἑξῆς: Γιατί δέν κοπιάζεις γιά μένα ἀλλά γιά τούς ἀνθρώπους; Τότε πείθεται νά μήν ἔχει στραμμένη τήν προσοχή του στήν ἀνθρώπινη δόξα ἀλλά στή δόξα τοῦ Θεοῦ». «Πράγματι —εἶπε ἀκούγοντάς τα ὁ ἄλλος Γέροντας— ἔτσι ἔχουν τά πράγματα».

272. Ἕνας ἀδελφός πού τόν εἶχε κατακτήσει ἡ λύπη, πίεζε τόν Γέροντα λέγοντας: «Τί νά κάνω; Μοῦ ἐπιτίθενται οἱ λογισμοί καί μοῦ λένε: «Δέν ἀπαρνήθηκες τόν κόσμο τόν καιρό πού ἔπρεπε· δέν μπορεῖς τώρα νά σωθεῖς». Καί ὁ Γέροντας τοῦ εἶπε: «Κι ἄν δέν μπορέσουμε νά μποῦμε στή γῆ τῆς ἐπαγγελίας, μᾶς συμφέρει νά μείνουν τά μέλη τοῦ σώματός μας στήν ἔρημο[151], παρά νά γυρίσουμε πίσω στήν Αἴγυπτο[152]».

273. Ἠρωτήθη Γέρων· Καλόν ἐστι μεσάσαι ἀντιλογίαν ἀδελφῶν; Καὶ ἀποκριθεὶς εἶπε· Φεῦγε τὰ τοιαῦτα. Γέγραπται γάρ· Βαρύνων τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι κρίσιν αἵματος καὶ τοὺς ὀφθαλμοὺς καμμύων τοῦ μὴ ἰδεῖν ἀδικίαν.

274. Ἠρωτήθη Γέρων· Πῶς δύναται ἄνθρωπος κατὰ μόνας οἰκῆσαι; Καὶ ἀποκριθεὶς εἶπεν· Ὁ ἀθλητὴς ἐὰν μὴ πυκτεύσῃ μετὰ πολλῶν, οὐ δύναται μαθεῖν τὴν τέχνην τῆς νίκης, ἵνα οὕτω δυνηθῇ μετὰ τοῦ ἀντιδίκου μονομαχῆσαι. Οὕτω καὶ ὁ μοναχός, ἐὰν μὴ παιδευθῇ μετὰ ἀδελφῶν καὶ μάθῃ τὴν τῶν λογισμῶν τέχνην, οὐ δύναται οἰκῆσαι κατὰ μόνας οὐδὲ ἀντιστῆναι τοῖς λογισμοῖς.

275. Ἠρωτήθη Γέρων· Καλόν ἐστιν ἐκλαβεῖν τὰς θείας γραφάς; Ὁ δὲ εἶπε· Τὸ πρόβατον λαμβάνει παρὰ τοῦ ποιμένος καλὴν βοτάνην φαγεῖν· ἐσθίει δὲ καὶ τὴν τῆς ἐρήμου ὕλην. Ὅταν οὖν καίηται ἀπὸ τῶν ἀκανθῶν, ἀναμηρυκᾶται τὴν βοτάνην καὶ γλυκαίνεται τὸ στόμα αὐτοῦ καὶ παύεται ὁ ὀπὸς τῶν ἀκανθῶν. Οὕτω καὶ τῷ ἀνθρώπῳ καλὴ ἡ τῶν ἁγίων γραφῶν μελέτη πρὸς τὴν τῶν δαιμόνων ἐπιβουλήν.

Καὶ γὰρ ἐάν τις εὐκαιρήσῃ εἴτε μετὰ πολλῶν εἴτε μετὰ ὀλίγων εἰς τὴν ἐκκλησίαν καὶ φράξῃ τὸ στόμα αὐτοῦ τοῦ μὴ βοᾶν πρὸς τὸν Θεόν, ἐκεῖνος δαιμόνων ἔργον ἐργάζεται· καὶ γὰρ οἱ δαίμονες μὴ δυνάμενοι ἀκοῦσαι τὸν ἔπαινον τοῦ Χριστοῦ καὶ τοὺς ψάλλοντας καταργοῦσιν.

---

153. Ἠσ. 33, 15.

154. Στό ἀπόφθ. αὐτό βλέπουμε τήν ἀντίθεση πρός τήν θέση ὁρισμένων ἀρχαιοτέρων Πατέρων τῆς ἐρήμου, οἱ ὁποῖοι συνιστοῦσαν τήν ἀποφυγή τῆς ψαλμωδίας στόν ναό, ὡς συμπεριφορά κοσμική· διότι, κατά τήν ἄποψή τους,

273. Ρώτησαν Γέροντα: «Εἶναι καλό νά μεσολαβοῦμε, ὅταν λογοφέρνουν οἱ ἀδελφοί;» «Νά ἀποφεύγεις —ἀποκρίνεται ὁ Γέροντας— τέτοιες μεσολαβήσεις. Στή Γραφή διαβάζουμε: Ὁ δίκαιος στρέφει ἀλλοῦ τ' αὐτιά του, γιά νά μήν ἀκούσει τήν καταδίκη τοῦ ἀθώου αἵματος, καί κλείνει τά μάτια του, γιά νά μή δεῖ τήν ἀδικία»[153].

274. Ρωτήθηκε Γέροντας: «Πῶς μπορεῖ ὁ ἄνθρωπος μέ σωστό τρόπο νά κατοικήσει μόνος; Ὁ Γέροντας ἀποκρίνεται: Ὁ ἀθλητής ἐάν δέν παλαίψει μέ πολλούς, δέν μπορεῖ νά μάθει τήν τέχνη τῆς νίκης, γιά νά εἶναι σέ θέση νά μονομαχήσει μέ τόν ἀντίπαλο.

Ἔτσι καί ὁ μοναχός· ἐάν δέν ἐκπαιδευθεῖ ἀνάμεσα σέ ἀδελφούς καί δέν μάθει τήν τέχνη τῶν λογισμῶν, δέν μπορεῖ νά κατοικήσει μόνος οὔτε νά ἀντισταθεῖ στούς λογισμούς».

275. Ρωτήθηκε Γέροντας: «Εἶναι καλό νά ἀποστηθίζουμε τά ἱερά κείμενα;» Κι ἐκεῖνος εἶπε: «Τό πρόβατο παίρνει ἀπό τόν βοσκό καλό χορτάρι καί τό τρώει· τρώει ὅμως καί ἀπό τή βλάστηση τῆς ἐρήμου. Ὅταν λοιπόν ξηραθεῖ τό στόμα του τρώγοντας ξυλώδη φυτά, ἀναμασᾶ τό χορτάρι καί γλυκαίνεται καί ὑποχωρεῖ τό δριμύ ὑγρό τῶν σκληρῶν φυτῶν. Ἔτσι καί στόν ἄνθρωπο εἶναι ἀπαραίτητη ἡ μελέτη τῶν ἱερῶν βιβλίων γιά νά ἀντιμετωπίζει τά τεχνάσματα τῶν δαιμόνων.

Καί μάλιστα ἄν βρεθεῖ κανείς εἴτε μέ πολλούς μαζί εἴτε μέ λίγους στήν ἐκκλησία καί φράξει τό στόμα του ὥστε νά μήν κραυγάσει πρός τόν Θεό, αὐτός κάνει ἔργο δαιμονικό· γιατί οἱ δαίμονες εἶναι πού δέν μποροῦν ν' ἀκούσουν νά δοξολογεῖται ὁ Χριστός, καί γι' αὐτό ἐμποδίζουν κι αὐτούς πού ψάλλουν[154]».

ὁ ψάλλων ἐκτίθεται στόν πειρασμό τῆς κενοδοξίας καί φυγαδεύεται τό πνεῦμα τῆς κατανύξεως. Βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 112 ὑποσημ. 95.

276. Εἶπε Γέρων ὅτι· Ἡ ἔρις παραδίδωσι τὸν ἄνθρωπον τῇ ὀργῇ· καὶ ἡ ὀργὴ παραδίδωσιν αὐτὸν τῇ τυφλώσει· καὶ ἡ τύφλωσις ποιεῖ αὐτὸν πᾶν κακὸν ἐργάζεσθαι.

277. Ἦν τις μοναχὸς ἐν Θηβαΐδι ἀκροτάτην ἄσκησιν καὶ πολιτείαν ἔχων, ἐν πολλαῖς δὲ ἀγρυπνίαις καὶ προσευχαῖς καὶ δεήσεσι προσκαρτερῶν, ἀκτημοσύνην πολλὴν μετὰ νηστείας καὶ κόπων τὸ σῶμα κατατρύχων. Καὶ τὰ μὲν πρῶτα ὀσπρέα βρεκτὰ τῇ μιᾷ χειρὶ καθ' ἑσπέραν περιλαμβάνων ἤσθιεν· ἔπειτα μετὰ χρόνον τινὰ μίαν παρὰ μίαν τῷ μέτρῳ τούτῳ ἠρκεῖτο. Καὶ ταύτην ἄγων ἐπὶ πολὺ τὴν δίαιταν ἦλθεν εἰς τὸ μίαν κατασχεῖν ἡμέραν εἰς βρῶσιν τῆς ἑβδομάδος, ἥτις ἦν Κυριακή. Ἀπὸ Κυριακῆς οὖν εἰς Κυριακὴν τῇ ἑσπέρᾳ τοῖς παρατυχοῦσιν ὀσπρέοις ἢ βοτάναις αὐτοφυέσι χρώμενος ἐπὶ πολὺν διετέλεσε χρόνον ἕλκων τὰς ἑβδομάδας.

Ἀλλ' ὁ τῆς κακίας εὑρετὴς διάβολος ζηλώσας, ὥσπερ πτώματι ἔπεσεν ἐκεῖνος διὰ τῆς ὑπερηφανίας, καὶ τοῦτον κατενεγκεῖν δι' αὐτῆς ἐπειράθη. Ὑπεισέρχεται οὖν αὐτῷ λογισμὸς οἰήσεως ὡς ὅτι· Ἀκροτάτην νηστείαν μετέρχῃ καὶ ἀγρυπνίαν, ἣν οὐδεὶς τῶν ἀνθρώπων· δεῖ δὲ καὶ σημείων σε ἐπίδειξιν ποιήσασθαι, ἵνα καὶ σὺ προθυμότερος περὶ τὴν ἄσκησιν γένῃ, καὶ τοὺς ἀνθρώπους οἰκοδομήσῃς ὁρῶντας τὰ θαυμάσια τοῦ Θεοῦ καὶ δοξάζοντας τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Αἰτήσωμεν οὖν τὴν τῶν σημείων ἐνέργειαν· αὐτὸς γὰρ ὁ Σωτὴρ εἴρηκεν· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν.

Ὁ μὲν οὖν μοναχὸς τὴν τοιαύτην δέησιν μετ' αἰτήσεως ἐκτενεστάτης προσῆγε τῷ Θεῷ. Ὁ δὲ φιλάνθρωπος καὶ ἀγαθὸς Θεὸς θέλων πάντας σωθῆναι, ἰδὼν τὴν πλάνην αὐτοῦ καὶ μνησθεὶς τοῦ κόπου αὐτοῦ καὶ τῆς ἀσκήσεως οὐ συνεχώρησε τῷ

155. Ματθ. 7, 7. 156. Α' Τιμ. 2, 4.

276. Εἶπε Γέροντας: «Ἡ ἐριστική τάση ἐκθέτει τόν ἄνθρωπο στήν ὀργή· ἡ ὀργή τόν ἐκθέτει στήν τύφλωση τοῦ νοῦ καί ἡ τύφλωση τόν κάνει κατάλληλο γιά κάθε κακό».

277. Ἦταν ἕνας μοναχός στή Θηβαΐδα ὁ ὁποῖος ζοῦσε μέ ἀκραία ἄσκηση, ὑπομένοντας καρτερικά μέ πολλές ἀγρυπνίες, προσευχές καί παρακλήσεις, καί καταπιέζοντας τό σῶμα του μέ ὑπερβολική ἀκτημοσύνη, μέ νηστεία καί κόπους.

Τόν πρῶτο καιρό ἔτρωγε κάθε ἀπόγευμα βρεγμένα ὄσπρια, ὅσα ἔπαιρνε τό ἕνα του χέρι. Κατόπιν, ἀφοῦ πέρασε κάποιο χρονικό διάστημα, τοῦ ἦταν ἀρκετή ἡ ἴδια ποσότητα μέρα παρά μέρα. Καί αὐτόν τόν τρόπο διατροφῆς ἐφαρμόζοντας γιά πολύν καιρό, ἔφθασε νά ὁρίσει μιά μέρα τῆς ἑβδομάδος γιά τροφή, καί αὐτή ἦταν ἡ Κυριακή. Ἀπό Κυριακή λοιπόν σέ Κυριακή, τό ἀπόγευμα, ἔτρωγε ὅ,τι ὄσπριο τύχαινε νά ἔχει ἤ ἄγρια χόρτα, καί ἔκανε πολύ χρονικό διάστημα νηστεύοντας ἔτσι τίς ἑβδομάδες.

Ἀλλά ὁ ἐπινοητής τῆς κακίας ὁ διάβολος τόν ζήλεψε καί ὅπως ἔπεσε ὁ ἴδιος διά μέσου τῆς ὑπερηφανείας, καί τοῦτον μ' αὐτήν ἐπεχείρησε νά τόν ρίξει. Διεισδύει λοιπόν μέσα του λογισμός οἰήσεως μέ τό πρόσχημα: «Ἐφαρμόζεις τήν πιό ἀκραία νηστεία καί ἀγρυπνία, ὅσο κανένας ἄλλος. Εἶναι ἀνάγκη ὅμως νά δείξεις καί κάποια θαυμαστά σημεῖα γιά νά γίνεις καί σύ προθυμότερος στήν ἄσκηση καί τούς ἀνθρώπους νά οἰκοδομήσεις, καθώς θά βλέπουν τά θαυμαστά ἔργα τοῦ Θεοῦ καί θά δοξάζουν τόν οὐράνιο Πατέρα μας. Πρέπει λοιπόν νά ζητήσω τήν θαυματουργική ἐνέργεια. Ἄλλωστε ὁ ἴδιος ὁ Σωτήρας εἶπε: Ζητεῖτε καί θά σᾶς δοθεῖ[155]».

Ἔτσι λοιπόν ὁ μοναχός ἀπηύθυνε στόν Θεό αὐτή τήν προσευχή μέ ἐκτεταμένη δέηση. Ἀλλά ὁ φιλάνθρωπος καί ἀγαθός Θεός πού θέλει ὅλοι νά σωθοῦν[156], βλέποντας τήν πλάνη του καί λαμβάνοντας ὑπόψιν του τούς κόπους καί

ἐχθρῷ τελείως πειράσαι αὐτὸν καὶ ῥίψαι εἰς τὸ τῆς ὑπερηφανίας πτῶμα, τὸ πάντων χαλεπώτερον· διὸ καὶ τὸ ψαλμικὸν ἐπ᾽ αὐτῷ εὐχερῶς ἁρμόσει λόγιον, τό· Ὅταν πέσῃ, οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτῷ.

Ἔρχεται οὖν αὐτῷ ἔννοια, ὅτι φησὶν ὁ Ἀπόστολος, οὐχ ἱκανοί ἐσμεν ἐξ ἑαυτῶν τι λογίσασθαι. Εἰ οὖν ὁ τοιοῦτος εἶπεν οὐχ ἱκανός εἰμι, πόσῳ μᾶλλον ἐγὼ διδασκαλίας δέομαι. Ἀπέλθω οὖν πρὸς τόνδε τὸν ἀναχωρητὴν καί, ὃ ἐὰν εἴπῃ μοι καὶ συμβουλεύσῃ, ὡς ἐκ Θεοῦ δέξομαι ὁδηγίαν εἰς τὸ σωθῆναί με. Ἦν δὲ ὁ ἀββᾶς πρὸς ὃν ὑπῆγε μέγας καὶ ὀνομαστός, προκόψας εἰς θεωρίαν καὶ δυνάμενος ὠφελῆσαι τοὺς ἐντυγχάνοντας καὶ τοὺς ἐρωτῶντας ἁρμοδίως οἰκοδομεῖν.

Καὶ δὴ ἐξελθὼν τῆς κέλλης ἦλθε πρὸς αὐτόν. Εἰσελθόντος δὲ αὐτοῦ πρὸς αὐτόν, εἶδεν ὁ Γέρων δύο πιθήκους εἰς τοὺς ὤμους αὐτοῦ καθεζομένους καὶ ἁλύσει τὸν τράχηλον αὐτοῦ κατέχοντας, καὶ πρὸς ἑαυτὸν ἑκάτερος ἕλκειν ἐβιάζετο· καὶ θεασάμενος τοῦτο καὶ γνοὺς τὴν αἰτίαν, ἦν γὰρ θεοδίδακτος ὁ ἀνήρ, στενάξας ἐδάκρυσεν ἡσυχῇ. Καὶ μετὰ τὴν εὐχὴν καὶ τὸν συνήθη ἀσπασμόν, ἐκαθέσθησαν ἐπὶ ὥραν μίαν μὴ λαλοῦντες· τοῦτο γὰρ σύνηθες τοῖς ἐκεῖσε Πατράσι. Μετὰ δὲ ταῦτα λέγει ὁ παραγενόμενος μοναχός· Πάτερ, ὠφέλησόν με καὶ δός μοι ὑποθήκην ὁδοῦ σωτηρίας. Ἀπεκρίθη δὲ ὁ Γέρων· Οὐχ ἱκανός εἰμι, τέκνον, εἰς τοῦτο· καὶ γὰρ αὐτὸς χρῄζω χειραγω-

157. Ψαλμ. 36, 24.
158. Πρβλ. Β΄ Κορ. 3, 5.
159. Βλ. ὑποσημ. 115β σελ. 162.

τήν ἄσκησή του, δέν ἐπέτρεψε στόν ἐχθρό νά τόν πειράξει τελειωτικά καί νά τόν ρίξει στήν πτώση τῆς ὑπερηφανείας, πού εἶναι ἡ χειρότερη ἀπ᾽ ὅλες τίς πτώσεις. Γι᾽ αὐτό καί στήν περίπτωσή του θά ἐφαρμοσθεῖ κατάλληλα τό ψαλμικό ρητό: «Ὅταν σκοντάψει ὁ δίκαιος καί πέσει, δέν θά συντριβεῖ, γιατί ὁ Κύριος ἁπλώνει τό χέρι του ἀπό κάτω καί τόν βαστάζει[157]».

Τοῦ ἔρχεται λοιπόν στό μυαλό ἡ σκέψη ὅτι «ὁ Ἀπόστολος λέει: Δέν εἴμαστε ἱκανοί ἀπό μόνοι μας νά σκεφθοῦμε κάτι[158]. Ἄν λοιπόν ἕνας ἀπόστολος Παῦλος λέει, δέν εἶμαι ἱκανός, πόσο μᾶλλον ἐγώ ἔχω ἀνάγκη νά διδαχθῶ. Νά πάω λοιπόν σ᾽ ἐκεῖνον τόν ἀναχωρητή καί ὅ,τι μοῦ πεῖ καί μέ συμβουλεύσει, θά τό δεχθῶ σάν ὁδηγία ἀπό μέρους τοῦ Θεοῦ γιά νά σωθῶ». Καί ὁ ἀββᾶς αὐτός πρός τόν ὁποῖο θά πήγαινε, ἦταν μέγας καί ξακουστός, εἶχε προχωρήσει στήν πνευματική θεωρία[159] καί μποροῦσε νά ὠφελήσει αὐτούς πού τόν συναντοῦσαν καί αὐτούς πού ρωτοῦσαν νά τούς οἰκοδομεῖ κατάλληλα.

Ἄφησε λοιπόν τό κελί του καί πῆγε νά τόν συναντήσει. Ὅταν μπῆκε μέσα, εἶδε ὁ Γέροντας δυό πιθήκους νά κάθονται στούς ὤμους τοῦ ἀναχωρητῆ, πού ἦταν δεμένοι μέ ἁλυσίδα ἀπό τόν τράχηλό του, καί καθένας προσπαθοῦσε νά τόν τραβήξει πρός τό μέρος του. Σάν εἶδε τήν εἰκόνα αὐτή καί κατάλαβε τόν λόγο —γιατί ἦταν θεοδίδακτος ὁ ἄνθρωπος— στέναξε καί δάκρυσε ἀθόρυβα. Μετά τήν προσευχή καί τόν συνήθη ἀσπασμό, κάθησαν μιά ὁλόκληρη ὥρα σιωπηλοί· αὐτό συνηθιζόταν ἀπό τούς Πατέρες στόν τόπο ἐκεῖνο.

Ὕστερα πῆρε τόν λόγο ὁ ἐπισκέπτης μοναχός καί εἶπε: «Πάτερ, βοήθησέ με· δῶσ᾽ μου τίς συμβουλές σου πῶς νά διανύσω τόν δρόμο τῆς σωτηρίας». «Δέν εἶμαι ἱκανός, παιδί μου, γι᾽ αὐτό πού ζητᾶς —ἀποκρίθηκε ὁ Γέροντας— καί μάλιστα ἐγώ ὁ ἴδιος ἔχω ἀνάγκη νά μέ χειραγωγήσουν». Κι

γίας. Ὁ δέ φησι πρὸς αὐτόν· Μὴ παραιτοῦ, κύρι ἀββᾶ, τοῦ ὠφελῆσαί με. Πεπληροφόρημαι γὰρ εἰς σὲ καὶ ἔδωκα τὸν λογισμόν μου δέξασθαι τὴν συμβουλίαν σου. Ὁ δὲ ἀνένευσε λέγων ὅτι· Οὐκ ἀκούεις μου καὶ διὰ τοῦτο παραιτοῦμαι. Πάλιν οὖν ὁ μοναχὸς διεβεβαιοῦτο καὶ ἔδωκεν αὐτῷ λόγον ὡς· Ὅ,τι ἂν εἴπῃς μοι, ἀκούω σου ὡς ἀγγέλου.

Τότε λέγει αὐτῷ ὁ Γέρων· Λάβε τὸ βαλάντιον τοῦ κέρματος τοῦτο· καὶ ὕπαγε εἰς τὴν πόλιν καὶ ἀγόρασον δέκα ἄρτους καὶ δέκα ξέστας οἴνου καὶ δέκα λίτρας κρεῶν καὶ φέρε. Ἤρξατο οὖν περίλυπος γίνεσθαι· ὅμως δεξάμενος ἐπορεύετο. Καὶ ἐν τῇ ὁδῷ πολλοὺς λογισμοὺς ἀνεκίνει, ὅτι· Τί ἔδοξε τῷ Γέροντι τοῦτο, καὶ πῶς ἀγοράσω ταῦτα; Σκανδαλίζονται γὰρ οἱ κοσμικοὶ ἐμοῦ ταῦτα λαμβάνοντος· κλαίων καὶ δακρύων οὖν ἀπῆλθε. Καὶ αἰσχυνόμενος, δι᾿ ἄλλου μὲν τοὺς ἄρτους ὠνήσατο, δι᾿ ἄλλου δὲ τὸν οἶνον ἔλαβε. Καὶ ἔλεγεν· Οὐαί μοι τῷ ἀθλίῳ, πῶς κρέα ἀγοράσω ἢ δι᾿ ἐμαυτοῦ ἢ δι᾿ ἄλλου; Πλὴν μετὰ αἰσχύνης ἠρέμα εὑρών τινα κοσμικόν, ἔδωκε τὸ κέρμα, καὶ ἀγοράσας ἔδωκεν αὐτῷ.

Λαβὼν δὲ ὁ μοναχὸς ἤνεγκε πρὸς τὸν Γέροντα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Μὴ ἐπιλάθῃ ὅτι δέδωκάς μοι λόγον, ἵνα, ὃ ἐὰν εἴπω σοι, ἐπακούσῃς μου. Λάβε οὖν ταῦτα καὶ ὕπαγε εἰς τὸ κελλίον σου καὶ εὐχόμενος μεταλάμβανε ἄρτον ἕνα καὶ ξέστην οἴνου καὶ λίτραν κρεῶν ἡμέριον. Καὶ μετὰ δέκα ἡμέρας ἐλθὲ ἐνθάδε. Ὁ δὲ ἀκούσας καὶ μὴ τολμῶν ἀντειπεῖν, λαβὼν ἀπῄει κλαίων καὶ ἀνιώμενος ἐπὶ τῷ πράγματι ὅτι· Ἐκ ποίας νηστείας εἰς τί ἔφθασα; Λέγων· Ποιήσω; Μὴ ποιήσω; Ἐὰν μὴ ποιήσω, προσκρούω τῷ Θεῷ, ὅτι λόγον δέδωκα οὕτως ὅτι, ὃ

160. Ξέστης: α) Ρωμαϊκή μονάδα μετρήσεως ὑγρῶν, πού μεταδόθηκε καί στήν Ἑλλάδα. Ὁ ἀττικός ξέστης ἦταν περίπου 0,4 λίτρα.
β) λαγήνι, δοχεῖο ὑγρῶν.

ἐκεῖνος τοῦ λέει: «Μήν ἀρνεῖσαι, σεβαστέ μου πατέρα, νά μέ βοηθήσεις. Ἔχω ἐμπιστοσύνη σέ σένα· καί δεσμεύθηκα μέ τόν λογισμό μου νά δεχθῶ ὅ,τι μέ συμβουλεύσεις». Ἐκεῖνος ἀρνήθηκε λέγοντας: «Δέν θά μ᾿ ἀκούσεις καί γι᾿ αὐτό παραιτοῦμαι». Ἀλλά πάλι ὁ μοναχός ἰσχυριζόταν καί τοῦ ἔδωσε τόν λόγο του: «Ὅ,τι κι ἄν μοῦ πεῖς, θά σέ ἀκούσω σάν ἀπό στόμα ἀγγέλου».

Τότε ὁ Γέροντας τοῦ εἶπε: «Πάρε αὐτό τό σακκουλάκι μέ τά νομίσματα· πήγαινε στήν πόλη καί ἀγόρασε δέκα ψωμιά, δέκα ξέστες[160] κρασί, δέκα λίτρες κρέας καί φέρε τα». Ἄρχισε λοιπόν νά τόν καταλαμβάνει μεγάλη λύπη, ὅμως δέχθηκε καί ξεκίνησε. Στό δρόμο πολλούς λογισμούς γυρόφερνε: «Γιά ποιόν λόγο τό ἀποφάσισε αὐτό ὁ Γέροντας; Καί πῶς θά τά ἀγοράσω αὐτά; Θά σκανδαλισθοῦν οἱ κοσμικοί, ὅταν μέ δοῦν νά τά παίρνω». Κλαίγοντας λοιπόν καί χύνοντας δάκρυα ἔφυγε. Καί ἐπειδή ντρεπόταν, μέ ἄλλον ἀγόρασε τά ψωμιά καί μέ ἄλλον πῆρε τό κρασί. Ἀλλά ἔλεγε: «Ἀλίμονο σέ μένα τόν ἄθλιο, πῶς θά ἀγοράσω κρέας, εἴτε ἐγώ προσωπικά εἴτε μέσω ἄλλου;» Ὡστόσο ντροπιασμένος, ἀλλά ἀθόρυβα, βρῆκε κάποιον κοσμικό, τοῦ ᾿δωσε τό νόμισμα κι ἐκεῖνος τό ψώνισε καί τοῦ τό παρέδωσε.

Τά πῆρε ὁ μοναχός καί τά ἔφερε στόν Γέροντα. Καί ὁ Γέροντας τόν ρώτησε: «Μήπως ξέχασες ὅτι μοῦ ἔχεις δώσει λόγο νά μέ ὑπακούσεις σ᾿ ὅ,τι κι ἄν σοῦ πῶ; Πάρτα λοιπόν αὐτά, πήγαινε στό κελί σου καί προσευχόμενος νά τρῶς ἕνα ψωμί, μιά λίτρα κρέας καί νά πίνεις ἕνα ξέστη κρασί καθημερινά. Καί μετά δέκα μέρες ἔλα πάλι ἐδῶ». Ὁ μοναχός τά ἄκουσε ἀλλά δέν τολμοῦσε νά φέρει ἀντίρρηση· τά πῆρε καί ἔφυγε κλαίγοντας καί στενοχωρημένος γιά τό γεγονός καί συλλογιζόταν: Ἀπό ποιά μέτρα νηστείας σέ τί κατήντησα. Νά τό κάνω; Νά μήν τό κάνω; Ἐάν δέν τό κάνω, θά ρθῶ ἀντιμέτωπος μέ τόν Θεό, γιατί ἔδωσα λόγο καί μάλιστα πώς, ὅτι-

ἐὰν εἴπῃ μοι, ὡς ἀπὸ Θεοῦ δέχομαι. Καὶ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὴν ταπείνωσίν μου καὶ ἐλέησόν με συγχωρῶν τὰς ἁμαρτίας μου, ὅτι ἰδοὺ νῦν ἀναγκάζομαι πρᾶξαι παρὰ πρόθεσιν ἣν εἶχον τῆς ἐγκρατείας μου. Καὶ οὕτω δακρύων ἦλθεν εἰς τὴν κέλλαν καὶ ἐποίησε καθὼς ἐνετείλατο αὐτῷ ὁ Γέρων· σφοδροτέρᾳ δὲ μᾶλλον τῇ εὐχῇ ἐκέχρητο καὶ ἐν τῷ μέλλειν αὐτὸν ἐσθίειν ἔβρεχε τοῖς δάκρυσι ταῦτα τὰ ἐντυγχάνοντα καὶ ἔλεγε· Κύριε, ἐγκατέλιπές με;

Οὕτως οὖν ὁ Θεὸς προσέχων τῇ μετανοίᾳ αὐτοῦ καὶ τῇ ταπεινώσει ἔδωκε παράκλησιν εἰς τὴν καρδίαν αὐτοῦ· καὶ εἰς ἐπίγνωσιν τῆς αἰτίας ἐλθών, δι' ἣν συνέβη αὐτῷ ἀδιαφορῆσαι, ὡς ἐνόμιζεν, εὐχαρίστησε τῷ Θεῷ καὶ ἀνθωμολογεῖτο τὸ προφητικὸν λόγιον, ὅτι πᾶσα δικαιοσύνη ἀνθρώπου ὡς ῥάκος ἀποκαθημένης καὶ τὸ ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Οὕτως ἐπανέρχεται πρὸς τὸν Γέροντα καταπεπονημένος τῷ σώματι καὶ ἐκτετρυχωμένος πλεῖον ἢ ὅτε τὰς ἑβδομάδας διετέλει ἄσιτος. Ἰδὼν δὲ αὐτὸν ὁ Γέρων οὕτω ταπεινωθέντα, φαιδρῷ τῷ προσώπῳ ὑπεδέξατο αὐτόν· καὶ ποιήσαντες εὐχὴν ἐκάθισαν σιωπῶντες. Εἶτα λέγει ὁ Γέρων· Τέκνον, ὁ φιλάνθρωπος Θεὸς ἐπεσκέψατό σε καὶ οὐκ εἴασε τὸν ἐχθρὸν κατακυριεῦσαί σου· ἀεὶ γὰρ ὡς δι' εὐλογοφανῶν αἰτιῶν εἴωθε τοὺς τὴν ἀρετὴν μετιόντας ἀπατᾶν καὶ εἰς τὸ τῆς οἰήσεως φρόνημα φέρειν· ἀναγκάζεται τούτους καὶ προτρέπεται μέτρα μεγάλα ἐπιχειρεῖν κατορθωμάτων, ἵνα οὕτως αὐτοὺς κατενέγκῃ. Οὐδὲν γὰρ παρὰ τῷ Θεῷ ἁμαρτίας πάθους οὕτω βδελυκτὸν ὡς τὸ τῆς ὑπερηφανίας· καὶ οὐδὲν παρ' αὐτῷ κατόρθωμα τίμιον ὡς

---

161. Ἠσ. 64, 6. 162. Ψαλμ. 126, 1.

δήποτε κι ἄν μοῦ πεῖ, θά τό δεχθῶ ὡσάν ἀπό τόν Θεό. Καί τώρα, Κύριε, ἐπίβλεψε στήν ἀθλιότητά μου καί ἐλέησέ με συγχωρώντας τίς ἁμαρτίες μου, γιατί, νά, ἀναγκάζομαι νά κάνω ἀντίθετα στήν πρόθεση τῆς ἐγκρατείας πού εἶχα». Καί ἔτσι χύνοντας δάκρυα γύρισε στό κελί του καί συμμορφώθηκε μέ τήν ἐντολή τοῦ Γέροντα. Τώρα ἡ προσευχή του ἔγινε πιό ἔντονη καί ὅταν ἐπρόκειτο νά φάει, ἔβρεχε μέ δάκρυα αὐτά πού ἦταν νά φάει καί ἔλεγε: «Κύριε, μέ ἐγκατέλειψες;»

Ἔτσι λοιπόν ὁ Θεός βλέποντας τή μετάνοια καί τήν ταπείνωσή του, τοῦ παρηγόρησε τήν καρδιά καί ἀφοῦ συνειδητοποίησε γιά ποιόν λόγο τοῦ συνέβη νά ξεπέσει, ὅπως νόμιζε, εὐχαρίστησε τόν Θεό καί διεκήρυσσε τό προφητικό ρητό ὅτι «ὅλη ἡ ἀρετή τοῦ ἀνθρώπου εἶναι σάν ἕνα βρωμερό κουρέλι[161]». Ἐπίσης καί τό «ἄν ὁ Κύριος δέν οἰκοδομήσει τήν οἰκία καί δέν φυλάξει τήν πόλη, μάταια ἀγρυπνεῖ ὁ φρουρός της[162]».

Ἐπανέρχεται λοιπόν στόν Γέροντα ἐξαντλημένος στό σῶμα καί ταλαιπωρημένος περισσότερο ἀπ' ὅ,τι ὅταν ἔμενε νηστικός ὅλη τή διάρκεια τῆς ἑβδομάδος. Ὅταν τόν ἀντίκρυσε ὁ Γέροντας τόσο ταπεινωμένο, τόν ὑποδέχθηκε μέ χαρούμενη ὄψη καί ἀφοῦ προσευχήθηκαν, κάθισαν σιωπηλοί. Ἔπειτα λέει ὁ Γέροντας: «Παιδί μου, ὁ φιλάνθρωπος Θεός σέ ἐπισκέφθηκε· καί δέν ἄφησε τόν ἐχθρό νά σέ κατακυριεύσει. Γιατί αὐτός πάντοτε μέ αἰτίες πού ἐκ πρώτης ὄψεως φαίνονται εὔλογες, συνηθίζει ἐκείνους, πού ἀγωνίζονται νά γίνουν ἐνάρετοι, νά τούς ἐξαπατᾶ καί νά τούς ὁδηγεῖ στήν οἴηση, στό νά ἔχουν δηλαδή μεγάλη ἰδέα γιά τόν ἑαυτό τους. Χρησιμοποιώντας βία τούς προτρέπει νά ἐπιχειρήσουν κατορθώματα, πού ταιριάζουν σέ ὑψηλά μέτρα ἀρετῆς, ὥστε μέ τόν τρόπο αὐτό νά τούς ρίξει. Γιατί γιά τόν Θεό κανένα πάθημα ἁμαρτωλό δέν εἶναι τόσο σιχαμερό ὅσο τῆς ὑπερηφάνειας· καί κανένα κατόρθωμα δέν εἶναι γιά τόν Θεό πιό

τὸ τῆς ταπεινώσεως. Καὶ ὅρα ἀμφοτέρων ἐκ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου τὰ παραδείγματα.

Αἱ ἀκρότητες τοίνυν οὕτως ἐπισφαλεῖς τῶν ἑκατέρων μερῶν· καὶ γάρ τις τῶν Γερόντων φησὶν ὅτι τὰ ὑπέρμετρα τῶν δαιμόνων ἐστίν. Ὁδῷ οὖν βασιλικῇ πορεύου κατὰ τὴν θείαν Γραφὴν καὶ μὴ ἐκκλίνῃς δεξιὰ ἢ ἀριστερά, ἀλλὰ μεσότητι κέχρησο. Ἐν τῇ μεταλήψει μέτρῳ ἐσθίων τὸ καθ' ἑσπέραν. Εἰ δὲ γένηται χρεία, ἀδιακρίτως μετέρχου τὸν καιρόν· κἂν διὰ πάθος ἢ δι' ἄλλην τινὰ αἰτίαν λῦσαι δέῃ τὴν ὡρισμένην ὥραν κἄν τε πάλιν μεταλαμβάνειν σε γένηται παρ' ἡμέραν, μὴ διακριθῇς· οὐ γὰρ ὑπὸ νόμον ἀλλ' ὑπὸ Χάριν ἐσμέν. Ἐσθίων δὲ μήν, μὴ θέλε κορέννυσθαι, ἀλλ' ἔπεχε σεαυτὸν εἰς ἐγκράτειαν, μάλιστα δὲ ἀπὸ τῶν λιχνοτάτων βρωμάτων· τὰ εὐτελέστερα δὲ ἀσπάζου πάντοτε.

Καὶ τὴν καρδίαν σου τήρησον πάντως ἀσκῶν τὴν ταπεινοφροσύνην· θυσία γὰρ τῷ Θεῷ, ὥς φησιν ὁ Προφήτης, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Καὶ πάλιν αὐτὸς ὁ ἅγιος Δαβίδ φησιν· Ἐταπεινώθην καὶ ἔσωσέ με. Καὶ διὰ τοῦ προφήτου Ἠσαΐου φησὶν ὁ Κύριος· Ἐπὶ τίνα ἀναπαύσωμαι, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους. Πᾶσαν οὖν τὴν ἐλπίδα σου, τέκνον, ἐπίρριψον ἐπὶ Κύριον καὶ πορεύου ἐν εἰρήνῃ τὴν ὁδόν σου. Καὶ αὐτὸς ποιήσει καὶ ἐξοίσει

163. Βλ. ἀπόφθ. 93 σελ. 1[illegible]9, ὑποσημ. 74 καί ἀπόφθ. 115 σελ. 121.
164. Ρωμ. 6, 14. 165. Ψαλμ. 50, 19. 166. Ψαλμ. 114, 6.

ἔντιμο ὅσο τῆς ταπείνωσης. Βεβαιώσου καί γιά τά δυό ἀπό τά παραδείγματα τοῦ Φαρισαίου καί τοῦ τελώνη.

Οἱ ἀκρότητες λοιπόν καί πρός τά δύο μέρη εἶναι πολύ ἐπικίνδυνες· κάποιος μάλιστα ἀπό τούς Γέροντες τονίζει ὅτι οἱ ὑπερβολές ὑπαγορεύονται ἀπό τούς δαίμονες. Βάδιζε λοιπόν τήν βασιλική ὁδό σύμφωνα μέ τήν ἁγία Γραφή[163] καί μή ξεκλίνεις δεξιά ἤ ἀριστερά, ἀλλά νά χρησιμοποιεῖς τή μεσότητα. Σχετικά μέ τό φαγητό: νά τρῶς μέ μέτρο κάθε ἀπόγευμα. Καί ἄν παρουσιασθεῖ κάποια ἀνάγκη, νά ἀντιμετωπίζεις τήν περίσταση χωρίς λογισμούς ἀμφιβολίας· ἄν χρειαστεῖ εἴτε ἀπό ἀρρώστια εἴτε ἀπό κάποια ἄλλη αἰτία νά μήν τηρήσεις τήν ὁρισμένη ὥρα φαγητοῦ, ὅπως καί ἄν κάποια φορά ἔρθουν ἔτσι τά πράγματα ὥστε νά παίρνεις τροφή μέρα παρά μέρα, μή διστάσεις· γιατί δέν εἴμαστε κάτω ἀπό τήν κυριαρχία τοῦ νόμου ἀλλά στόν χῶρο τῆς Χάριτος[164]. Ὅταν τρῶς βέβαια μήν ἐπιδιώκεις τόν χορτασμό, ἀλλά νά ἀσκεῖς τόν ἑαυτό σου στήν ἐγκράτεια καί προπαντός ἀπό τά πιό γευστικά φαγητά. Καί νά ἐπιζητεῖς πάντοτε τά πιό φτωχικά.

Τήν καρδιά σου φύλαξέ την ἐξάπαντος ἀσκώντας τήν ταπεινοφροσύνη. Γιατί θυσία γιά τόν Θεό, ὅπως λέει ὁ Προφήτης, εὐπρόσδεκτη εἶναι τό πνεῦμα πού ἔχει συντριβεῖ μέ τή μετάνοια· καί τήν καρδιά τήν συντριμμένη καί ταπεινωμένη δέν θά τήν ἀπορρίψει ποτέ ὁ Θεός[165]. Καί πάλι ὁ ἅγιος Δαβίδ ὁ ἴδιος λέει: Ταπεινώθηκα καί μ' ἔσωσε[166]. Καί μέ τόν προφήτη Ἠσαΐα λέει ὁ Κύριος: Σέ ποιόν θά ἀναπαυθεῖ τό πνεῦμα μου, παρά στόν πράο ἄνθρωπο, στόν ἥσυχο καί σ' ἐκεῖνον πού ἀπό σεβασμό τρέμει τούς λόγους μου[167]!

Στήριξε λοιπόν, παιδί μου, ὅλη σου τήν ἐλπίδα πάνω στόν Κύριο[168] καί βάδιζε εἰρηνικά τόν δρόμο σου. Καί θά

167. Ἠσ. 66, 2. 168. Ψαλμ. 72, 28 καί 36, 5.

ὡς φῶς τὴν δικαιοσύνην σου καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν.

Οὕτως οὖν ὠφελήσας τὸν ἀδελφὸν καὶ στηρίξας καὶ τοῖς εὑρεθεῖσιν εὐωχηθεὶς μετ' αὐτοῦ, ἀπέλυσεν ἀγαλλιῶντα ἐν Κυρίῳ. Καὶ οὗτος πορευόμενος ἔλεγεν· Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου· καί, παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με· καὶ τό, παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με. Καὶ πρὸς ἑαυτόν φησιν· Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε καὶ τὰ ἑξῆς. Καὶ οὕτως ἐλθὼν ἐν τῷ κελλίῳ ἐβίωσε κατὰ τὰς ὑποθήκας τοῦ Γέροντος, μετὰ ταπεινώσεως καὶ κατανύξεως διατελῶν τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ, ἕως ἔφθασεν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

278. Ἠρωτήθη Γέρων· Τί ἐστιν ἡ ζωὴ τοῦ μοναχοῦ; Καὶ ἀπεκρίθη· Στόμα ἀληθές, σῶμα ἁγνόν, καρδία καθαρά.

279. Ἔλεγε Γέρων ὅτι· Οἱ Πατέρες τῇ ἀποτομίᾳ εἰσῆλθον ἔσω· ἡμεῖς δέ, ἐὰν δυνηθῶμεν, τῇ χρηστότητι εἰσέλθωμεν.

280. Ἔλεγε Γέρων περὶ τοῦ Μωυσῆ ὅτι ὅτε ἐπάταξε τὸν Αἰγύπτιον, προσέσχεν ὧδε καὶ ὧδε καὶ οὐδένα ἔβλεπε, τοῦτ'

169. Ψαλμ. 36, 6.

170. Ψαλμ. 118, 79. Ἐδῶ ὁ μοναχός ἐφαρμόζει τό ρητό στήν περίπτωσή του.

φανερώσει αὐτός τήν ἀρετή σου σάν φῶς, καί τήν κρίση του γιά τό δίκαιό σου ἀστραφτερή σάν κάτω ἀπό τόν μεσημεριάτικο ἥλιο[169]».

Μ' αὐτούς τούς τρόπους λοιπόν βοήθησε τόν ἀδελφό καί τόν στήριξε καί ἀφοῦ ἀπόλαυσε μαζί του τά βρισκούμενα, τόν εὐλόγησε νά ἀποχωρήσει πλημμυρισμένο μέ τήν ἐν Κυρίῳ ἀγαλλίαση. Καί ὁ ἀδελφός λοιπόν καθώς βάδιζε, μονολογοῦσε: Ἄς μέ ὁδηγήσουν σέ ἐπιστροφή αὐτοί οἱ ὁποῖοι σέ φοβοῦνται καί γνωρίζουν τίς ἐντολές σου[170]. Μέ δοκιμασίες μέ παιδαγώγησε ὁ Κύριος, δέν μέ παρέδωσε ὅμως στόν θάνατο[171]. Θά μέ παιδαγωγήσει ὁ δίκαιος μέ συμπάθεια καί θά μέ ἐλέγξει[172]. Γύρνα, ψυχή μου, στόν τόπο τῆς ἀναπαύσεώς σου, γιατί ὁ Κύριος σέ εὐεργέτησε κλπ.

Καί ἀφοῦ ἐπέστρεψε ἔτσι στό κελί του, ἔζησε σύμφωνα μέ τίς συμβουλές τοῦ Γέροντα μέ ταπείνωση καί κατάνυξη σ' ὅλη τή διάρκεια τῆς ζωῆς του, ἕως ὅτου ἔφθασε στήν τελειότητα πού μέτρο της εἶναι ὁ Χριστός[173].

278. Ρώτησαν Γέροντα: «Ποιά εἶναι ἡ ζωή τοῦ μοναχοῦ;» Καί ἀποκρίθηκε: «Στόμα ἀληθινό, σῶμα ἁγνό καί καρδιά καθαρή».

279. Ἔλεγε ἄλλος Γέροντας: «Οἱ Πατέρες μέ τήν ἀπόλυτη αὐστηρότητα μπῆκαν μέσα[174] (στή Βασιλεία τοῦ Θεοῦ). Καί μεῖς ἐάν μπορέσουμε, ἄς μποῦμε μέ τήν ἀγαθή διάθεση τῆς καρδιᾶς καί τήν ἀρετή».

280. Ἔλεγε ἕνας Γέροντας γιά τόν Μωυσῆ ὅτι ὅταν χτύπησε τόν Αἰγύπτιο[175], κοίταξε πιό πρίν ἀπό δῶ κι ἀπό κεῖ

171. Ψαλμ. 117, 18. 172. Ψαλμ. 140, 5. 173. Ἐφ. 4, 13.

174. Πρβλ. Ρωμ. 11, 22. 175. 2, 12.

ἔστιν τοῖς λογισμοῖς αὐτοῦ. Καὶ εἰδὼς ὅτι οὐδὲν κακὸν βλέπει ἑαυτὸν ποιοῦντα, ἀλλὰ διὰ τὸν Θεὸν ἣν ποιῶν, καὶ οὕτως ἐπάταξε τὸν Αἰγύπτιον.

281. Ἔλεγε Γέρων περὶ τοῦ ῥητοῦ τοῦ ἐν τῷ ψαλμῷ· Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ, τοῦτ' ἔστι περὶ τοῦ Σωτῆρος. Ἡ ἀριστερὰ αὐτοῦ ἐπὶ τὴν θάλασσαν, τοῦτ' ἔστι τὸν κόσμον. Τὸ δὲ ἐν ποταμοῖς τὴν δεξιὰν αὐτοῦ, οὗτοί εἰσιν οἱ Ἀπόστολοι οἱ ποτίζοντες τὸν κόσμον διὰ τῆς πίστεως.

282. Εἶπέ τις τῶν Πατέρων· Τὸ καθαρὸν ζῷον, φησίν, ἀναμηρυκᾶται τὴν τροφὴν καὶ διώνυχόν ἐστιν. Οὕτω καὶ ὁ ἄνθρωπος ὁ καλῶς πιστεύων καὶ δεχόμενος τὰς δύο διαθήκας, ὥσπερ ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ εὑρίσκομεν, ἐν δὲ ταῖς αἱρέσεσι διαφόρως ἐλλείπων. Ὀφείλει δὲ ὁ ἄνθρωπος τὴν μὲν καλὴν τροφὴν ἀναμηρυκᾶσθαι, τὴν δὲ φαύλην οὐχί. Ἔστι δὲ ἡ ἐπωφελὴς τροφὴ λογισμοὶ ἀγαθοί, παράδοσις διδασκάλων ἁγίων καὶ εἴ τι ἕτερον. Ἡ δὲ πονηρὰ τροφὴ λογισμοὶ φαῦλοι ἐν διαφόροις ἁμαρτήμασι καὶ σφάλμασιν ἀνθρώπων.

283. Εἶπε Γέρων ὅτι· Ἐὰν ῥῆμα ἀνέλθῃ ἐπὶ καρδίαν ἀδελφοῦ καθημένου ἐν τῷ κελλίῳ, καὶ ἐπιδράμῃ τῷ ῥήματι μὴ φθάσας εἰς τὸ μέτρον μηδὲ ὑπὸ Θεοῦ ἑλκόμενος, ἵστανται οἱ δαίμονες καὶ δεικνύουσιν αὐτῷ τὸ ῥητόν, ὡς βούλεται.

176. Ψαλμ. 88, 26.

177. Λευϊτ. 11, 1 κ.έ.

καί δέν εἶδε κανένα· δηλαδή (κοίταξε) τούς λογισμούς του καί ἡ συνείδησή του καθόλου δέν τοῦ καταμαρτυροῦσε ὅτι κάνει κάτι κακό· ἴσα ἴσα ἀπό ἀγάπη γιά τόν Θεό ἐνεργοῦσε καί ἔτσι χτύπησε τόν Αἰγύπτιο».

281. Σχετικά μέ τό ρητό τοῦ ψαλμοῦ: «Καί θά ἐπιβάλω τήν ἐξουσία του στή θάλασσα καί τήν κυριαρχία του στά ποτάμια[176]» εἶπε κάποιος Γέροντας ὅτι ἀναφέρεται στόν Σωτήρα. Μέ τή φράση «τήν ἐξουσία του στή θάλασσα» ἐννοεῖ τόν κόσμο. Καί μέ τήν φράση «τήν κυριαρχία του στά ποτάμια» ἐννοεῖ τούς Ἀποστόλους οἱ ὁποῖοι πότισαν τόν κόσμο διά τῆς πίστεως».

282. Κάποιος ἀπό τούς Πατέρες εἶπε: «Τό καθαρό ζῶο —λέει ἡ Γραφή— εἶναι αὐτό πού ἀναμασᾶ τήν τροφή του καί τό πέλμα τῶν ποδιῶν του[177] καταλήγει σέ δύο ὁπλές. Ἔτσι εἶναι καί ὁ ἄνθρωπος ὁ ὁποῖος πιστεύει σωστά καί δέχεται τίς δυό Διαθῆκες, ὅπως τίς ἔχει ἡ Ἐκκλησία μας, ἐνῶ τίς αἱρέσεις τίς ἀπορρίπτει. Καί ὀφείλει ὁ ἄνθρωπος τήν καλή τροφή νά τήν ἀναμασᾶ, ὄχι ὅμως τήν κακή.

Καί τροφή πού ὠφελεῖ εἶναι οἱ ἀγαθοί λογισμοί, ὅσα μᾶς παρέδωσαν ἅγιοι διδάσκαλοι καί ὅ,τι ἄλλο σχετικό. Ἐνῶ ἡ κακή τροφή εἶναι οἱ ἄθλιοι λογισμοί πού ἔχουν σχέση μέ τά διάφορα ἁμαρτήματα καί μέ τά σφάλματα τῶν ἄλλων ἀνθρώπων».

283. Εἶπε Γέροντας: «Ἐάν ἐμφανισθεῖ ξαφνικά στήν καρδιά ἀδελφοῦ πού ζεῖ σέ κελί κάποιος λόγος ἱερός καί δοθεῖ στόν λόγο αὐτό, ἐνῶ δέν ἔχει φθάσει σέ ἀνάλογα μέτρα, κι οὔτε ἕλκεται ἀπό τόν Θεό σ' αὐτό, στέκονται οἱ δαίμονες καί τοῦ παρουσιάζουν τό ρητό ἔτσι πού νά συμφωνεῖ μέ τό θέλημά του».

284. Ἀδελφὸς ἠρώτησε· Τί ἐστιν ἡ γεωργία τῆς ψυχῆς, ἵνα καρποφορήσῃ; Καὶ ἀπεκρίθη ὁ Γέρων· Ἡ γεωργία τῆς ψυχῆς ἐστιν ἡ ἡσυχία τοῦ σώματος καὶ πολλὴ εὐχὴ σωματικὴ καὶ τὸ μὴ προσέχειν πταίσμασιν ἀνθρώπων ἀλλὰ τοῖς ἑαυτοῦ μόνοις· ἐὰν ὁ ἄνθρωπος ὑπομείνῃ ἐν τούτοις, οὐ χρονίζει, ἕως οὗ καρποφορεῖ αὐτοῦ ἡ ψυχή.

285. Εἶπε Γέρων· Πολλοὶ τῶν μοναχῶν ἐσκόρπισαν χρήματα, κατέλιπόν τε πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ συγγενεῖς διὰ τὰς ἑαυτῶν ἁμαρτίας. Εἰσελθόντες δὲ ἐν κοινοβίῳ τὰς μὲν μεγάλας ἀρετὰς κατώρθωσαν, ὑπὸ δὲ τῶν ἐλαχίστων καὶ μηδαμινῶν σκελισθέντες γεγόνασι δαιμόνων ἐπίχαρμα, διὰ τὸ περιτυπώσασθαι ἑαυτοῖς πήρας καὶ ἄρκλας ἐχούσας ἐν αὐταῖς ὀπώρας καὶ τραγήματα, βελόνας καὶ ψαλίδας καὶ σμίλας καὶ ζώνας· οἵτινες ὡς φίλαυτοι ὑπὸ τῶν ὀρθὰ φρονεῖν εἰωθότων πέλουσιν, κατὰ δὲ τὴν θείαν Γραφὴν ὡς κατηραμένοι εἰς τὸ ἐξώτερον σκότος πέμπονται. Ἐπικατάρατος γάρ, φησίν, ὁ μετατιθεὶς ὅρους Πατέρων· τῆς γὰρ μερίδος Ἰαννῆ καὶ Ἀνανίου καὶ Σαπφείρας ἀξιωθήσονται, ὡς μύσται καὶ συμμέτοχοι.

---

178. Μέ τίς λ. τοῦ ἀρχαίου κειμένου «εὐχή σωματική» ἐννοεῖ τήν προσευχή στήν ὁποία συμμετέχει καί τό σῶμα τοῦ ἀνθρώπου π.χ. μέ τήν ὀρθοστασία, μέ τίς μετάνοιες, μέ τή γονυκλισία, μέ τήν ἀγρυπνία κλπ., διότι ὁ ἄνθρωπος ἀποτελεῖ μία ἑνιαία ψυχοσωματική ὑπόσταση: Ἄρα κατά τήν ἐπικοινωνία μέ τόν Θεό πρέπει νά συμμετέχει καί νά προσφέρεται στόν Θεό ὁ ὅλος ἄνθρωπος.

179. (ὑπο)σκελίζομαι = πεδικλώνομαι, πέφτω ἀπό τρικλοποδιά.

180. Ἀπό τό σημεῖο αὐτό μέχρι τό τέλος τοῦ ἀποφθ. οἱ δύο παλαιότεροι κώδικες πού χρησιμοποιοῦμε, ὁ 108 καί 127, εἶναι φθαρμένοι. Ὁ σιναϊτικός κώδ. 454 μᾶς δίνει τή συνέχεια, τήν ὁποία καί παραθέτουμε.

181. Ματθ. 8, 12· 22, 13.

284. Ἀδελφός ρώτησε: «Ποιά εἶναι ἡ καλλιέργεια πού πρέπει νά γίνει στήν ψυχή, γιά νά φέρει καρπό;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ἡ καλλιέργεια τῆς ψυχῆς εἶναι ἡ ἤρεμη ζωή, πολλή προσευχή μέ κόπο σωματικό[178] καί νά μήν ἔχουμε στραμμένη τήν προσοχή μας στά σφάλματα τῶν ἄλλων, ἀλλά μόνο στά δικά μας. Ἐάν τά κάνει αὐτά ὁ ἄνθρωπος ὑπομονητικά καί σταθερά, δέν ἀργεῖ νά ρθεῖ ἡ καρποφορία στήν ψυχή».

285. Εἶπε Γέροντας: «Πολλοί μοναχοί, προκειμένου νά ἀποταχθοῦν τόν κόσμο, σκόρπισαν χρήματα, ἐγκατέλειψαν πατέρα, μητέρα, ἀδέλφια καί συγγενεῖς γιά νά βροῦν ἔλεος ἀπό τόν Θεό γιά τίς ἁμαρτίες τους. Ἐντάχθηκαν σέ κοινόβιο καί πέτυχαν τίς μεγάλες μοναχικές ἀρετές, ἀλλά ἀπό πολύ μικρά καί ἀσήμαντα πεδικλώθηκαν[179] καί ἔγιναν ἀντικείμενο χαιρεκακίας τῶν δαιμόνων[180]· καί ὁ λόγος ἦταν γιατί ἤθελαν νά περιβάλλονται ἀπό ταγάρια καί κιβώτια γεμάτα φροῦτα, ξηρούς καρπούς, βελόνες καί ψαλίδια, κλαδευτήρια καί ζῶνες. Αὐτούς τούς τύπους οἱ ἄνθρωποι πού ὀρθοφρονοῦν τούς χαρακτηρίζουν ὡς φίλαυτους. Καί, ὅπως λέει ἡ Γραφή, ὡς καταραμένοι στέλνονται στό σκοτάδι, ἔξω ἀπό τή Βασιλεία τοῦ Θεοῦ[181]. Καταραμένος ἐπίσης —λέει ἡ Γραφή— ἐκεῖνος πού διασαλεύει τούς ὅρους τῶν Πατέρων[182]· καί θά εἶναι ἄξιοι νά ἔχουν τό τέλος τοῦ Ἰαννῆ[183], τοῦ Ἀνανία καί τῆς Σαπφείρας[184] ὡς μυημένοι σ' αὐτά καί συνένοχοι».

---

182. Πρβλ. Δευτ. 27, 17.

183. Β΄ Τιμ. 3, 8. Πρόκειται γιά ἕναν ἀπό τούς μάγους στήν Αἴγυπτο πού ἀντιστάθηκαν στόν Μωυσῆ. Κατά τόν Θεοδώρητο τά ὀνόματα Ἰαννῆς καί Ἰαμβρῆς τά γνώριζε ὁ ἀπ. Παῦλος ἀπό τήν ἄγραφη διδασκαλία τῶν Ἰουδαίων (Π. Τρεμπέλας).

184. Πράξ. 5, 1-11.

286. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων περὶ τοῦ λογισμοῦ τῆς βλασφημίας λέγων· Θλίβεται ἡ ψυχή μου, ἀββᾶ, ἀπὸ τοῦ λογισμοῦ τῆς βλασφημίας· ἀλλὰ ποίησον ἔλεος· εἰπέ, πόθεν συνέβη μοι, καὶ τί ποιήσω;

Ἀπεκρίθη ὁ Γέρων καὶ εἶπεν· Ὁ τῆς βλασφημίας λογισμὸς ἐπισυμβαίνει ἡμῖν ἐκ τοῦ καταλαλεῖν καὶ ἐξουθενεῖν καὶ ἐκ τοῦ κατακρίνειν. Μᾶλλον δὲ δι᾽ ὑπερηφανίαν καὶ ἐκ τοῦ ποιεῖν τινα τὰ θελήματα αὐτοῦ καὶ ἀμελεῖν τῆς προσευχῆς καὶ ἐκ τοῦ ὀργίζεσθαι καὶ θυμοῦσθαι· ἅπερ πάντα σημεῖά ἐστιν ὑπερηφανίας, ἥτις παρασκευάζει ἡμᾶς ἐν τοῖς προλεχθεῖσι πάθεσι ἐμπεσεῖν τῆς καταλαλιᾶς καὶ ἐξουδενώσεως καὶ κατακρίσεως. Κἀκεῖθεν ὁ τῆς βλασφημίας γεννᾶται λογισμός. Ἐὰν οὖν χρονίσῃ ἐν τῇ ψυχῇ, παραδίδωσιν αὐτὸν ὁ δαίμων τῆς βλασφημίας εἰς τὸν τῆς πορνείας δαίμονα καὶ εἰς ἔκστασιν φρενῶν· καὶ εἰ μὴ ἀνανήψῃ ἄνθρωπος, ἀπόλλυται.

287. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πάτερ, τί αἰνίσσεται ὁ προφήτης λέγων· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ; Καὶ εἶπεν ὁ Γέρων· Τοὺς ἀκαθάρτους λογισμοὺς αἰνίσσεται τοὺς ἀποστασιάζοντας ἀπὸ τοῦ Θεοῦ τὴν ψυχήν, ὅταν ἐν θλίψει γένηται τῶν συμβαινόντων.

288. Εἶπε Γέρων· Χρὴ φυγεῖν ἀπὸ πάντων τῶν ἐργαζομένων τὴν ἀνομίαν, κἂν φίλοι ἢ συγγενεῖς ὑπάρχωσι, κἂν ἀξίωμα ἱερέων ἢ βασιλέων κέκτηνται. Ἡ γὰρ τῶν ἐργαζομένων

185. Ἐννοεῖται ὁ Δαβίδ (Ψαλμ. 3, 3).

286. Ἀδελφός ρώτησε κάποιον ἀπό τούς Πατέρες σχετικά μέ τόν λογισμό τῆς βλασφημίας: «Ἀββᾶ, —τοῦ εἶπε— ἔχω θλίψη στήν ψυχή μου ἀπό τόν λογισμό τῆς βλασφημίας. Λυπήσου με καί πές μου ποιά εἶναι ἡ αἰτία πού μοῦ συνέβη αὐτό καί τί νά κάνω;»

«Ὁ λογισμός τῆς βλασφημίας —ἀποκρίθηκε ὁ Γέροντας— μᾶς ἔρχεται, ἐπειδή κακολογοῦμε, ἐπειδή ἐξουθενώνουμε τόν ἄλλον καί τόν κατακρίνουμε. Βασικότερη ὅμως αἰτία εἶναι ἡ ὑπερηφάνεια, καί τό ὅτι κάνει κανείς τά θελήματά του, ἀμελεῖ τήν προσευχή καί παρασύρεται στήν ὀργή καί τόν θυμό, καί ὅλα αὐτά εἶναι ἔνδειξη τῆς ὑπερηφάνειας μας, ἡ ὁποία ἀνοίγει τόν δρόμο γιά νά πέσουμε στά πάθη πού ἀναφέραμε προηγουμένως, τῆς καταλαλιᾶς, τῆς περιφρόνησης τῶν ἄλλων καί τῆς κατάκρισης.

Ἀπ᾽ αὐτά γεννιέται ὁ λογισμός τῆς βλασφημίας. Ἄν λοιπόν χρονίσει στήν ψυχή, ὁ δαίμονας τῆς βλασφημίας τόν παραδίνει στόν δαίμονα τῆς πορνείας καί μπορεῖ νά φθάσει μέχρι τρέλλας. Καί ἄν δέν συνέλθει ὁ ἄνθρωπος, καταστρέφεται».

287. Ἀδελφός ρώτησε Γέροντα: «Πάτερ, τί ὑπονοεῖ μέ τά λόγια αὐτά ὁ προφήτης: Δέν πρόκειται νά τόν σώσει ὁ Θεός του[185];» «Ὑπονοεῖ —εἶπε ὁ Γέροντας— τούς ἀκάθαρτους λογισμούς οἱ ὁποῖοι ἀπομακρύνουν τήν ψυχή ἀπό τόν Θεό, ὅταν θλίβεται γι᾽ αὐτά πού τῆς συμβαίνουν».

288. Εἶπε Γέροντας: «Πρέπει νά ἀπομακρύνεται κανείς ἀπό ὅλους ἐκείνους πού ὑπηρετοῦν τήν ἀνομία[186], κι ἄν ἀκόμη συμβεῖ νά εἶναι φίλοι ἤ συγγενεῖς ἤ ἔχουν τό ἀξίωμα ἱερέως ἤ καί βασιλέως. Ἡ ἀπομάκρυνσή μας ἀπ᾽ αὐτούς πού

186. Πρβλ. Ψαλμ. 5, 5-8· 6, 9-11· 27, 3. Βλ. καί ἀπόφθ. 290.

τὴν ἀνομίαν ἀποστασία, φιλίαν ἡμῖν Θεοῦ καὶ παρρησίαν χαρίζεται.

289. Εἶπε πάλιν ὁ Γέρων· Κρεῖσσον οἰκεῖν μετὰ τριῶν φοβουμένων τὸν Θεὸν ἤπερ μετὰ μυρίων μὴ φοβουμένων αὐτόν. Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις ἐν τοῖς κοινοβίοις εἰς τοὺς ἑκατόν, τὸ πολύ, εὑρεθήσονται ὀλίγοι οἱ σῳζόμενοι· εἰς δὲ τοὺς Κελλιώτας, ὡς λογίζομαι, πάνυ ὀλιγώτεροι. Πάντες γὰρ τραπήσονται φιλοῦντες τραπέζας καὶ τὴν γαστριμαργίαν. Πολλοὶ μὲν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. Φιλοῦσι δὲ πάντες τὴν φιλαρχίαν καὶ τὴν φιλαργυρίαν.

290. Ὁ αὐτὸς εἶπεν· Οὐ συμφέρει μετὰ παρανόμων κολλᾶσθαι, οὐκ ἐν ἐκκλησίᾳ, οὐκ ἐν ἀγορᾷ, οὐκ ἐν βουλῇ, οὐκ εἰς δικαστήριον, οὐδ' ὅλως οὐδὲ ἀλλαχοῦ. Χρὴ γὰρ εἰς τὸ παντελὲς τῆς τῶν παρανομούντων κοινωνίας χωρίζεσθαι. Πᾶς γὰρ παράνομος ἀποστροφῆς ἄξιος καὶ κολάσεως αἰωνίου μέτοχος· παράνομος δὲ πᾶς ὁ ἐντολὴν παραβαίνων Θεοῦ.

291. Εἶπε Γέρων· Οὐδὲν πτωχότερον διανοίας ἐκτὸς τοῦ Θεοῦ φιλοσοφούσης τὰ τοῦ Θεοῦ. Ὀφείλει γὰρ ὁ διδάσκων

187. Ἐδῶ ἡ ἔννοια τῆς παρρησίας χρησιμοποιεῖται μέ τήν καλή της ἔννοια. Ἐκφράζει τό σεμνό θάρρος πού νιώθει ἡ ἁπλή ψυχή τοῦ δικαίου ἐνώπιον τοῦ Θεοῦ.

188. Ἀκολουθήσαμε στό σημεῖο αὐτό τή γραφή τοῦ Κώδ. 127.

Οἱ κώδ. 108 καί 454 δέν κάνουν λόγο γιά τούς Κελλιῶτες, ἀλλά μετά τήν φράση: ὀλίγοι οἱ σῳζόμενοι, συνεχίζουν: εἰς δὲ τοὺς πεντήκοντα λογίζομαι πάνυ ὀλιγώτεροι. Πάντες γὰρ τραπήσονται κλπ.

189. Τά Κελλία ἦταν ἀπομονωμένη περιοχή τῆς Νιτρίας, ὅπου κατέφευγαν

ἐργάζονται τήν ἀνομία, μᾶς χαρίζει τήν φιλία τοῦ Θεοῦ καί τήν παρρησία[187]».

289. Εἶπε ἐπίσης ὁ Γέροντας: «Εἶναι προτιμότερο νά ζεῖς μέ τρεῖς πού ἔχουν φόβο Θεοῦ παρά μέ μύριους πού δέν φοβοῦνται τόν Θεό. Στίς ἔσχατες μέρες, στούς ἑκατό τό πολύ κοινοβιάτες μοναχούς, λίγοι θά σωθοῦν[188]· καί στούς Κελλιῶτες[189] ὅπως λογαριάζω θά εἶναι πολύ λιγότεροι. Ὅλων ἡ ἀγάπη θά στραφεῖ στά τραπεζώματα καί στήν γαστριμαργία. Πολλοί εἶναι οἱ καλεσμένοι, λίγοι ὅμως οἱ ἐκλεκτοί[190]. Ὅλοι ἀγαποῦν νά ἄρχουν καί νά 'χουν χρήματα».

290. Ὁ ἴδιος εἶπε: «Δέν συμφέρει νά ἔχετε σχέσεις μέ ἀνθρώπους πού παραβαίνουν τόν νόμο τοῦ Θεοῦ· οὔτε στήν ἐκκλησία οὔτε στήν ἀγορά οὔτε σέ συμβούλια οὔτε σέ δικαστήριο, καθόλου καί πουθενά. Αὐτό πού ἔχει νά κάνει κανείς εἶναι νά διακόψει ἐντελῶς τήν ἐπικοινωνία μέ αὐτούς πού δέν τηροῦν τόν νόμο τοῦ Θεοῦ. Γιατί κάθε παράνομος εἶναι ἄξιος ἀποστροφῆς καί μέτοχος αἰώνιας κόλασης. Καί παράνομος θεωρεῖται κάθε ἄνθρωπος πού παραβαίνει τίς ἐντολές τοῦ Θεοῦ»[191].

291. Εἶπε Γέροντας: «Δέν ὑπάρχει πιό φτωχό πράγμα ἀπό τό νά διανοεῖται κανείς περί Θεοῦ χωρίς τόν φωτισμό

ἀσκητές πού ἐπιζητοῦσαν ἐντονότερη ἄσκηση καί μεγαλύτερη ἡσυχία. Γιά τίς μορφές τοῦ Αἰγυπτιακοῦ μοναχισμοῦ στήν πρώτη τους ἐμφάνιση βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 22-26.

190. Ματθ. 20, 16.

191. Ἡ ἔννοια ἐδῶ τῶν παρανόμων ἀναφέρεται σέ ἀνθρώπους πού ἐνσυνείδητα καί κατά σύστημα καταπατοῦν καί παραβαίνουν τόν νόμο τοῦ Θεοῦ. Α΄ Κορ. 5, 9-11.

εἴτε ἐν ἐκκλησίᾳ εἴτε ἐν κελλίῳ, ἵνα αὐτὸς ποιήσῃ πρῶτον ἃ λέγει καὶ διδάσκει· τὸν κοπιῶντα γὰρ γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαβεῖν.

292. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πάτερ, πῶς τινες βλέπουσιν ἀποκαλύψεις καὶ ὀπτασίας ἀγγέλων; Καὶ εἶπεν ὁ Γέρων· Μακάριός ἐστι, τέκνον, ὁ βλέπων τὰς ἁμαρτίας αὐτοῦ πάντοτε, ὅτι ὁ τοιοῦτος πάντοτε νήφει.

Καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· Ἐγώ, πάτερ, εἶδον πρὸ ἡμερῶν ἀδελφόν τινα ἐκβαλόντα δαίμονα ἀπὸ ἀδελφοῦ. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Οὐ θέλω δαίμονας ἐκβαλεῖν καὶ πάθη ἰάσασθαι, ἀλλὰ θέλω καὶ παρακαλῶ τὸν Θεόν, ἵνα μὴ εἰσέλθῃ εἰς ἐμὲ δαίμων, ἀλλ᾽ ἵνα καθαρίσω ἑαυτὸν ἀπὸ ἀκαθάρτων λογισμῶν· καὶ ἰδοὺ μέγας γέγονα. Ἐὰν γάρ τις καθαρίσῃ τὴν ἑαυτοῦ καρδίαν ἀπὸ ἀκαθάρτων λογισμῶν καὶ ἀόκνως ἐπιτελέσῃ τὰς ὥρας καὶ τὴν ἀκολουθίαν τοῦ κανόνος αὐτοῦ, δῆλον ὅτι σὺν τοῖς σημειοφόροις πατράσι τῆς Βασιλείας τῶν Οὐρανῶν ἀξιωθήσεται.

293. Διηγήσατό τις τῶν Πατέρων ὅτι ἐν Θεσσαλονίκῃ ὑπῆρχεν ἀσκητήριον παρθένων. Μία δὲ ἐξ αὐτῶν κατ᾽ ἐνέρ-

192. Βλ. καί ἀπόφθ. 168.

193. Πρβλ. Β΄ Τιμ. 2, 6.

Ἐπικρατέστερη ἑρμηνεία τοῦ ἀνωτέρω ἁγιογραφικοῦ χωρίου κατά τούς εἰδικούς εἶναι ὅτι ὁ γεωργός ὀφείλει νά κοπιάσει γιά νά δικαιοῦται πρῶτος νά δοκιμάσει ἀπό τούς καρπούς. Ἐδῶ στό ἀπόφθ. γίνεται χρήση τοῦ χωρίου μέ λιγότερο πιθανή ἔννοια, ἀλλά τήν προσαρμόζει ὁ Γέροντας στό θέμα τοῦ ἀποφθέγματος, ὅτι δηλαδή ὁ διδάσκων τά τοῦ Θεοῦ ὀφείλει πρῶτα νά μαθη-

τοῦ Θεοῦ. Αὐτός δηλαδή πού διδάσκει εἴτε στήν ἐκκλησία εἴτε στό κελί, ὀφείλει πρῶτα ὁ ἴδιος νά ἐκτελέσει αὐτά πού λέει καί διδάσκει[192]. Ὁ γεωργός πού δουλεύει στό χωράφι, πρέπει πρῶτα νά δοκιμάσει τούς καρπούς[193]».

292. Ἀδελφός ρώτησε Γέροντα: «Πάτερ, πῶς μερικοί ἔχουν ἀποκαλύψεις καί βλέπουν ἀγγέλους;» Καί ὁ Γέροντας εἶπε: «Μακάριος, παιδί μου, εἶναι ἐκεῖνος πού πάντοτε βλέπει τίς ἁμαρτίες του· γιατί ὅποιος τό κάνει αὐτό βρίσκεται πάντοτε σέ ἐγρήγορση».

«Ἐγώ, πάτερ —εἶπε ὁ ἀδελφός— εἶδα πρίν ἀπό μερικές μέρες κάποιον ἀδελφό πού ἔβγαλε δαιμόνιο ἀπό ἀδελφό». «Δέν θέλω —ἀποκρίθηκε ὁ Γέροντας— νά βγάλω δαίμονες καί νά γιατρέψω ἀρρώστιες, ἀλλά θέλω καί παρακαλῶ τόν Θεό νά μήν μπεῖ σέ μένα δαίμονας, ἀλλά νά καθαρίσω τόν ἑαυτό μου ἀπό τούς ἀκάθαρτους λογισμούς καί, νά, ἔγινα μέγας.

Γιατί ἄν καθαρίσει κανείς τήν καρδιά του ἀπό ἀκάθαρτους λογισμούς καί ἀκούραστα κάνει τό καθημερινό πρόγραμμα προσευχῆς[194] καί ὅλο τόν κανόνα του, σίγουρα θά ἀξιωθεῖ τῆς Βασιλείας τῶν Οὐρανῶν μαζί μέ τούς Πατέρες πού ἔκαναν θαύματα».

293. Διηγήθηκε κάποιος ἀπό τούς Πατέρες ὅτι στήν Θεσσαλονίκη ὑπῆρχε ἕνα μοναστήρι γυναικεῖο. Μιά λοιπόν

τεύσει ἔμπρακτα στόν νόμο τοῦ Θεοῦ, νά γευθεῖ καί νά βιώσει τούς καρπούς τῆς ἐν Χριστῷ καινῆς κτίσεως, ὥστε ἡ διδασκαλία του νά μήν εἶναι λόγος κενός, στερημένος χάριτος Θεοῦ, καί βλάψει καί τούς ἀκροατές καί τόν ἑαυτό του. Βλ. Π. Τρεμπέλα, *Ὑπόμνημα στίς Ἐπιστολές τῆς Κ. Διαθήκης* Τόμ. Β΄, σελ. 401, Ἔκδ. Θεολόγων «Ὁ Σωτήρ», Ἀθήνα 1979.

194. Σέ τακτές ὧρες σηκώνονταν καί ἔκαναν προσευχή.

γειαν τοῦ κοινοῦ ἐχθροῦ ἐπολεμήθη ἐξελθεῖν τοῦ μοναστηρίου. Ἐξελθοῦσα δὲ ἔπεσε εἰς πορνείαν ὑπὸ τοῦ χλευάσαντος αὐτὴν δαίμονος πρὸς ἔξοδον. Εἰς τοῦτο δὲ πεσοῦσα ἐποίησεν ἱκανὸν χρόνον ἐν τῇ πορνείᾳ· καὶ μεταμεληθεῖσα ὑπὸ τῆς ἀγαθότητος τοῦ Θεοῦ τοῦ συνεργήσαντος αὐτῇ εἰς τὴν μετάνοιαν, ἐλθοῦσα εἰς τὸ κοινόβιον αὐτῆς ἀφ' οὗ μετενόησε, πεσοῦσα πρὸ τοῦ πυλῶνος ἐτελεύτησε.

Καὶ ἀπεκαλύφθη τινὶ τῶν ἁγίων ὁ θάνατος αὐτῆς. Καὶ εἶδε τοὺς ἁγίους ἀγγέλους ἐλθόντας παραλαβεῖν τὴν ψυχὴν αὐτῆς καὶ δαίμονας παρεπομένους αὐτῇ καὶ διάλογον γενόμενον μεταξὺ αὐτῶν· τῶν μὲν ἁγίων ἀγγέλων λεγόντων ὅτι ἐν μετανοίᾳ ἦλθε, τῶν δὲ δαιμόνων λεγόντων ὅτι ἡμῖν δουλεύει τοσοῦτον χρόνον καὶ ἡμετέρα ἐστίν. Ἐπὶ πολὺ οὖν διαλεγομένων αὐτῶν περὶ τούτου, ἔλεγον οἱ δαίμονες ὅτι οὐδὲ ἔφθασεν εἰς τὸ κοινόβιον· πῶς οὖν λέγετε ὅτι μετενόησεν; Ἀπεκρίθησαν οἱ ἄγγελοι καὶ εἶπον ὅτι, ἐξ ὅτου εἶδεν ὁ Θεὸς τὴν πρόθεσιν αὐτῆς εἰς τοῦτο κλίνασαν, προσεδέξατο αὐτῆς τὴν μετάνοιαν. Καὶ τῆς μὲν μετανοίας αὕτη ἐστὶ κυρία, διὰ τοῦ σκοποῦ οὗ προέθετο· τῆς δὲ ζωῆς ὁ πάντων Δεσπότης καὶ Κύριος. Ἐν τούτοις οὖν καταισχυνθέντες ὑπεχώρησαν οἱ δαίμονες.

Ὁ δὲ τὴν ἀποκάλυψιν ἑωρακὼς ἅγιος Γέρων, ὁ καὶ ἐπίσκοπος, διηγήσατο ταῦτα, φησίν, ἐν ᾧ καὶ ἡμεῖς ἠκούσαμεν καὶ ἀπηγγείλαμεν ὑμῖν. Τοῦτο οὖν εἰδότες, ἀδελφοί, πρῶτον ἀσφαλισώμεθα ἑαυτοὺς μετὰ τῆς βοηθείας τοῦ Θεοῦ μηδὲ ἐνδιδόναι τοῖς λογισμοῖς ἐν μηδενὶ ἁμαρτήματι, ἀλλὰ ἀντιλέ-

195. Δηλαδή νά ζήσει στό ἑξῆς στόν τόπο τῆς μετανοίας της, στό κοινόβιό της.

ἀπό τίς μοναχές αὐτές πολεμήθηκε ἀπό ἐνέργεια τοῦ κοινοῦ ἐχθροῦ τῶν ἀνθρώπων νά βγεῖ ἀπό τό μοναστήρι. Βγῆκε λοιπόν καί μέ τήν ἐνέργεια πάλι τοῦ δαίμονα, πού τήν ξεγέλασε νά κάνει τήν ἔξοδο, ἔπεσε στήν πορνεία καί ἔκανε μάλιστα ἀρκετό χρόνο στό ἁμάρτημα αὐτό. Κάποτε ὅμως ἡ ἀγαθότητα τοῦ Θεοῦ συνήργησε γιά τή μετάνοιά της καί μεταμελήθηκε. Γύρισε στό κοινόβιό της μετανοημένη ἀλλά ἔπεσε μπροστά στήν πύλη τῆς Μονῆς καί ἐξέπνευσε.

Ὁ θάνατός της ἀποκαλύφθηκε σέ κάποιον ἅγιο ἄνθρωπο. Εἶδε δηλαδή αὐτός τούς ἀγγέλους πού ἦρθαν νά παραλάβουν τήν ψυχή της καί τούς δαίμονες πού τήν ἀκολουθοῦσαν ἀπό πίσω. Καί γινόταν διάλογος μεταξύ τους. Οἱ ἅγιοι ἄγγελοι ἔλεγαν «μετανοημένη ἦρθε», ἐνῶ οἱ δαίμονες ἔλεγαν «τόσον καιρό σ' ἐμᾶς ὑπηρετοῦσε, ἑπομένως εἶναι δική μας». Ἀφοῦ κράτησε πολλή ὥρα ὁ διάλογός τους γύρω ἀπό τό θέμα αὐτό, οἱ δαίμονες εἶπαν: «Μά, οὔτε πρόλαβε νά μπεῖ στό κοινόβιο· πῶς λοιπόν λέτε ὅτι μετανόησε;» Καί οἱ ἄγγελοι ἀποκρίθηκαν καί εἶπαν: «Ἀπό τή στιγμή πού εἶδε ὁ Θεός ὅτι ἡ πρόθεσή της προσανατολίσθηκε πρός αὐτό[195], δέχθηκε τή μετάνοιά της. Ἡ κυριότητα τῆς μετάνοιας τῆς ἀνήκει, ἐφόσον τόν σκοπό αὐτόν ἔθεσε πρῶτο ἀπ' ὅλα. Ἐνῶ τῆς ζωῆς ἡ κυριότητα ἀνήκει στόν Δεσπότη καί Κύριο πάντων». Μ' αὐτά λοιπόν τά λόγια τῶν ἀγγέλων καταντροπιάσθηκαν οἱ δαίμονες καί ὑποχώρησαν.

Ὁ ἅγιος λοιπόν ἐκεῖνος Γέροντας (καί κατόπιν ἐπίσκοπος), πού τοῦ ἔγινε ἡ ἀποκάλυψη σχετικά μέ τόν θάνατο τῆς μοναχῆς, τά διηγήθηκε αὐτά —εἶπε— σ' αὐτόν ἀπό τόν ὁποῖο καί ἐμεῖς τά ἀκούσαμε καί σᾶς τά εἴπαμε.

Ἔχοντας ὑπόψιν μας αὐτά, ἀδελφοί, πρῶτα ἄς ἀσφαλίσουμε τόν ἑαυτό μας μέ τή βοήθεια τοῦ Θεοῦ καί νά μήν ὑποχωροῦμε στούς λογισμούς γιά κανένα ἁμάρτημα, ἀλλά νά τούς ἀποκρούομε ἀντιλέγοντας καί νά τούς πολεμοῦμε,

γωμεν καὶ ἀντιπολεμῶμεν, μάλιστα δὲ τοῦ μὴ ἐξελθεῖν τοῦ ἰδίου μοναστηρίου. Οἴδαμεν γὰρ πόθεν ἀναχωροῦμεν, εἰς τί δὲ μέλλομεν πίπτειν ἀναχωροῦντες, ἀγνοοῦμεν.

294. Εἶπε Γέρων· Οἱ ἅγιοι οἱ ἔχοντες τὸν Χριστὸν ἐν ἑαυτοῖς καὶ τὰ ὧδε κληρονομοῦσι διὰ τῆς ἀπαθείας καὶ τὰ ἐκεῖ, ἐπειδὴ καὶ τὰ ὧδε καὶ τὰ ἐκεῖ τοῦ Χριστοῦ ἐστιν. Ἤγουν ὁ ἔχων αὐτὸν ἔχει καὶ αὐτὸν καὶ τὰ αὐτοῦ. Ὁ γὰρ ἔχων τὰ πάθη, κἂν τὸν κόσμον ὅλον ἔχῃ, οὐδὲν ἔχει, εἰμὴ τὰ πάθη κυριεύοντα αὐτοῦ.

295. Εἶπε πάλιν· Μὴ θαυμάσῃς, εἰ ἄνθρωπος ὢν ἄγγελος γενέσθαι δυνήσει. Πρόκειται γὰρ ἰσάγγελος δόξα, καὶ ταύτην ὁ ἀγωνοθέτης τοῖς ἀγωνιζομένοις ἐπαγγέλλεται.

296. Εἶπε Γέρων· Οὐδέποτέ ἐστιν ἄνθρωπος καλός, κἂν θελήσῃ εἶναι καλός, ἐὰν μὴ ὁ Θεὸς οἰκήσῃ ἐν αὐτῷ· οὐδεὶς γὰρ ἀγαθός, εἰ μὴ εἷς, ὁ Θεός.

297. Εἶπε πάλιν· Ὁ ἀδικούμενος ἑκουσίως καὶ συγχωρῶν τῷ πλησίον, κατὰ φύσιν ἐστὶ τοῦ Ἰησοῦ· ὁ δὲ μηδὲ ἀδικῶν μηδὲ ἀδικούμενος κατὰ φύσιν ἐστὶ τοῦ Ἀδάμ· ὁ δὲ ἀδικῶν ἢ τόκους ἀπαιτῶν ἢ κακοπραγμονῶν, κατὰ τούτοις τοῦ διαβόλου ἐστί.

196. Βλ. ὑποσημ. 81 σελ. 118.

καί προπαντός προκειμένου νά μή βγοῦμε ἀπό τό μοναστήρι μας. Γιατί ξέρουμε βέβαια ἀπό ποῦ ξεκινοῦμε, ἀλλά ἀγνοοῦμε σέ τί πρόκειται νά πέσουμε φεύγοντας».

294. Εἶπε Γέροντας: «Οἱ ἅγιοι πού ἔχουν μέσα τους τόν Χριστό, κληρονομοῦν μέ τήν ἀπάθεια[196] καί τά ἐδῶ καί τά πέραν τοῦ κόσμου αὐτοῦ. Γιατί καί τά ἐδῶ καί τά ἐκεῖ εἶναι τοῦ Χριστοῦ. Ἄρα ὅποιος Τόν ἔχει, ἔχει καί Αὐτόν καί τά ἀγαθά του.

Ἀπό τήν ἄλλη μεριά αὐτός πού κρατάει τά πάθη, κι ἄν ἀκόμη ὅλο τόν κόσμο κατέχει, δέν ἔχει τίποτε, ἐκτός ἀπό τά πάθη πού τόν ἐξουσιάζουν».

295. Εἶπε ἀκόμη: «Μήν παραξενευθεῖς, ἐάν, ἐνῶ εἶσαι ἄνθρωπος, μπορέσεις νά γίνεις ἄγγελος. Στή διάθεσή μας εἶναι ἡ ἰσάγγελη δόξα· καί αὐτήν ὑπόσχεται στούς ἀγωνιζομένους ὁ ἀγωνοθέτης».

296. Εἶπε Γέροντας: «Ἐάν δέν κατοικήσει μέσα στόν ἄνθρωπο ὁ Θεός, ποτέ ὁ ἄνθρωπος δέν μπορεῖ ἀφεαυτοῦ νά εἶναι καλός. Γιατί κανένας δέν εἶναι ἀγαθός παρά μόνο ἕνας, ὁ Θεός»[197].

297. Εἶπε ἐπίσης: «Αὐτός πού ἐν γνώσει του δέχεται νά ἀδικεῖται καί συγχωρεῖ τόν πλησίον του, ἐνεργεῖ σύμφωνα μέ τή φύση τοῦ Ἰησοῦ. Ἐκεῖνος πού δέν ἀδικεῖ οὔτε δέχεται τήν ἀδικία, μοιάζει στή φύση μέ τόν Ἀδάμ. Καί ὁ ἄλλος πού ἀδικεῖ ἤ κυνηγάει νά παίρνει τόκους ἤ κάνει κακό στούς ἄλλους, μ᾽ αὐτά πού κάνει συμπίπτει στή φύση μέ τόν διάβολο».

197. Ματθ. 19, 17· Μαρκ. 10, 18· Λουκ. 18, 19.

298. Παρέβαλεν ἀδελφὸς πρός τινα Γέροντα καὶ λέγει αὐτῷ· Ἀββᾶ, εἰπέ μοι ῥῆμα, πῶς σωθῶ; Ὁ δὲ εἶπεν αὐτῷ· Ἐὰν θέλῃς σωθῆναι, ὅταν παραβάλῃς τινί, μὴ προλάβῃς λαλῆσαι πρὶν ἐξετάσῃ σε· ὁ δὲ ἐπὶ τῷ λόγῳ κατανυγεὶς ἔβαλεν αὐτῷ μετάνοιαν λέγων· Ὄντως πολλὰ βιβλία ἀνέγνων καὶ τοιαύτην παιδείαν οὐδέποτε ἔγνων· καὶ ὠφεληθεὶς πολλὰ ἐξῆλθεν.

299. Εἶπε Γέρων· Νοῦν μὲν πλανώμενον ἵστησιν ἀνάγνωσις καὶ ἀγρυπνία καὶ προσευχή. Ἐπιθυμίαν δὲ φλεγομένην μαραίνει πεῖνα καὶ κόπος καὶ ἀναχώρησις. Θυμὸν δὲ καταπαύει κυκώμενον ψαλμῳδία καὶ μακροθυμία καὶ ἔλεος. Καὶ ταῦτα τοῖς προσήκουσί τε χρόνοις καὶ μέτροις γινόμενα. Τὰ γὰρ ἄκαιρα καὶ ἄμετρα ὀλιγοχρόνια· τὰ δὲ ὀλιγοχρόνια βλαβερὰ μᾶλλον καὶ οὐκ ὠφέλιμα.

300. Ἠρώτησαν ἀδελφοί τινα τῶν Πατέρων λέγοντες· Πῶς εἰς τὰς ἐπαγγελίας τοῦ Θεοῦ, ἃς ἐπηγγείλατο διὰ τῶν Γραφῶν, ἡ ψυχὴ οὐ προστρέχει, ἀλλ' εἰς τὰ ἀκάθαρτα ἐκκλίνει; Ὁ δὲ Γέρων εἶπεν αὐτοῖς· Ἐγὼ λέγω, διότι οὔπω ἐγεύσατο τῶν ἄνω, διὰ τοῦτο τὰ ἀκάθαρτα ἐπιποθεῖ.

301. Εἶπε Γέρων· Ἐὰν καθίσῃς εἰς τόπον καὶ ἴδῃς τινὰς ἔχοντας παράκλησιν, μὴ προσχῇς αὐτοῖς· ἀλλ' ἐάν ἐστιν ἄλλος πτωχός, αὐτῷ πρόσεχε, ἕως ὅτε οὐκ ἔχει ἄρτον, καὶ ἀναπαύῃ.

198. Τό ἀπόφθ. ἀποδίδεται στόν Εὐάγριο (Ἐκ τῶν νηπτικῶν κεφαλαίων, ε', *Φιλοκαλία* τ. Α', σελ. 58).

298. Ἐπισκέφθηκε κάποιος ἀδελφός ἕναν Γέροντα καί τοῦ λέει: «Ἀββᾶ, πές μου ἕναν λόγο, πῶς θά μπορέσω νά σωθῶ;» Κι ἐκεῖνος τοῦ εἶπε: «Ἐάν θέλεις νά σωθεῖς, ὅταν ἐπισκεφθεῖς κάποιον, μήν προτρέξεις νά μιλήσεις, παρά ἀφοῦ σέ ρωτήσει».

Κατανύχθηκε ὁ ἀδελφός μέ τόν λόγο αὐτό καί τοῦ ἔβαλε μετάνοια λέγοντας: «Ἀλήθεια, πολλά βιβλία διάβασα ἀλλά τέτοια ἀγωγή πουθενά δέν γνώρισα». Καί ἀναχώρησε πολύ ὠφελημένος.

299. Εἶπε Γέροντας: «Τόν νοῦ πού περιπλανιέται τόν σταματᾶ ἡ ἀνάγνωση, ἡ ἀγρυπνία καί ἡ προσευχή. Τήν ἐπιθυμία τήν καυτή τήν μαραίνει ἡ πείνα, ὁ κόπος καί ἡ ἐρημική ζωή. Καί τόν θυμό, πού φέρνει τό πάνω κάτω, τόν καταπραΰνει ἡ ψαλμωδία, ἡ μακροθυμία καί ἡ εὐσπλαχνία. Καί ὅλα αὐτά ἐφόσον γίνονται σέ κατάλληλη ὥρα καί στό μέτρο πού ταιριάζει. Γιατί ὅσα γίνονται παράκαιρα καί χωρίς μέτρο, εἶναι γιά λίγο χρόνο· καί τά ὀλιγοχρόνια προκαλοῦν ζημιά μᾶλλον παρά ὠφέλεια»[198].

300. Ρώτησαν ἀδελφοί κάποιον ἀπό τούς Πατέρες: «Πῶς ἡ ψυχή μας δέν καταφεύγει στίς ὑποσχέσεις τοῦ Θεοῦ πού τίς ἔχουμε μέσα στήν ἁγία Γραφή, ἀλλά ξεστρατίζει πρός τά ἀκάθαρτα;» Καί ὁ Γέροντας εἶπε: «Ἐγώ πιστεύω ὅτι ἐπειδή δέν γεύθηκε ἀκόμη τά οὐράνια, γι' αὐτό ἐπιζητεῖ τά ἀκάθαρτα».

301. Εἶπε Γέροντας: «Ἐάν μείνεις σέ κάποιο τόπο νά ἀσκητέψεις καί δεῖς κάποιους νά καλοπερνᾶνε, μήν τούς προσέχεις αὐτούς. Ἀλλά ἐάν ὑπάρχει κανένας ἄλλος πού εἶναι φτωχός, σ' αὐτόν νά 'χεις στραμμένη τήν προσοχή σου, ὅσο καιρό δέν ἔχει ψωμί νά φάει, καί θά εἶσαι ἀναπαυμένος».

302. Εἶπε Γέρων· Τὸ ψεῦδος ὁ παλαιὸς ἄνθρωπος τυγχάνει· ἡ ἀλήθεια πάλιν ὁ νέος ἄνθρωπος.

303. Εἶπε πάλιν· Ἡ ῥίζα τῶν καλῶν ἔργων ἐστὶν ἡ ἀλήθεια· τὸ ψεῦδος δὲ τυγχάνει ὁ θάνατος.

304. Εἶπε Γέρων· Πιστεύσατέ μοι, τέκνα, λέγοντι· ὥσπερ μέγας ἔπαινος καὶ μεγάλη δόξα βασιλέων ἀποτασσομένων καὶ γινομένων μοναχῶν, ἐπειδὴ τιμιώτερά ἐστι τὰ νοητὰ τῶν αἰσθητῶν, οὕτω μεγάλη αἰσχύνη ἐστὶ μοναχῷ ἐῶντι τὸ μοναχικὸν σχῆμα καὶ γινομένῳ βασιλεῖ.

305. Εἶπε πάλιν· Κἂν ἡ φύσις ἐγείρῃ τὰς ἐπιθυμίας, ἀδελφοί, ἀλλ' ἡ τῆς ἀσκήσεως ἐπίτασις ἀποσβέννυσι ταύτας.

306. Εἶπε Γέρων ἑτέρῳ Γέροντι ἔχοντι ἀγάπην καὶ συμβαλλομένῳ μοναχοῖς καὶ κοσμικοῖς ὅτι· Ὁ λύχνος πολλοῖς φαίνει, τὸ δὲ ἑαυτοῦ στόμα καίει.

307. Εἶπέ τις τῶν Γερόντων πρὸς ἕτερον· Πῶς οὐκ ἀφίεμαι ἐλεύθερος γενέσθαι μετὰ τῶν Γερόντων ἐν τοῖς λογισμοῖς μου; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων ὅτι· Οὐ χαίρει ἐπ' οὐδενὶ οὕτως ὁ ἐχθρός, ὡς ἐπὶ τοῖς μὴ ἐκφαίνουσι τοὺς λογισμοὺς ἑαυτῶν.

302. Εἶπε Γέροντας: «Τό ψέμα τό ἐκπροσωπεῖ ὁ παλαιός ἄνθρωπος· ἐνῶ, ἀντίθετα, τήν ἀλήθεια ὁ ἀναγεννημένος ἄνθρωπος».

303. Εἶπε ἐπίσης: «Ἡ ρίζα τῶν καλῶν ἔργων εἶναι ἡ ἀλήθεια. Τό ψέμα εἶναι θάνατος».

304. Εἶπε Γέροντας: «Παιδιά μου, δῶστε πίστη στά λόγια μου. Ὅπως ἀκριβῶς πολύς ἔπαινος καί μεγάλη δόξα ἀνήκει σέ βασιλεῖς πού ἀπαρνοῦνται τόν κόσμο καί γίνονται μοναχοί —γιατί εἶναι πολυτιμότερα τά πνευματικά ἀγαθά ἀπό τά αἰσθητά— ἔτσι μεγάλη αἰσχύνη εἶναι γιά τόν μοναχό πού ἐγκαταλείπει τό μοναχικό σχῆμα καί γίνεται βασιλιάς».

305. Εἶπε ἀκόμη: «Κι ἄν ἀκόμη ἡ φύση μας ξεσηκώνει τίς ἐπιθυμίες, ἀδελφοί, ὅμως ἡ αὔξηση τῆς ἀσκήσεως τίς ἐξαλείφει».

306. Εἶπε Γέροντας σέ ἄλλον Γέροντα προικισμένο μέ ἀγάπη πού ἐπικοινωνοῦσε μέ μοναχούς καί κοσμικούς: «Τό λυχνάρι ρίχνει φῶς σέ πολλούς ἀλλά τό δικό του στόμα τό καίει».

307. Κάποιος ἀπ' τούς Γέροντες εἶπε σ' ἄλλον Γέροντα: «Τί μέ δένει καί δέν νιώθω ἐλεύθερος μέ τούς Γέροντες νά τούς φανερώνω τούς λογισμούς μου;» Καί ὁ Γέροντας τοῦ εἶπε: «Γιατί μέ τίποτε ἄλλο δέν χαίρεται τόσο ὁ ἐχθρός ὅσο μ' αὐτούς πού δέν φανερώνουν τούς λογισμούς τους»[199].

---

199. Βλ. ἀπόφθ. 39 σελ. 50.

308. Εἶπε Γέρων· Μὴ οἰκήσῃς εἰς τόπον οὗ βλέπεις τινὰς ἔχοντας ζῆλον κατὰ σοῦ· εἰ δὲ μή, οὐ προκόπτεις.

309. Εἶπε Γέρων· Εἰ γέγονεν ἐν σοὶ ἡ ἐξουδένωσις ὡς ὁ ἔπαινος καὶ ἡ πενία ὡς ὁ πλοῦτος καὶ ἡ ἔνδεια ὡς ἡ δαψίλεια, οὐκ ἀποθνῄσκεις. Ἀμήχανον γάρ ἐστι τὸν καλῶς πιστεύοντα καὶ ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ ἐργαζόμενον ἐμπεσεῖν εἰς ἀκαθαρσίαν παθῶν καὶ δαιμόνων πλάνην.

Τέλος τῆς περὶ διακρίσεως πραγματείας.



Ἡ Μονή τοῦ Σαρανταρίου ὄρους
στή θέση τῆς ἀρχαίας μονῆς Δουκᾶ

308. Εἶπε Γέροντας: «Μήν κατοικήσεις σέ τόπο ὅπου βλέπεις ὅτι κάποιοι σέ ζηλεύουν. Ἀλλιῶς δέν θά δεῖς προκοπή».

309. Εἶπε Γέροντας: «Ἐάν ἔχει γίνει γιά σένα ὁ ἐξευτελισμός ὅ,τι καί ὁ ἔπαινος, ἡ φτώχεια ὅ,τι καί τά πλούτη, ἡ στέρηση ὅ,τι καί ἡ ἀφθονία, δέν θά γνωρίσεις θάνατο. Εἶναι ἀδύνατο ὁ ἄνθρωπος, πού πιστεύει σωστά καί ἐργάζεται μέ εὐλάβεια καί συνέπεια στόν νόμο τοῦ Θεοῦ, νά πέσει στήν ἀκαθαρσία τῶν παθῶν καί στήν πλάνη τῶν δαιμόνων».

Τέλος τῆς πραγματείας περί διακρίσεως.



Ἡ δρύς τοῦ Ἀβραάμ στή Χεβρών


περὶ τοῦ δεῖν πάντοτε νήφειν:–

Ἀπόσπασμα ἀπό τόν χειρόγραφο κώδικα Coislin 108 (11ος αἰ.)

ΚΕΦΑΛΑΙΟ
ΙΑ΄

«Οὐ δεόμεθά τινος,
εἰ μὴ νηφούσης καρδίας».

(Ἀββᾶς Ποιμήν)



Περὶ τοῦ δεῖν πάντοτε νήφειν




Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· Οἶδα μοναχοὺς μετὰ πολλοὺς κόπους πεσόντας καὶ εἰς ἔκστασιν φρενῶν ἐλθόντας διὰ τὸ ἠλπικέναι ἐπὶ τῷ ἔργῳ αὐτῶν καὶ παραλογίσασθαι τὴν ἐντολὴν τοῦ εἰπόντος· Ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι.


2. Εἶπε πάλιν· Εἰ δυνατόν, ὅσα βήματα βάλλει ὁ μοναχὸς ἢ σταγόνας ὕδατος πίνει εἰς τὸ κελλίον αὐτοῦ, ὀφείλει θαρρεῖν τοῖς Γέρουσιν εἰ ἄρα οὐ πταίει ἐν αὐτοῖς. Ὅτι ἀδελφὸς εὗρε τόπον ἐν ἐρημίᾳ ἀνακεχωρημένον καὶ ἥσυχον καὶ παρεκάλει τὸν πατέρα αὐτοῦ λέγων· Ἐπίτρεψόν μοι οἰκῆσαι ἐν αὐτῷ καὶ ἐλπίζω εἰς τὸν Θεὸν καὶ εἰς τὰς εὐχάς σου ὅτι ἔχω κοπιάσαι πάνυ. Καὶ οὐκ εἴασεν αὐτὸν ὁ ἀββᾶς αὐτοῦ λέγων· Οἶδα ἀληθῶς ὅτι πολλὰ ἔχεις κοπιάσαι, ἀλλὰ διὰ τὸ μὴ ἔχειν σε Γέροντα, θαρρεῖς εἰς τὸ ἔργον σου ὅτι ἀρέσκει τῷ Θεῷ· καὶ διὰ τὸ ἀρέσαι σε ὅλως ὅτι ἔργον μοναχοῦ ποιεῖς, ἀπολλύεις τὸν κόπον σου καὶ τὰς φρένας.

---

1. Βλ. Ι ὑποσημ. 43 σελ. 78.
2. Δευτ. 32, 7.



Εἶναι ἀνάγκη πάντοτε νά εἴμαστε νηφάλιοι[1]



Εἶπε ὁ ἀββᾶς Ἀντώνιος*: «Γνωρίζω μοναχούς οἱ ὁποῖοι ὑποβλήθηκαν σέ πολλούς κόπους ἀλλά κατόπιν ἔπεσαν καί μάλιστα σάλεψε καί τό μυαλό τους. Καί ὁ λόγος εἶναι ὅτι στηρίχθηκαν στήν προσωπική τους ἐργασία καί δέν ἔλαβαν ὑπόψιν τους τήν ἐντολή αὐτοῦ πού εἶπε: Ρώτησε τόν πατέρα σου νά μάθεις καί θά σέ κατατοπίσει, ρώτησε τούς μεγαλυτέρους σου καί θά σοῦ ποῦν[2]».

2. Εἶπε ἐπίσης: «Ἄν ἦταν δυνατόν, ὅσα βήματα κάνει ὁ μοναχός ἤ ὅσες σταγόνες νερό πίνει στό κελί του, καί αὐτά ἀκόμη ὀφείλει νά τά ἐμπιστεύεται (δηλαδή νά τά ἐκμυστηρεύεται) στούς Γέροντες μήπως φταίει καί σ' αὐτά.

Γιά παράδειγμα: Κάποιος ἀδελφός βρῆκε ἕναν τόπο στήν ἔρημο, ἀπόμακρο καί ἥσυχο, καί παρακαλοῦσε τόν Γέροντά του λέγοντας: Δῶσ' μου τήν ἄδεια νά μένω σ' αὐτόν τόν τόπο καί ἐλπίζω στόν Θεό καί στίς εὐχές σου ὅτι θά ἀγωνισθῶ πολύ.

Ἀλλά δέν τόν ἄφησε ὁ ἀββᾶς του. Γνωρίζω —τοῦ εἶπε— πράγματι ὅτι θά κάνεις πολύ ἀγώνα, ἀλλά ἐπειδή δέν θά ἔχεις ἀναφορά σέ Γέροντα, θά ξεθαρρέψεις γιά τήν ἐργασία σου ὅτι εἶναι ἀρεστή στόν Θεό· καί μόνο πού θά ἔχεις τήν αὐτάρεσκη ἰδέα ὅτι κάνεις ἔργο μοναχοῦ, θά χάσεις καί τόν κόπο σου καί τό μυαλό σου».

3. Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· Ὁ τύπτων τὸ μαζὶν τοῦ σιδήρου πρῶτον σκοπεῖ τῷ λογισμῷ τί μέλλει ποιεῖν, δρέπανον, μάχαιραν, πέλεκυν; Οὕτω καὶ ἡμεῖς ὀφείλομεν λογίζεσθαι ποίαν ἀρετὴν μετερχόμεθα, ἵνα μὴ εἰς κενὸν κοπιάσωμεν.

4. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἀρσένιον ἀκοῦσαι παρ᾽ αὐτοῦ λόγον. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ὅση δύναμίς σοί ἐστιν, ἀγώνισαι, ἵνα ἡ ἔνδον σου ἐργασία κατὰ Θεὸν ᾖ, καὶ νικήσῃ τὰ ἔξω πάθη.

5. Εἶπε πάλιν· Ἐὰν τὸν Θεὸν ζητήσωμεν, φανήσεται ἡμῖν καὶ ἐὰν αὐτὸν κατάσχωμεν, παραμενεῖ ἡμῖν.

6. Ἔλεγεν ὁ ἀββᾶς Δανιὴλ ὅτι· Ἐκάλεσέ με μίαν ὁ ἀββᾶς Ἀρσένιος καὶ λέγει μοι· Ἀνάπαυσον τὸν πατέρα σου, ἵνα ὅταν ἀπέλθῃ πρὸς Κύριον παρακαλέσῃ ὑπὲρ σοῦ καὶ εὖ σοι γένηται.

7. Εἶπεν ὁ ἀββᾶς Ἀγάθων· Χρὴ τὸν μοναχὸν μὴ ἐᾶσαι τὴν συνείδησιν αὐτοῦ κατηγορῆσαι αὐτοῦ εἰς οἱονδήποτε πρᾶγμα.

8. Εἶπε πάλιν ὅτι ἄνευ φυλακῆς τῶν θείων ἐντολῶν, οὐ προβαίνει ἄνθρωπος οὐδὲ εἰς μίαν ἀρετήν.

9. Εἶπε πάλιν· Χρὴ τὸν ἄνθρωπον εἶναι πᾶσαν ὥραν προσέχοντα τῷ κριτηρίῳ τοῦ Θεοῦ.

---

3. Ἰω. 14, 21. Βλ. Ι ὑποσημ. 115α σελ. 161.

3. Εἶπε ὁ ἀββᾶς Ἀντώνιος: «Αὐτός πού χτυπάει τή μάζα τοῦ σιδήρου, πιό μπροστά βάζει στό μυαλό του τί πρόκειται νά κάνει· δρεπάνι, μαχαίρι, τσεκούρι; Ἔτσι καί ἐμεῖς ὀφείλουμε νά ἔχουμε στό μυαλό μας ποιά ἀρετή ἐπιδιώκουμε, γιά νά μήν πάει χαμένος ὁ κόπος μας».

4. Ἕνας ἀδελφός παρακάλεσε τόν ἀββᾶ Ἀρσένιο* νά ἀκούσει ἀπ᾽ τό στόμα του κάποιον λόγο. Καί ὁ Γέροντας εἶπε: «Νά ἀγωνίζεσαι μ᾽ ὅλη σου τή δύναμη γιά νά γίνεται ἡ ἐσωτερική σου ἐργασία ὅπως τή θέλει ὁ Θεός, καί ἔτσι θά κυριαρχήσεις καί στά πάθη πού ἐκδηλώνονται ἐξωτερικά».

5. Εἶπε ἐπίσης: «Ἄν ἀναζητήσουμε τόν Θεό, θά μᾶς ἐμφανισθεῖ καί, ἄν τόν κρατήσουμε, θά μείνει μαζί μας».

6. Ἔλεγε ὁ ἀββᾶς Δανιήλ: «Μέ κάλεσε κάποια φορά ὁ ἀββᾶς Ἀρσένιος καί μοῦ εἶπε: Ἀνάπαυσε τόν πατέρα σου, ὥστε, ὅταν ἀπέλθει στόν Κύριο, νά τόν παρακαλέσει γιά χάρη σου καί νά ἔχεις προκοπή».

7. Εἶπε ὁ ἀββᾶς Ἀγάθων*: «Ὁ μοναχός δέν πρέπει νά ἀφήσει τή συνείδησή του νά τόν κατηγορήσει σέ καμία περίπτωση».

8. Εἶπε ἐπίσης ὅτι χωρίς τήν τήρηση τῶν ἐντολῶν τοῦ Θεοῦ[3], δέν εἶναι δυνατόν νά προχωρήσει ὁ ἄνθρωπος οὔτε σέ μιά ἀρετή».

9. Εἶπε ἄλλη φορά: «Εἶναι ἀνάγκη ὁ ἄνθρωπος νά ἔχει ὅλη τήν ὥρα στραμμένη τή σκέψη του στό ὅτι θά τόν κρίνει ὁ Θεός».

10. Ἦλθέ ποτε ὁ ἀββᾶς Ἀμμωνᾶς περάσαι τὸν ποταμὸν καὶ εὗρε τὸ πορθμεῖον φιλοκαλούμενον καὶ παρεκαθέσθη αὐτῷ. Καὶ ἰδοὺ ἄλλο σκάφος εἰς τὸν τόπον ἦλθε καὶ ἐπέρασε τοὺς συνόντας ἀνθρώπους. Καὶ λέγουσιν αὐτῷ· Δεῦρο καὶ σύ, ἀββᾶ, πέρασον μεθ' ἡμῶν. Ὁ δὲ λέγει· Εἰμὴ εἰς τὸ δημόσιον πορθμεῖον οὐκ ἀναβαίνω. Εἶχε δὲ δέσμην θαλλίων καὶ ἐκάθητο πλέκων σειρὰν καὶ πάλιν λύων αὐτήν, ἕως οὗ γέγονε τὸ πορθμεῖον καὶ οὕτως ἐπέρασεν. Ἔβαλον οὖν αὐτῷ οἱ ἀδελφοὶ μετάνοιαν λέγοντες· Τί τοῦτο ἐποίησας; Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Ἵνα μὴ πάντοτε σπουδάζοντος τοῦ λογισμοῦ περιπατῶ· ἀλλὰ καὶ τοῦτο ὑπόδειγμά ἐστιν, ἵνα μετὰ καταστάσεως βαδίζωμεν τὴν ὁδὸν τοῦ Θεοῦ.

11. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀμμώη ὅτι ὡς ὑπῆγεν εἰς τὴν ἐκκλησίαν, οὐκ ἤφιε τὸν μαθητὴν αὐτοῦ ἔγγιστα αὐτοῦ περιπατῆσαι, ἀλλ' ἀπὸ μακρόθεν. Καὶ εἰ ἤρχετο ἐρωτῆσαι λογισμόν, ὡς ἔλεγεν αὐτῷ μόνον, εὐθέως ἐδίωκεν αὐτὸν λέγων· Μήποτε λαλούντων ἡμῶν περὶ ὠφελείας, ἐγκύψῃ ξένη ὁμιλία· διὰ τοῦτο οὖν οὐκ ἀφῶ σε ἔγγιστά μου.

12. Ἔλεγεν ὁ ἀββᾶς Ἀμμώης τῷ ἀββᾷ Ἠσαΐᾳ τῇ ἀρχῇ· Πῶς μὲ βλέπεις ἄρτι; Λέγει αὐτῷ· Ὡς ἄγγελον, πάτερ. Καὶ εἰς τὰ ὕστερα ἔλεγεν αὐτῷ· Πῶς με νῦν βλέπεις; Ὁ δὲ ἔλεγεν· Ὡς τὸν Σατανᾶν. Κἂν λόγον μοι λαλήσῃς ἀγαθόν, ὡς ῥομφαίαν αὐτὸν ἔχω.

13. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀμμοῦν ὅτι ἐποίησεν εἰς μαΐ-

10. Πῆγε κάποτε ὁ ἀββᾶς Ἀμμωνᾶς νά περάσει στήν ἀπέναντι ὄχθη τοῦ ποταμοῦ καί βρῆκε τό σκάφος νά ἐπιδιορθώνεται καί κάθησε παράμερα. Σέ λίγο κατέφθασε ἄλλο καράβι καί τούς ἀνθρώπους πού περίμεναν τούς πέρασε ἀπέναντι. Εἶπαν καί σ' αὐτόν: «Ἔλα καί ἐσύ, ἀββᾶ, ἀπέναντι μαζί μας». Ἀλλά ἐκεῖνος «δέν ἀνεβαίνω —εἶπε— παρά μόνο στό δημόσιο σκάφος». Εἶχε μαζί του μιά δέσμη φοινικόφυλλα καί καθισμένος ἐκεῖ ἔπλεκε τήν πλεξούδα, ἔπειτα τήν ἔλυνε, ἕως ὅτου τακτοποιήθηκε τό σκάφος καί ἔτσι πέρασε στήν ἀπέναντι ὄχθη.

Οἱ ἀδελφοί τοῦ ἔβαλαν μετάνοια καί τόν ρώτησαν: «Γιά ποιόν λόγο τό ἔκανες αὐτό;» Καί ὁ Γέροντας τούς εἶπε: «Γιά νά μή βαδίζω πάντοτε στόν ρυθμό τοῦ λογισμοῦ πού βιάζεται. Ἀλλά εἶναι καί αὐτό ἕνα παράδειγμα, γιά νά βαδίζουμε τόν δρόμο τοῦ Θεοῦ μέ τάξη καί σταθερότητα».

11. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀμμώη ὅτι ὅταν πήγαινε στήν ἐκκλησία, δέν ἄφηνε τόν μαθητή του νά περπατάει δίπλα του, ἀλλά ἀπό μακριά. Καί ἄν πλησίαζε νά τόν συμβουλευθεῖ γιά κάποιον λογισμό, μόλις τόν ἀνακοίνωνε, ἀμέσως τόν ἔδιωχνε λέγοντας: «Μή τυχόν, καθώς θά μιλᾶμε γιά νά ὠφεληθοῦμε, ξεφύγει ἡ ὁμιλία μας σέ πράγματα ἀνάρμοστα γιά τήν ὥρα αὐτή. Αὐτός εἶναι ὁ λόγος πού δέν σ' ἀφήνω πολύ κοντά μου».

12. Ἔλεγε ὁ ἀββᾶς Ἀμμώης στόν ἀββᾶ Ἠσαΐα* ἀρχικά: «Πῶς μέ βλέπεις τώρα;» «Σάν ἄγγελο, πάτερ», τοῦ λέει. Καί πρός τό τέλος τόν ρωτοῦσε: «Τώρα πῶς μέ βλέπεις;» Κι ἐκεῖνος ἔλεγε: «Σάν τόν Σατανᾶ. Καί λόγια καλά νά μοῦ πεῖς, τά νιώθω σάν σπαθιά».

13. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀμμούν* ὅτι πέρασε μέ ἐλάχι-

την κριθῆς μῆνας δύο. Παρέβαλε δὲ αὐτὸς τῷ ἀββᾷ Ποιμένι καὶ λέγει αὐτῷ· Ἐὰν ἀπέλθω εἰς τὸ κελλίον τοῦ πλησίον ἢ καὶ αὐτός μοι παραβάλῃ διά τινα χρείαν, εὐλαβούμεθα λαλῆσαι ἀλλήλοις μή ποτε ἀνακύψῃ ξένη ὁμιλία. Λέγει ὁ Γέρων· Καλῶς ποιεῖς· χρῄζει γὰρ ἡ νεότης φυλακῆς. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀμμοῦν· Οἱ Γέροντες οὖν τί ἐποίουν; Καὶ εἶπεν αὐτῷ· Οἱ Γέροντες προκόψαντες οὐκ εἶχον ἐν ἑαυτοῖς ἕτερόν τι ἢ ξένον ἐν τῷ στόματι, ἵνα αὐτὸ λαλήσωσιν.

Ἐὰν οὖν γένηται, φησίν, ἀνάγκη λαλῆσαι μετὰ τοῦ πλησίου, θέλεις λαλήσω ἐν ταῖς Γραφαῖς ἢ ἐν τοῖς λόγοις τῶν Γερόντων; Λέγει αὐτῷ ὁ Γέρων· Εἰ οὐ δύνασαι σιωπᾶν, καλόν ἐστι μᾶλλον ἐν τοῖς λόγοις τῶν Γερόντων καὶ μὴ ἐν ταῖς Γραφαῖς. Κίνδυνος γάρ ἐστιν οὐ μικρός.

14. Εἶπεν ὁ ἀββᾶς Ἀλώνιος ὅτι· Ἐὰν μὴ εἴπῃ ἄνθρωπος ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι ἐγὼ μόνος καὶ ὁ Θεός ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ οὐχ ἕξει ἀνάπαυσιν.

15. Εἶπε πάλιν ὅτι· Ἐὰν θέλῃ ἄνθρωπος, ἀπὸ πρωὶ ἕως ὀψὲ ἔρχεται εἰς μέτρον θεῖον.

---


4. Πιθανόν ὁ Γέροντας κατά τό «μὴ πάντες διδάσκαλοι» θέλει νά προλάβει τόν ἐρωτῶντα ἀπό τόν κίνδυνο τῆς προβολῆς καί τῆς ἐπάρσεως, πού προκαλεῖ μεγάλη ζημιά· γι' αὐτό καί ἀρχικά συνιστᾶ τή σιωπή. Εἶναι ὅμως πιθανόν νά ὑπαινίσσεται καί τόν κίνδυνο τῶν αἱρέσεων στίς ὁποῖες ὀλίσθησαν πολλοί, ἐπειδή ἀκολούθησαν τήν προσωπική τους ἄποψη ὡς πρός τήν κατανόηση Γραφῆς· αὐτή δηλαδή πού προέκυπτε ἀπό τίς ὑποδείξεις τοῦ ἡγεμόνα νοῦ, τῆς πεπτωκυίας ὅμως φύσεως. Ἐνῶ ἡ ἀσφαλής προσέγγιση στίς ὑπερβατικές ἀλήθειες καί ἡ ὀρθή κατανόηση τοῦ θείου λόγου εἶναι αὐτή πού ξεκινᾶ ἐν ταπεινώσει καί τῇ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος· καί τήν ἀσφαλή ἑρμηνεία τήν ἔχουν κυρίως οἱ κατηρτισμένοι πρός τοῦτο ποιμένες καί διδάσκαλοι τῆς Ἐκκλησίας. Πρβλ. «Μὴ πάντες διδάσκαλοι...» Α΄ Κορ. 12, 28-29.

στη ποσότητα κριθαριοῦ δυό μῆνες. Πῆγε αὐτός στόν ἀββᾶ Ποιμένα καί τοῦ εἶπε: «Ἐάν πάω στό κελί τοῦ γείτονα ἀδελφοῦ ἤ ἔρθει αὐτός γιά κάποια ἀνάγκη, διστάζουμε νά μιλήσουμε μή τυχόν ξεφυτρώσει ἀνάρμοστη συζήτηση». «Καλά κάνεις —ἀπαντᾶ ὁ Γέροντας— γιατί ἡ νεότητα ἔχει ἀνάγκη προσοχῆς». Τόν ρωτάει ὁ ἀββᾶς Ἀμμούν: «Οἱ Γέροντες τί ἔκαναν σέ τέτοιες περιπτώσεις;» «Οἱ Γέροντες —τοῦ εἶπε— εἶχαν προκόψει κατά Θεόν, γι' αὐτό δέν εἶχαν μέσα τους κάτι ἄλλο, οὔτε ἐρχόταν στό στόμα τους κάτι ἄσχετο γιά νά τό συζητήσουν».

«Ἐάν ὅμως —συνέχισε ὁ ἀββᾶς Ἀμμούν— παρουσιασθεῖ ἀνάγκη νά μιλήσουμε μέ τόν πλησίον, τί συμβουλεύεις, νά μιλήσω ἀπό τήν ἁγία Γραφή ἤ ἀπό τούς λόγους τῶν Γερόντων;» Καί ὁ Γέροντας τοῦ ἀπαντᾶ: «Ἐάν δέν μπορεῖς νά κρατήσεις σιωπή, νά προτιμήσεις ἀπό τά λόγια τῶν Γερόντων καί ὄχι ἀπό τήν ἁγία Γραφή· γιατί ὁ κίνδυνος εἶναι μεγάλος»[4].

14. Εἶπε ὁ ἀββᾶς Ἁλώνιος*: «Ἐάν ὁ ἄνθρωπος δέν πεῖ μέσ' στήν καρδιά του ὅτι σ' αὐτόν τόν κόσμο ἐγώ μόνον καί ὁ Θεός εἴμαστε, δέν θά βρεῖ ἀνάπαυση».

15. Εἶπε ἐπίσης: «Ἐάν θέλει ὁ ἄνθρωπος, ἀπό τό πρωί ὥς τό δειλινό φθάνει σέ μέτρα θεϊκά».



Ἡ θάλασσα τῆς Γαλιλαίας

«Καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν» (Μαρκ. 2, 13)

16. Ὁ ἀββᾶς Βησαρίων ἀποθνήσκων ἔλεγεν ὅτι· Ὀφείλει εἶναι ὁ μοναχὸς ὡς τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, ὅλος ὀφθαλμός.

17. Ὥδευόν ποτε ὁ ἀββᾶς Δανιὴλ καὶ ὁ ἀββᾶς Ἀμμώης. Καὶ λέγει ὁ ἀββᾶς Ἀμμώης· Πότε καὶ ἡμεῖς καθεζόμεθα εἰς τὸ κελλίον, πάτερ; Λέγει αὐτῷ ὁ ἀββᾶς Δανιήλ· Τίς γὰρ ἀφαιρεῖ ἀφ᾽ ἡμῶν τὸν Κύριον ἄρτι; Ὁ Θεός ἐστιν ἐν τῷ κελλίῳ· καὶ πάλιν ἔξω ὁ Θεός.

18. Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας· Ἡ ὀλιγωρία καὶ τὸ μέμψασθαί τινα τῇ διανοίᾳ οὐκ ἐῶσιν ἰδεῖν τὸ φῶς τοῦ Θεοῦ.

19. Εἶπε πάλιν· Αἰτησώμεθα τὸν Θεὸν, ἵνα δώῃ[6] *ἡμῖν πενθῆσαι τὰς ἑαυτῶν ἁμαρτίας καὶ ἵνα ποιήσωμεν τὴν δύναμιν ἡμῶν φυγεῖν ἀπὸ τῶν ἀνθρώπων καὶ μὴ παρρησιάζεσθαι μετὰ τῶν κοσμικῶν ἢ λαλεῖν ἐν λόγοις ματαίοις, ἵνα μὴ σκοτισθῇ ὁ νοῦς ἀπὸ τῆς γνώσεως τοῦ Θεοῦ. Ἀδύνατον γὰρ τὸν ἀκούοντα ἢ λαλοῦντα τοὺς λόγους τοῦ κόσμου, ἔχειν παρρησίαν καρδίας ἐνώπιον τοῦ Θεοῦ. Ὁ δὲ λέγων οὐδὲν βλάπτει με τὸ ἀκούειν ἢ λαλεῖν κοσμικὰ πράγματα, ἔοικε τυφλῷ, ᾧτινι ἐὰν προσενέγκωσι λύχνον, οὐ βλέπει αὐτοῦ τὸ φῶς. Καὶ ἐκ τοῦ ἡλίου δὲ τοῦ φωτίζοντος ὅλον τὸν κόσμον δῆλόν ἐστιν τοῦτο, ὅτι μικρὰ νεφέλη ὑποδραμοῦσα σκέπει τὴν αὐγὴν αὐτοῦ καὶ τὴν θέρμην. Ταῦτα δὲ ἐπίστανται οἱ γνῶσιν ἔχοντες.*

5. Ὀλιγωρῶ-ὀλιγωρία: Βλ. Ι ὑποσημ. 125 σελ. 176.

6. Ἡ λ. δώῃ τοῦ ἀρχ. κειμένου εἶναι ἐπικός τύπος ὑποτακτικῆς ἀορ. γ΄ ἑν. προσ. τοῦ δίδωμι.

16. Ὁ ἀββᾶς Βησσαρίων* πεθαίνοντας εἶπε ὅτι ὁ μοναχός ὀφείλει νά εἶναι σάν τά Χερουβίμ καί τά Σεραφίμ, ὅλος ὀφθαλμός.

17. Συνέβη νά ὁδοιποροῦν κάποτε μαζί ὁ ἀββᾶς Δανιήλ καί ὁ ἀββᾶς Ἀμμώης. Καί λέει ὁ ἀββᾶς Ἀμμώης: «Πότε κι ἐμεῖς θά μένουμε στό κελί, Πάτερ;» Καί ἀπαντᾶ ὁ ἀββᾶς Δανιήλ: «Ποιός αὐτή τή στιγμή μᾶς ἀφαιρεῖ τόν Κύριο; Ὁ Θεός εἶναι στό κελί· ὅπως καί ἔξω ἐπίσης εἶναι ὁ Θεός».

18. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας*: «Ἡ ὀλιγωρία[5] καί τό ὅτι κατακρίνουμε κάποιον μέ τόν λογισμό μας, δέν μᾶς ἀφήνουν νά δοῦμε τό φῶς τοῦ Θεοῦ».

19. Εἶπε ἀκόμη: «Ἄς ζητήσουμε ἀπό τόν Θεό νά μᾶς δώσει πένθος γιά τίς ἁμαρτίες μας, καί μ᾽ ὅλη μας τή δύναμη νά ἀποφεύγουμε τή συντυχία μέ τούς ἀνθρώπους· νά μήν ξεθαρρεύουμε μέ τούς κοσμικούς στή συμπεριφορά μας καί νά μή λέμε κουβέντες μάταιες, ὥστε νά μή σκοτισθεῖ ὁ νοῦς ὡς πρός τή γνώση τοῦ Θεοῦ. Γιατί αὐτός πού ἀκούει ἤ μιλάει ὅ,τι καί οἱ κοσμικοί, εἶναι ἀδύνατον νά ἔχει ἡ καρδιά του παρρησία[7] ἐνώπιον τοῦ Θεοῦ.

Κι ἐκεῖνος πού λέει "δέν μέ βλάπτει νά ἀκούω ἤ νά συζητῶ κοσμικά θέματα", μοιάζει μέ τυφλό πού τοῦ φέρνουν λυχνάρι καί δέν βλέπει τό φῶς τοῦ λυχναριοῦ. Καί ἀπό τόν ἥλιο, πού φωτίζει ὅλον τόν κόσμο, εἶναι ὁλοφάνερο τοῦτο, ὅτι δηλαδή ἕνα συννεφάκι πού πάει καί στέκεται ἀπό κάτω, σκεπάζει τή λάμψη καί τή θερμότητά του. Κι αὐτά τά γνωρίζουν καλά ὅσοι ἔχουν σύνεση».

7. Παρρησία: Βλ. Ι ὑποσημ. 7 σελ. 24.

20. Εἶπε πάλιν· Ἀγώνισαι ἐκφυγεῖν ἀπὸ τῶν τριῶν παθῶν τούτων τῶν καταστρεφόντων τὴν ψυχήν, ἅτινά ἐστιν ἡ φιλαργυρία καὶ ἡ τιμὴ καὶ ἡ ἀνάπαυσις. Ὅτι ταῦτα ἐὰν περιγένωνται τῆς ψυχῆς, οὐκ ἐῶσιν αὐτὴν προκόψαι.

21. Ἔλεγεν ὁ ἀββᾶς Πέτρος ὅτι· Ἠρώτησά ποτε τὸν ἀββᾶν μου τί ἐστι δοῦλος Θεοῦ. Καὶ εἶπέ μοι ὅτι ἐν ὅσῳ δουλεύει τις οἱῳδήποτε πάθει, οὔπω ἐλογίσθη εἰς δοῦλον Θεοῦ, ἀλλὰ δοῦλός ἐστιν ἐκείνου ἐν ᾧ κατακυριεύεται. Ἐν ὅσῳ γὰρ αὐτός ἐστιν ἐν κατοχῇ, τοὺς ὑπὸ τῶν αὐτῶν παθῶν κυριευομένους διδάσκειν οὐ δύναται· αἰσχύνη γὰρ αὐτῷ ἐστι διδάξαι πρὸ τοῦ αὐτὸν ἐλευθερωθῆναι ἀπ᾽ ἐκείνου ἢ αἰτήσασθαι τὸν Θεὸν ὑπὲρ αὐτῶν. Πῶς γὰρ αἰτήσει ὑπὲρ ἄλλου, αὐτὸς κατεχόμενος ἐν τούτοις; Οὔτε γὰρ δοῦλός ἐστι τοῦ Θεοῦ οὔτε φίλος οὔτε υἱός, ἵνα αἰτήσῃ ὑπὲρ ἄλλου. Ἀλλὰ συνεχῶς τοῦτο παρακαλεῖν ὀφείλει, ὅπως αὐτὸς λυτρωθῇ. Ἐὰν γὰρ μὴ λυτρωθῇ ἀπ᾽ ἐκείνων οἷς αὐτὸς δουλεύει, τὸ πρόσωπον αὐτοῦ ἡγεῖται πεπληρωμένον αἰσχύνης ἐνώπιον τοῦ Θεοῦ. Ἐν ὅσῳ γὰρ ὑπόκειται τοῖς πάθεσι, κλαίειν ὀφείλει, ὅτι οὐκ ἠξιώθη τῆς παρρησίας τῆς πρὸς Θεόν· ὅ ἐστιν ἡ ἀληθὴς ἁγνεία ἣν ἀπαιτεῖ ὁ Θεὸς παρὰ παντὸς ἀνθρώπου.

22. Εἶπε πάλιν· Εἴ τις ζητεῖ τὸν Κύριον ἐν πόνῳ καρδίας, ἐπακούει αὐτοῦ· καὶ ὃ ἐὰν αἰτήσῃ ἐν γνώσει καὶ μερίμνῃ καὶ πόνῳ καρδίας, μὴ δεδεμένος ἔν τινι τῶν τοῦ κόσμου ἀλλὰ

8. Πρβλ. Β΄ Πέτρ. 2, 19. Βλ. Ι 168 καί ὑποσημ. 115α σελ. 161.

20. Εἶπε ἐπίσης: «Ἀγωνίσου νά γλυτώσεις ἀπ᾽ αὐτά τά τρία πάθη, πού καταστρέφουν τήν ψυχή· καί αὐτά εἶναι ἡ φιλαργυρία, ἡ δόξα, καί ἡ καλοπέραση. Γιατί αὐτά ἐάν κερδίσουν ἔδαφος στήν ψυχή, δέν τήν ἀφήνουν νά προκόψει».

21. Εἶπε ὁ ἀββᾶς Πέτρος: «Ρώτησα κάποτε τόν ἀββᾶ μου τί σημαίνει δοῦλος Θεοῦ. Καί μοῦ εἶπε ὅτι ἐνόσω κανείς εἶναι δοῦλος σέ ὁποιοδήποτε πάθος, δέν λογαριάζεται ἀκόμη ὡς δοῦλος Θεοῦ, ἀλλά δοῦλος ἐκείνου ἀπό τό ὁποῖο ἔχει κατακυριευθεῖ[8]. Ἐνόσω δηλαδή ὁ ἴδιος καταδυναστεύεται, δέν μπορεῖ νά κάνει τόν δάσκαλο σ᾽ αὐτούς πού εἶναι ὑποδουλωμένοι στά ἴδια πάθη. Γιατί πρίν ἐλευθερωθεῖ ὁ ἴδιος ἀπό ἐκεῖνο τό πάθος εἶναι ντροπή του νά διδάξει ἤ νά προσευχηθεῖ στόν Θεό γι᾽ αὐτούς· πῶς δηλαδή θά ζητήσει γιά χάρη ἄλλου, ὅταν ὁ ἴδιος εἶναι δοῦλος σ᾽ αὐτά; Γιατί οὔτε δοῦλος τοῦ Θεοῦ εἶναι οὔτε φίλος[9] οὔτε υἱός[10], γιά νά μεσιτεύσει γιά ἄλλον.

Ἐκεῖνο πού συνεχῶς ὀφείλει νά κάνει εἶναι νά παρακαλεῖ, γιά νά λυτρωθεῖ ὁ ἴδιος. Γιατί ἐάν δέν λυτρωθεῖ ἀπ᾽ ἐκεῖνα στά ὁποῖα ὑπηρετεῖ ὡς δοῦλος, τό πρόσωπό του ἐμφανίζεται ἐνώπιον τοῦ Θεοῦ γεμάτο αἰσχύνη. Ὅσο καιρό λοιπόν εἶναι ὑποταγμένος στά πάθη, ὀφείλει νά κλαίει, γιατί δέν ἔγινε ἄξιος νά ἔχει παρρησία ἐνώπιον τοῦ Θεοῦ· καί αὐτό εἶναι ἡ πραγματική καθαρότητα πού ἀπαιτεῖ ὁ Θεός ἀπό κάθε ἄνθρωπο».

22. Εἶπε πάλι: Ὅποιος ἀναζητεῖ τόν Κύριο μέ πόνο καρδιᾶς, θά εἰσακουσθεῖ αὐτός· καί ὅ,τι ζητήσει μέ ἐπίγνωση καί φροντίδα καί πόνο καρδιᾶς, ἐλεύθερος ἀπό κάθε τι

9. Ἰω. 15, 14-15. 10. Β΄ Κορ. 6, 18.

φροντίζων τῆς ψυχῆς αὐτοῦ, ὅπως αὐτὴν παραστήσῃ τῷ βήματι αὐτοῦ ἀκατάκριτον, παράσχοι αὐτῷ.

23. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τοῦ Ἐνάτου ὅτι ἐὰν λογίσηται ἡμῶν ὁ Θεὸς τὰς ἐν ταῖς εὐχαῖς ἀμελείας καὶ τὰς αἰχμαλωσίας τὰς ἐν ταῖς ψαλμῳδίαις, σωθῆναι οὐ δυνάμεθα.

24. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ εἰς Σκῆτιν· Ἔρχεται ὁ λογισμὸς καὶ ταράσσει με καὶ ἀσχολεῖ με· καὶ τὴν πρᾶξιν οὐκ ἰσχύει τελέσαι, ἀλλὰ μόνον ἐμποδίζει πρὸς τὴν ἀρετήν· ὁ δὲ νηφάλιος ἀνὴρ ἐκτινάξας αὐτόν, ἐγείρεται εἰς προσευχήν.

25. Εἶπεν ὁ ἀββᾶς Θεωνᾶς· Διὰ τὸ ἀπασχοληθῆναι ἡμῶν τὸν νοῦν ἀπὸ τῆς εἰς Θεὸν θεωρίας, αἰχμαλωτιζόμεθα ὑπὸ τῶν παθῶν τῶν σαρκικῶν.

26. Εἶπεν ἡ ἀμμᾶς Θεοδώρα ὅτι· Ἦν τις μοναχὸς καὶ ἀπὸ τοῦ πλήθους τῶν πειρασμῶν λέγει· Ὑπάγω ἔνθεν. Καὶ ὡς ἔβαλεν αὐτοῦ τὰ σανδάλια, ὁρᾷ ἄνθρωπον ἄλλον βάλλοντα καὶ αὐτὸν τὰ σανδάλια αὐτοῦ καὶ λέγει αὐτῷ· Οὐ δι' ἐμὲ ἐξέρχῃ; Ἰδοὺ ἐγώ σοι προάγω, ὅπου ἐὰν ἀπέρχῃ.

27. Ἦλθόν ποτέ τινες τῶν ἀδελφῶν πειρᾶσαι τὸν ἀββᾶν Ἰωάννην τὸν Κολοβόν, ὅτι οὐκ ἤφιε τὸν λογισμὸν αὐτοῦ ῥεμ-

11. Ἔνατον: Βλ. Ι ὑποσημ. 38 σελ. 75.

κοσμικό, καί φροντίζοντας γιά τήν ψυχή του πῶς θά τήν παραστήσει στό βῆμα τοῦ Κυρίου ἀκατάκριτη, σ' αὐτόν θά τά δώσει ὁ Κύριος.

23. Ὁ ἀββᾶς Θεόδωρος τοῦ Ἐνάτου[11] εἶπε: «Ἐάν λογαριάσει ὁ Θεός τήν ἀμέλειά μας στίς προσευχές καί τήν αἰχμαλωσία τοῦ νοῦ σέ λογισμούς τίς ὧρες τῆς ψαλμωδίας, σωτηρία μήν περιμένουμε».

24. Εἶπε ὁ ἀββᾶς Θεόδωρος* τῆς Σκήτης: «Ἔρχεται ὁ λογισμός, μέ ταράζει καί μέ ἀπασχολεῖ· δέν ἔχει βέβαια τή δύναμη νά προχωρήσει στήν πράξη, ἀλλά ὡστόσο γίνεται ἐμπόδιο στήν ἀρετή. Ὁ ἄνθρωπος ὅμως πού ἐπαγρυπνεῖ στήν ψυχή του, πετάει πέρα τόν λογισμό καί σηκώνεται γιά προσευχή».

25. Εἶπε ὁ ἀββᾶς Θεωνᾶς: «Ἐπειδή ἀποσπάσαμε τόν νοῦ μας ἀπό τή θεωρία τοῦ Θεοῦ[12], αἰχμαλωτιζόμαστε στά σαρκικά πάθη».

26. Εἶπε ἡ ἀμμᾶς Θεοδώρα: «Ἦταν κάποιος μοναχός ὁ ὁποῖος, ἐπειδή εἶχε πολλούς πειρασμούς, εἶπε: Θά φύγω ἀπό δῶ. Καί μόλις ἔβαλε τά πέδιλά του, βλέπει καί κάποιον ἄλλον ἄνθρωπο νά φοράει τά δικά του πέδιλα καί νά τοῦ λέει: Ἐξαιτίας μου δέν φεύγεις; Νά, πού ἐγώ θά πηγαίνω μπροστά ἀπό σένα, ὅπου κι ἄν πᾶς».

27. Πῆγαν κάποτε μερικοί ἀδελφοί νά δοκιμάσουν τόν ἀββᾶ Ἰωάννη* τόν Κολοβό, γιατί δέν ἄφηνε τόν λογισμό του

12. Θεωρία τοῦ Θεοῦ: Πρόκειται γιά τίς ἀναβάσεις τῆς ψυχῆς πρός τή σφαίρα τῶν μυστηρίων τοῦ Θεοῦ. Βλ. Ι ὑποσημ. 115 σελ. 161.

φθῆναι οὐδὲ ἐλάλει πρᾶγμα τοῦ αἰῶνος τούτου, καὶ λέγουσιν αὐτῷ· Εὐχαριστοῦμεν τῷ Θεῷ ὅτι ἔβρεξεν ἐφέτος πολὺ καὶ ἔπιον οἱ φοίνικες καὶ ἐκβάλλουσι λευκάδας καὶ εὑρίσκουσιν οἱ ἀδελφοὶ τὸ ἐργόχειρον αὐτῶν. Λέγει αὐτοῖς ὁ ἀββᾶς Ἰωάννης· Οὕτως ἐστὶ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· ὅταν καταβαίνει εἰς τὰς καρδίας τῶν ἁγίων ἀνανεοῦνται καὶ ἐκβάλλουσι λευκάδας ἐν τῷ φόβῳ τοῦ Θεοῦ.

28. Ἔλεγον πάλιν περὶ αὐτοῦ ὅτι ἔπλεξε σειρὰν δύο σπυρίδων καὶ ἔρραψεν αὐτὴν μίαν σπυρίδα καὶ οὐκ ἐνόησεν, ἕως οὗ προσήγγισε τῷ τοίχῳ· ἦν γὰρ ὁ λογισμὸς αὐτοῦ σχολάζων τῇ θεωρίᾳ.

29. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὅτι· Ὅμοιός εἰμι ἀνθρώπῳ κοιμωμένῳ ὑποκάτω δένδρου μεγάλου καὶ θεωροῦντι θηρία πολλὰ καὶ ἑρπετὰ ἐρχόμενα πρὸς αὐτόν. Καὶ ὅταν μὴ δυνηθῇ στῆναι κατ᾽ αὐτῶν, τρέχει ἄνω εἰς τὸ δένδρον καὶ σώζεται. Οὕτω κἀγὼ καθέζομαι εἰς τὸ κελλίον μου καὶ θεωρῶ τοὺς πονηροὺς λογισμοὺς ἐπάνω μου· καὶ ὅτε μὴ ἰσχύσω πρὸς αὐτοὺς καταφεύγω πρὸς τὸν Θεὸν διὰ τῆς προσευχῆς καὶ σῴζομαι ἐκ τοῦ ἐχθροῦ.

30. Γέρων τις ἦν ἐν τῇ Σκήτει πονικὸς μὲν ἐν τῷ σωματικῷ, οὐκ ἀκριβὴς δὲ ἐν τοῖς λογισμοῖς. Ἀπῆλθεν οὖν πρὸς τὸν ἀββᾶν Ἰωάννην ἐρωτῆσαι αὐτὸν περὶ τῆς λήθης. Καὶ ἀκούσας παρ᾽ αὐτοῦ λόγον, ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ καὶ ἐπελάθετο ὃ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ἰωάννης. Καὶ ἀπῆλθε πάλιν ἐρωτῆσαι αὐτόν. Ἀκούσας δὲ παρ᾽ αὐτοῦ ὁμοίως τὸν λόγον ὑπέστρεψεν. Ὡς δὲ ἔφθασε τὸ ἴδιον κελλίον, πάλιν ἐπελάθετο.

13. Βλ. ὑποσημ. 12.

νά σκορπίζεται οὔτε μιλοῦσε γιά κάτι πού ἀφορᾶ τή ζωή αὐτή, καί τοῦ λένε: «Εὐχαριστοῦμε τόν Θεό πού ἔβρεξε φέτος πολύ, ἤπιαν οἱ φοινικιές καί βγάζουν βλαστάρια καί ἔχουν ἔτσι ὑλικό οἱ ἀδελφοί γιά τό ἐργόχειρό τους».

Καί τούς λέει ὁ ἀββᾶς Ἰωάννης: «Ἔτσι συμβαίνει καί μέ τό Ἅγιο Πνεῦμα. Ὅταν κατέρχεται στίς καρδίες τῶν ἁγίων, ἀνανεώνονται καί ξεπετοῦν βλαστάρια μέσα στόν φόβο τοῦ Θεοῦ».

28. Ἔλεγαν ἐπίσης γι᾽ αὐτόν ὅτι ἔκανε πλεξούδα γιά δυό ζεμπίλια καί ἔραψε μ᾽ αὐτήν ἕνα καί δέν τό κατάλαβε, ἕως ὅτου ἔφθασε τό ζεμπίλι στόν τοῖχο· γιατί ὁ λογισμός του ἦταν ἀφοσιωμένος στή θεωρία[13].

29. Εἶπε ὁ ἀββᾶς Ἰωάννης: «Μοιάζω μέ ἄνθρωπο πού πέφτει νά κοιμηθεῖ κάτω ἀπό δένδρο μεγάλο καί βλέπει νά ἔρχονται πρός τό μέρος του πολλά θηρία καί ἑρπετά. Καί ἄν δεῖ ὅτι δέν θά μπορέσει νά τά ἀντιμετωπίσει, τρέχει πάνω στό δένδρο καί σώζεται. Ἔτσι κι ἐγώ κάθομαι στό κελί μου καί βλέπω τούς πονηρούς λογισμούς πάνω μου. Καί ὅταν δέν μπορῶ νά τούς ἀντιμετωπίσω, καταφεύγω στόν Θεό μέ τήν προσευχή καί γλυτώνω ἀπό τόν ἐχθρό».

30. Ἦταν ἕνας Γέροντας στή Σκήτη ἀκούραστος στίς σωματικές ἐργασίες[14] ἀλλά ὄχι ἀκριβής στή λειτουργία τοῦ νοῦ. Πῆγε λοιπόν στόν ἀββᾶ Ἰωάννη νά τόν ρωτήσει γιά τή λήθη. Ἄκουσε τί τοῦ εἶπε καί γύρισε στό κελί του, ἀλλά ξέχασε αὐτό πού τοῦ εἶπε ὁ ἀββᾶς Ἰωάννης. Πάει λοιπόν νά τόν ξαναρωτήσει. Ἀφοῦ ἄκουσε ἀπό τόν ἀββᾶ τά ἴδια, ἐπέστρεψε. Μόλις ὅμως ἔφθασε στό κελί του, πάλι τά ξέχασε.

14. Δηλαδή ὅλες οἱ ἐργασίες καί οἱ ἀσκήσεις πού γίνονται μέ σωματικό κόπο.

Οὕτω δὲ πλειστάκις ἀπερχόμενος ἐν τῷ ὑποστρέφειν κατεκυριεύετο ὑπὸ τῆς λήθης.

Μετὰ δὲ ταῦτα ἀπαντήσας τῷ Γέροντι εἶπεν· Οἶδας, ἀββᾶ, ὅτι ἐπελαθόμην πάλιν ὅ μοι εἴρηκας; Ἀλλ' ἵνα μὴ ὀχλήσω σοι οὐκ ἦλθον. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἰωάννης· Ὕπαγε ἅψαι λύχνον. Καὶ ἧψε. Εἶπε δὲ αὐτῷ πάλιν· Φέρε ἄλλους λύχνους καὶ ἅψαι αὐτοῦ. Ἐποίησε δὲ ὁμοίως. Καὶ εἶπεν ὁ ἀββᾶς Ἰωάννης τῷ Γέροντι· Μή τί ποτε ἐβλάβη ὁ λύχνος ὅτι ἧψας ἐξ αὐτοῦ τοὺς ἄλλους λύχνους; Λέγει· Οὐχί. Εἶπε δὲ ὁ Γέρων· Οὕτως οὐδὲ Ἰωάννης· ἐὰν ἡ Σκῆτις ἔρχεται πρός με ὅλη, οὐ μή με ἐμποδίσει ἀπὸ τῆς χάριτος τοῦ Χριστοῦ. Τοίνυν ὅταν θέλῃς, ἔρχου μηδὲν διακρινόμενος. Καὶ οὕτω διὰ τῆς ὑπομονῆς τῶν ἀμφοτέρων ἦρε τὴν λήθην ὁ Θεὸς ἀπὸ τοῦ Γέροντος. Αὕτη δὲ ἦν ἡ ἐργασία τῶν Σκητιωτῶν, διδόναι προθυμίαν τοῖς πονουμένοις καὶ βιαζομένοις ἑαυτοὺς εἰς τὸ κερδῆσαι ἀλλήλους εἰς τὸ ἀγαθόν.

31. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ἰωάννην λέγων· Τί ποιήσω ὅτι πολλάκις ἔρχεται ἀδελφὸς λαβεῖν με εἰς ἔργον καὶ ἐγὼ ταλαίπωρός εἰμι καὶ ἀσθενὴς καὶ κοπιῶ εἰς τὸ πρᾶγμα; Τί οὖν ποιήσω διὰ τὴν ἐντολήν; Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπε· Χάλεβ εἶπε τῷ Ἰησοῦ υἱῷ Ναυῆ· Τεσσαράκοντα ἐτῶν ἤμην, ὅτε

15. Λήθη: Ἐδῶ δέν πρόκειται τόσο περί τῆς πλημμελοῦς λειτουργίας τῆς μνήμης ὡς ὀργανικῆς ἀδυναμίας, ὅσο τοῦ φαινομένου τῆς λήθης πού ὀφείλεται σέ ὀλιγωρία πνευματική περί τοῦ θείου λόγου καί ὅλων ἐκείνων πού συνιστοῦν τή νήψη, τήν ἐπαγρύπνηση τῆς ψυχῆς. «Λήθη καθ' ἑαυτὴν —λέει ὁ ὅσιος Μάρκος— οὐδεμίαν ἔχει δύναμιν, ἀλλ' ἐκ τῶν ἡμετέρων ἀμελειῶν κρατύνεται». Βλ. Περί πνευματικοῦ νόμου, § 58-63, *Φιλοκαλία* τ. Α', σελ. 99-100.

—Τοῦ ἰδίου, Πρός Νικόλαον μονάζοντα σελ. 136 στίχ. 615 καί σελ. 137 στίχ. 25 ὥς τέλος.

—Βλ. Ἡσυχίου Πρεσβυτέρου Πρός Θεόδουλον, *Φιλοκαλία* τ. Α' σελ. 146 § 32.

16. Ματθ. 5, 41.

Κατά τόν ἴδιο τρόπο πῆγε πάρα πολλές φορές ἀλλά στήν ἐπιστροφή δέν ἔμενε τίποτε στή μνήμη του.

Μετά ἀπό λίγο καιρό, ὅταν συνάντησε τόν Γέροντα, τοῦ εἶπε: «Ἀββᾶ, ξέρεις ὅτι ξέχασα πάλι αὐτό πού μοῦ εἶπες; Ἀλλά δέν ἦλθα, γιά νά μή σέ ἐνοχλήσω». Καί ὁ ἀββᾶς Ἰωάννης τοῦ λέει: «Πήγαινε νά ἀνάψεις ἕνα λυχνάρι», καί τό ἄναψε. «Φέρε κι ἄλλα λυχνάρια —τοῦ ξαναλέει— καί ἄναψέ τα ἀπ' αὐτό». Ἔκανε ὅπως τοῦ εἶπε. Ρωτάει τόν Γέροντα ὁ ἀββᾶς Ἰωάννης: «Μήπως βλάφθηκε καθόλου τό λυχνάρι, γιατί ἄναψες ἀπ' αὐτό τά ἄλλα λυχνάρια;» «Ὄχι» ἀπαντᾶ. «Ἔτσι λοιπόν οὔτε καί ὁ Ἰωάννης —εἶπε ὁ Γέροντας— καί ἄν ὅλη ἡ Σκήτη ἔρθει σέ μένα, δέν θά μέ ἐμποδίσει ἀπό τή χάρη τοῦ Χριστοῦ. Ὅταν λοιπόν θέλεις, νά ἔρχεσαι χωρίς νά διστάζεις καθόλου».

Ἔτσι χάρις στήν ὑπομονή καί τῶν δύο, ἐξάλειψε ὁ Θεός τή λήθη[15] ἀπό τόν Γέροντα. Τέτοια ἦταν ἡ ἐργασία τῶν Σκητιωτῶν, νά κεντρίζουν δηλαδή τήν προθυμία αὐτῶν πού κοπιάζουν καί βιάζουν τόν ἑαυτό τους, ὥστε νά κερδίσουν ὁ ἕνας τόν ἄλλο γιά τήν προκοπή του στό καλό.

31. Ρώτησε ἀδελφός τόν ἀββᾶ Ἰωάννη: «Τί νά κάνω; Ἔρχεται πολλές φορές ἕνας ἀδελφός νά μέ πάρει γιά δουλειά, καί ἐγώ εἶμαι ταλαιπωρημένος καί ἀδύναμος καί αἰσθάνομαι πολλή δυσκολία γιά νά τό κάνω. Τί νά κάνω ὅμως πού παραβαίνω τήν ἐντολή;»[16] Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ὁ Χάλεβ εἶπε στόν Ἰησοῦ, τόν γιό τοῦ Ναυῆ:

ἀπέστειλέ με Μωυσῆς, ὁ δοῦλος Κυρίου, ἐκ τῆς ἐρήμου μετὰ σοῦ εἰς τὴν γῆν ταύτην, καὶ νῦν εἰμι ἐτῶν ὀγδοήκοντα πέντε. Ὡς τότε ἤμην, καὶ νῦν ἰσχύω εἰσελθεῖν καὶ ἐξελθεῖν εἰς τὸν πόλεμον. Ὥστε οὖν καὶ σύ, εἰ δύνασαι, ἵνα ὡς ἐξέρχῃ, οὕτω καὶ εἰσέρχῃ, ὕπαγε. Εἰ δὲ οὐ δύνασαι οὕτω ποιῆσαι, κάθου εἰς τὸ κελλίον σου κλαίων τὰς ἁμαρτίας σου. Καὶ ἐὰν εὕρωσί σε πενθοῦντα, οὐκ ἀναγκάσουσί σε ἐξελθεῖν.

32. Ὁ αὐτὸς ἔλεγε τῷ μαθητῇ αὐτοῦ· Τιμήσωμεν τὸν ἕνα καὶ πάντες τιμῶσιν ἡμᾶς· ἐὰν δὲ καταφρονήσωμεν τοῦ ἑνὸς ὅς ἐστιν ὁ Θεός, καταφρονοῦσιν ἡμᾶς πάντες καὶ εἰς ἀπώλειαν ὑπάγομεν.

33. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου ὅτι ἦλθεν εἰς τὴν ἐκκλησίαν εἰς Σκῆτιν καὶ ἀκούσας ἀντιλογίας τινῶν ἀδελφῶν ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ. Καὶ κυκλώσας αὐτὴν τρίτον οὕτως εἰσῆλθε. Καὶ ἰδόντες αὐτὸν ἀδελφοί τινες ἠπόρησαν διατί τοῦτο ἐποίησε. Καὶ ἐλθόντες ἠρώτησαν αὐτόν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τὰ ὦτά μου εἶχον ἀπὸ τῆς ἀντιλογίας μεστά· ἐκύκλωσα οὖν ἵνα καθαρίσω αὐτὰ καὶ οὕτως εἰσέλθω ἐν ἡσυχίᾳ τοῦ νοός μου εἰς τὸ κελλίον μου.

34. Ἦλθέ ποτε ἀδελφὸς εἰς τὴν κέλλαν τοῦ ἀββᾶ Ἰωάννου ὀψὲ σπουδάζων ἀπελθεῖν. Καὶ λαλούντων αὐτῶν περὶ ἀρετῶν γέγονε πρωὶ καὶ οὐκ ἔγνωσαν. Καὶ ἐξῆλθε προπέμψαι

17. Ἰησ. Ναυῆ 14, 10. Ὁ ἀββᾶς Ἰωάννης ἀναφέρει στόν ἀδελφό τό παράδειγμα τοῦ Χάλεβ, διότι ἡ ἀπάντηση τοῦ Χάλεβ στόν Ἰησοῦ τοῦ Ναυῆ ἦταν ἀποτέλεσμα τῆς πίστης του στή θαυματουργική διατήρηση τῶν δυνάμεών

Ἤμουν σαράντα χρονῶν, ὅταν ὁ Μωυσῆς, ὁ δοῦλος τοῦ Κυρίου, μέ ἔστειλε μαζί μέ σένα ἀπό τήν ἔρημο σ᾽ αὐτή τή χώρα, καί τώρα εἶμαι ὀγδονταπέντε. Ὅπως ἤμουν τότε, καί τώρα ἔχω τή δύναμη νά μπῶ στόν πόλεμο καί νά βγῶ[17].

Ἔτσι λοιπόν καί σύ ἐάν μπορεῖς, ὅπως θά βγεῖς ἔτσι καί νά μπεῖς, πήγαινε. Ἄν ὅμως δέν μπορεῖς νά τό κάνεις αὐτό, κάτσε στό κελί σου κλαίγοντας τίς ἁμαρτίες σου. Καί ἄν σέ βροῦν νά πενθεῖς, δέν θά σέ βιάσουν νά βγεῖς».

32. Ὁ ἴδιος ἔλεγε στόν μαθητή του: «Νά τιμήσουμε τόν ἕνα καί ὅλοι θά μᾶς τιμοῦν. Ἄν ὅμως καταφρονήσουμε τόν ἕνα, πού αὐτός εἶναι ὁ Θεός, θά μᾶς καταφρονήσουν οἱ πάντες καί πᾶμε γιά ἀπώλεια».

33. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰωάννη ὅτι πῆγε στήν ἐκκλησία στή Σκήτη καί σάν ἄκουσε νά ἀντιμιλοῦν μερικοί ἀδελφοί, ἐπέστρεψε στό κελί του. Καί ἀφοῦ ἔφερε τρεῖς γύρους ἔξω ἀπ᾽ αὐτό, κατόπιν μπῆκε. Τόν εἶδαν κάποιοι ἀδελφοί καί ἀπόρησαν γιατί τό ἔκανε. Πῆγαν λοιπόν καί τόν ρώτησαν. Κι ἐκεῖνος εἶπε: «Τά αὐτιά μου ἦταν γεμᾶτα ἀπό τήν ἀντιλογία. Ἔκανα λοιπόν τούς γύρους γιά νά τά καθαρίσω καί μετά μέ ἤρεμο τόν νοῦ μου νά μπῶ στό κελί μου».

34. Ἦλθε κάποτε ἕνας ἀδελφός στό κελί τοῦ ἀββᾶ Ἰωάννη τό σούρουπο καί βιαζόταν νά φύγει. Συζητώντας ὅμως γιά τίς ἀρετές ξημέρωσε καί δέν τό κατάλαβαν. Βγῆκε ὁ ἀββᾶς νά τόν κατευοδώσει καί ἔμεναν συζητώντας ὥς τίς

του στά ὀγδονταπέντε του χρόνια. Συνεπάγεται λοιπόν ὅτι καί ὁ ἀδελφός ἄν θά εἶχε τήν πίστη αὐτή, θά μποροῦσε νά ξεκινήσει γιά τήν ἐργασία πού τόν καλοῦσαν ξεπερνώντας τήν ἀδυναμία του.

αὐτὸν καὶ ἔμειναν λαλοῦντες ἕως ἕκτης ὥρας καὶ εἰσήνεγκεν αὐτὸν καὶ γευσάμενος οὕτως ἀπῆλθεν.

35. Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὅτι φυλακή ἐστι τὸ καθέζεσθαι ἐν τῷ κελλίῳ καὶ μνημονεύειν τοῦ Θεοῦ πάντοτε. Καὶ τοῦτό ἐστιν ὅτι ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με.

36. Ἦλθεν ἀδελφός τις λαβεῖν σπυρίδας παρὰ τοῦ ἀββᾶ Ἰωάννου. Καὶ ἐξελθὼν λέγει αὐτῷ· Τί θέλεις, ἀδελφέ; Ὁ δὲ εἶπε· Σπυρίδας, ἀββᾶ. Εἰσελθὼν δὲ ἐκβαλεῖν αὐτάς, ἐπελάθετο καὶ ἐκάθισε ῥάπτειν. Πάλιν ἔκρουσε καὶ ὡς ἐξῆλθε λέγει αὐτῷ· Φέρε τὰς σπυρίδας, ἀββᾶ. Καὶ εἰσελθὼν πάλιν ἐκάθισε ῥάπτειν. Καὶ πάλιν ἐκεῖνος ἔκρουσε. Καὶ ἐξελθὼν λέγει αὐτῷ· Τί θέλεις, ἀδελφέ; Ὁ δὲ εἶπε· Τὰς σπυρίδας, ἀββᾶ. Καὶ κρατήσας αὐτοῦ τῆς χειρὸς εἰσήνεγκεν αὐτὸν ἔσω λέγων· Εἰ σπυρίδας θέλεις, λάβε καὶ περιπάτει, ἐγὼ γὰρ οὐ σχολάζω.

37. Ἦλθέ ποτε καμηλίτης, ἵνα λάβῃ τὰ σκεύη αὐτοῦ καὶ ἀπέλθῃ εἰς ἄλλον τόπον. Ὁ δὲ εἰσελθὼν ἐνέγκαι αὐτῷ τὴν σειράν, λαβὼν ἐπελάθετο τεταμένην ἔχων τὴν διάνοιαν πρὸς τὸν Θεόν. Πάλιν οὖν ὤχλησεν ὁ καμηλίτης κρούων τὴν θύραν καὶ πάλιν ὁ ἀββᾶς Ἰωάννης εἰσερχόμενος ἐπελάθετο. Τὸ δὲ τρίτον κρούσαντος τοῦ καμηλίτου εἰσερχόμενος ἔλεγε· Σειρὰ κάμηλος, σειρὰ κάμηλος.

38. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου ὅτι, ὡς ἤρχετο ἐκ τοῦ θέρους πρὶν ἢ παραβάλλει τοῖς Γέρουσιν, εἰς τὴν εὐχὴν καὶ

18. Ματθ. 25, 36.

δώδεκα τό μεσημέρι. Τόν πῆρε κατόπιν μέσα, τόν ἔβαλε νά φάει καί τελικά ἔφυγε.

35. Ἔλεγε ὁ ἀββᾶς Ἰωάννης ὅτι φυλακή εἶναι τό νά μένει κανείς στό κελί καί νά μνημονεύει ἀδιάλειπτα τόν Θεό. Καί αὐτό σημαίνει τό «ἤμουν φυλακισμένος καί ἤλθατε σέ μένα[18]».

36. Ἦλθε κάποιος ἀδελφός νά πάρει ζεμπίλια ἀπό τόν ἀββᾶ Ἰωάννη. Βγαίνει ὁ ἀββᾶς καί τόν ρωτάει: «Τί θέλεις, ἀδελφέ;» «Ζεμπίλια, ἀββᾶ», ἀπαντᾶ. Μπαίνει μέσα νά τά βγάλει, ἀλλά ξεχάσθηκε καί κάθισε στό ράψιμο. Πάλι χτύπησε καί ὅταν βγῆκε, τοῦ λέει: «Φέρε τά ζεμπίλια, ἀββᾶ». Μπῆκε λοιπόν καί κάθισε πάλι στό ράψιμο. Καί πάλι ὁ ἀδελφός χτύπησε. Βγαίνει καί τόν ρωτᾶ: «Τί θέλεις, ἀδελφέ;» «Τά ζεμπίλια, ἀββᾶ» τοῦ λέει. Τόν πιάνει λοιπόν ἀπό τό χέρι, τόν βάζει μέσα λέγοντας: «Ἐάν θέλεις ζεμπίλια, πάρε τα καί πήγαινε, γιατί ἐγώ δέν εὐκαιρῶ».

37. Ἦλθε κάποτε ἕνας καμηλιέρης νά πάρει τά πράγματα πού εἶχε παραγγείλει καί νά πάει σ' ἄλλο τόπο. Ὁ ἀββᾶς μπῆκε μέσα νά τοῦ φέρει τή σειρά[19], τήν πῆρε στό χέρι ἀλλά ξεχάσθηκε, γιατί ὁ νοῦς του ἦταν δοσμένος στόν Θεό. Τόν ἐνόχλησε σέ λίγο ὁ καμηλιέρης κτυπώντας τήν πόρτα ἀλλά καί πάλι ὁ ἀββᾶς Ἰωάννης μπαίνοντας ξεχάσθηκε. Στό τρίτο χτύπημα πιά τοῦ καμηλιέρη, μπαίνοντας ἔλεγε: «Σειρά καμήλα, σειρά καμήλα».

38. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰωάννη ὅτι ὅταν ἐπέστρεφε ἀπό τόν θερισμό, προτοῦ ἐπισκεφθεῖ τούς Γέροντες, ἀφο-

19. Σειρά: Βλ. Ι ὑποσημ. 138 σελ. 202.

εἰς τὴν μελέτην καὶ εἰς τὴν ψαλμῳδίαν ἐσχόλαζεν, ἕως ἀπεκατεστάθη ὁ λογισμὸς αὐτοῦ εἰς τὴν τάξιν τὴν ἀρχαίαν.

39. Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος· Ἐγὼ ὅτε ἤμην νεώτερος καὶ ἐκαθήμην εἰς τὸ κελλίον μου, μέτρον συνάξεως οὐκ εἶχον, ἡ νύξ μοι καὶ ἡ ἡμέρα μία σύναξις ἦν.

40. Εἶπε πάλιν· Ἀπῆλθόν ποτε ἐν τῇ ἀγορᾷ πωλῆσαι σκεύη μικρά· καὶ ἰδὼν τὴν ὀργὴν ἐγγίζουσάν μοι ἐάσας τὰ σκεύη ἔφυγον.

41. Εἶπεν ὁ ἀββᾶς Ἰωσὴφ τῷ ἀββᾷ Λώτ· Οὐ δύνασαι γενέσθαι μοναχός ἐὰν μὴ γένῃ, ὥσπερ φλογιζόμενος ὅλος.

42. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀπολλῶ ὅτι εἶχε μαθητὴν ὀνόματι Ἰσαὰκ πεπαιδευμένον εἰς πᾶν ἔργον ἀγαθόν. Καὶ ἐκτήσατο τὴν τῆς ἁγίας προσφορᾶς ἡσυχίαν· καὶ ὅταν ἐξήρχετο εἰς τὴν ἐκκλησίαν, οὐ συνεχώρει τινὰς ἐλθεῖν εἰς συντυχίαν ἑαυτοῦ. Ἦν γὰρ ὁ λόγος αὐτοῦ οὕτως· ὅτι πάντα καλὰ ἐν καιρῷ αὐτῶν. Καιρὸς γὰρ τῷ παντὶ πράγματι. Καὶ ὅταν ἀπέλυεν ἡ σύναξις, ὡς ἀπὸ πυρὸς ἦν διωκόμενος, ζητῶν καταλαβεῖν τὸ κελλίον αὐτοῦ. Πολλάκις δὲ ἐδίδετο τοῖς ἀδελφοῖς ἀπὸ συνάξεως παξαμάτης καὶ ποτήριον οἴνου· αὐτὸς δὲ οὐκ ἐλάμβανεν, οὐκ ἀπωθούμενος τὴν εὐλογίαν τῶν ἀδελφῶν, ἀλλὰ τὴν τῆς συνάξεως ἐπικρατῶν ἡσυχίαν.

Ἐγένετο δὲ αὐτῷ ἐν ἀρρωστίᾳ κατακεῖσθαι καὶ ἀκούσαντες οἱ ἀδελφοὶ ἦλθον τοῦ ἐπισκέψασθαι αὐτόν. Καθεζόμενοι δὲ οἱ ἀδελφοὶ ἠρώτησαν αὐτὸν λέγοντες· Ἀββᾶ Ἰσαάκ,

---

20. Ἐκκλ. 3, 1 καί 17.

σιωνόταν στήν προσευχή, τή μελέτη καί τήν ψαλμωδία, ἕως ὅτου ἐπανερχόταν ὁ λογισμός του στήν καθιερωμένη του μοναχική τάξη.

39. Εἶπε ὁ ἀββᾶς Ἰσίδωρος*: «Ἐγώ ὅταν ἤμουν νέος καί ζοῦσα στό κελί μου, μέτρο γιά τίς ἀκολουθίες δέν εἶχα· ἡ νύκτα μου καί ἡ ἡμέρα μιά ἀκολουθία ἦταν».

40. Εἶπε ἐπίσης: «Πῆγα κάποτε στήν ἀγορά νά πουλήσω κάτι μικρά ἐργόχειρα. Καί ὅταν εἶδα νά μέ πλησιάζει ἡ ὀργή, ἄφησα τά ἐργόχειρα καί ἔφυγα».

41. Εἶπε ὁ ἀββᾶς Ἰωσήφ στόν ἀββᾶ Λώτ: «Δέν μπορεῖς νά γίνεις μοναχός, ἐάν δέν γίνεις ὁλόκληρος σάν μιά φλόγα».

42. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀπολλῶ* ὅτι εἶχε ἕναν μαθητή ὀνόματι Ἰσαάκ, πού ἦταν καταρτισμένος γιά κάθε ἔργο ἀγαθό. Αὐτός ἀπέκτησε τήν ἡσυχία πού πηγάζει ἀπό τή Θεία Εὐχαριστία. Ὅταν ἔβγαινε νά πάει στήν ἐκκλησία, δέν δεχόταν κανένα γιά συνομιλία. Ἡ ἄποψή του ἦταν ὅτι ὅλα εἶναι καλά, ὅταν γίνονται στήν κατάλληλη ὥρα γι' αὐτά. Διότι ὑπάρχει γιά κάθε πράγμα ἡ κατάλληλη ὥρα[20]. Καί ὅταν ἀπέλυε ἡ ἐκκλησία, σάν νά τόν κυνηγοῦσαν φλόγες ζητοῦσε νά φθάσει στό κελί του.

Πολλές φορές δινόταν στούς ἀδελφούς μετά τήν ἀκολουθία παξιμάδι καί ἕνα ποτήρι κρασί. Αὐτός ὅμως δέν τά ἔπαιρνε, ὄχι γιατί δέν ἐνδιαφερόταν γιά τήν εὐλογία τῶν ἀδελφῶν, ἀλλά γιά νά διαφυλάξει τήν ψυχική γαλήνη καί ὠφέλεια πού ἔπαιρνε ἀπό τή Θεία Λειτουργία.

Συνέβη λοιπόν κάποτε ν' ἀρρωστήσει καί νά πέσει στό κρεβάτι. Οἱ ἀδελφοί τό ἔμαθαν καί πῆγαν νά τόν ἐπισκεφθοῦν. Τήν ὥρα πού κάθονταν οἱ ἀδελφοί, τόν ρώτησαν:

διατί ἀπὸ συνάξεως φεύγεις τοὺς ἀδελφούς; Καὶ εἶπεν αὐτοῖς ὅτι· Τοὺς ἀδελφοὺς οὐ φεύγω, ἀλλὰ τὴν τῶν δαιμόνων κακοτεχνίαν. Καὶ γὰρ ἐὰν κατέχῃ τις λαμπάδα φωτὸς καὶ βραδύνει εἰς τὸν ἀέρα ἱστάμενος, σβέννυται ἀπ᾽ αὐτοῦ. Οὕτω καὶ ἡμεῖς, φωτιζόμενοι ὑπὸ τῆς ἁγίας προσφορᾶς, ἐὰν βραδύνωμεν ἔξω τοῦ κελλίου, σκοτίζεται ἡμῶν ὁ νοῦς. Αὕτη ἡ πολιτεία τοῦ ὁσίου ἀββᾶ Ἰσαάκ.

43. Διηγήσατο ὁ ἀββᾶς Κασσιανὸς περὶ Γέροντος ἐν ἐρήμῳ καθεζομένου, ὅτι παρεκάλεσε τὸν Θεὸν χαρίσασθαι αὐτῷ ὥστε μηδέποτε νυστάξαι αὐτὸν κινουμένης ὁμιλίας πνευματικῆς. Εἰ δέ τις καταλαλιᾶς ἢ ἀργολογίας λόγους ἐπιφέρει, εὐθέως εἰς ὕπνον καταφέρεσθαι, ἵνα μὴ ἰοῦ τοιούτου γεύωνται αἱ ἀκοαὶ αὐτοῦ.

Οὗτος δὲ ἔλεγε τὸν διάβολον σπουδαστὴν εἶναι τῆς ἀργολογίας, πολέμιον δὲ πάσης διδασκαλίας πνευματικῆς, τοιούτῳ χρώμενος ὑποδείγματι: Λαλοῦντος γάρ μου, φησί, περὶ ὠφελείας πρός τινας ἀδελφούς, τοσούτῳ ὕπνῳ βαρεῖ κατεσχέθησαν, ὥστε μήτε τὰ βλέφαρα κινεῖν δύνασθαι. Ἐγὼ οὖν θέλων δεῖξαι τοῦ δαίμονος τὴν ἐνέργειαν, λόγον ἀργολογίας παρεσήνεγκα, ἐφ᾽ ᾧ χαρέντες παραχρῆμα διένηψαν.

Στενάξας δὲ εἶπον· Μέχρι τοῦ νῦν περὶ οὐρανίων πραγμάτων διελεγόμεθα καὶ πάντων ὑμῶν οἱ ὀφθαλμοὶ τῷ ὕπνῳ συνείχοντο· ἡνίκα δὲ λόγος ἀργὸς ἐρρύη, πάντες μετὰ προθυμίας διανέστητε. Διό, ἀδελφοί, παρακαλῶ ἐπίγνωτε τοῦ πονηροῦ δαίμονος τὴν ἐνέργειαν καὶ ἑαυτοῖς προσέχετε φυλαττόμενοι τὸν νυσταγμὸν ἡνίκα τι ποιεῖτε πνευματικὸν ἢ ἀκούετε.

21. Ἀργός λόγος-ἀργολογία: Κάθε λόγος περιττός καί ἀνωφελής (Ματθ. 12, 36).

«Ἀββᾶ Ἰσαάκ, γιατί μετά τή Λειτουργία ἀποφεύγεις τούς ἀδελφούς;» Καί τούς ἀποκρίθηκε: «Δέν ἀποφεύγω τούς ἀδελφούς, ἀλλά τά δόλια τεχνάσματα τῶν δαιμόνων. Εἶναι γνωστό ὅτι ἄν κρατάει κανείς ἀναμμένη λαμπάδα καί παραμείνει πολλή ὥρα στόν ἀέρα, θά σβήσει ἀπό τόν ἀέρα. Ἔτσι κι ἐμεῖς παίρνοντας φωτισμό ἀπό τή Θεία Εὐχαριστία, ἄν χρονοτριβήσουμε ἔξω ἀπ᾽ τό κελί, θά σκοτεινιάσει ὁ νοῦς μας». Τέτοια ἦταν ἡ ζωή τοῦ ἀββᾶ Ἰσαάκ.

43. Ὁ ἀββᾶς Κασσιανός διηγήθηκε γιά κάποιον Γέροντα, πού ζοῦσε στήν ἔρημο, ὅτι παρακάλεσε τόν Θεό νά τοῦ δώσει τό χάρισμα νά μή νυστάξει ποτέ, ὅταν ἀρχίζει μιά ὁμιλία πνευματική. Καί ἐάν κανείς ἀρχίζει τήν καταλαλιά ἤ ἀργολογεῖ, εὐθύς νά τόν παίρνει ὁ ὕπνος, γιά νά μή δοκιμάζουν τά αὐτιά του τέτοιο δηλητήριο.

Ὁ ἴδιος ἔλεγε ὅτι ὁ διάβολος ἔχει ζῆλο πολύ γιά τήν ἀργολογία, ἐνῶ πολεμάει κάθε διδασκαλία πνευματική· καί χρησιμοποίησε τό ἑξῆς παράδειγμα: «Ὅταν μιλοῦσα κάποτε —εἶπε— σέ μερικούς ἀδελφούς γιά τήν ψυχική τους ὠφέλεια, τούς ἔπιασε τόσο βαριά νύστα, ὥστε νά μή μποροῦν οὔτε τά βλέφαρά τους νά κινήσουν. Ἐγώ θέλοντας νά τούς δείξω ὅτι εἶναι ἐνέργεια δαιμονική, παρενέβαλα λίγη ἀργολογία μέ τήν ὁποία χάρηκαν καί ἀμέσως ξύπνησαν. Τότε στέναξα καί εἶπα: Ὡς τήν ὥρα αὐτή μιλούσαμε γιά οὐράνια πράγματα καί ὅλων σας τά μάτια ἔκλειναν ἀπό τόν ὕπνο. Ὅταν ὅμως κύλησε ὁ ἀργός λόγος[21], ὅλοι πρόθυμα ξυπνήσατε. Παρακαλῶ λοιπόν, ἀδελφοί, ἀντιληφθεῖτε τήν ἐνέργεια τοῦ πονηροῦ δαίμονα καί προσέχετε τόν ἑαυτό σας προφυλάσσοντάς τον ἀπό τή νύστα, ὅποτε κάνετε ἤ ἀκοῦτε κάτι πνευματικό».

44. Παρεκάλεσεν ὁ ἀββᾶς Ποιμὴν τὸν ἀββᾶν Μακάριον μετὰ πολλῶν δακρύων λέγων· Εἰπέ μοι ῥῆμα, πῶς σωθῶ. Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπεν αὐτῷ· Τὸ πρᾶγμα τοῦτο ὃ ζητεῖς ἀπῆλθε νῦν ἀπὸ τῶν μοναχῶν.

45. Εἶπεν ὁ ἀββᾶς Μακάριος ὁ μέγας· Ὀφείλει ἡ ψυχὴ τοὺς λογισμοὺς ἑαυτῆς ἐν ψαλμῳδίαις μετὰ κατανύξεως συνάγειν καὶ μηδὲν ἄλλο ἐννοεῖν ἢ τὴν προσδοκίαν τοῦ Κυρίου καὶ τὴν ἀγάπην αὐτῆς τὴν ἔμφυτον πρὸς αὐτὸν μόνον ἀποσῴζειν. Καὶ ὥσπερ μήτηρ συνάγει τά τέκνα εἰς τὸν οἶκον παιδεύουσα καὶ νουθετοῦσα, οὕτω καὶ ἡ ψυχὴ ὀφείλει τοὺς ἑαυτῆς λογισμοὺς συνάγειν πάντοθεν ῥεμβομένους ὡς ἴδια τέκνα, κἂν ὑπὸ τῆς ἁμαρτίας σκορπίζωνται, ὅπως τὸ ἑαυτῇ δυνατὸν ἀπαύστως συνάγῃ τοὺς λογισμοὺς καὶ προσδοκᾷ τὸν Κύριον ἐν πίστει βεβαίᾳ, ἵνα ἐλθὼν πρὸς αὐτὴν διδάξῃ εὐχὴν ἀληθινήν, ἀπερίσπαστον πρὸς τὴν αὐτοῦ μόνον αἴτησιν.

46. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς· Οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν στρατείαν τοῦ Χριστοῦ, ἐὰν μὴ γίνηται ὡς πῦρ ὅλος καὶ καταφρονήσῃ τῆς τιμῆς καὶ ἀναπαύσεως καὶ τὰ θελήματα τῆς σαρκὸς ἐκκόψῃ καὶ φυλάξῃ πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ.

47. Εἶπε πάλιν· Κτησώμεθα τὴν εὐλάβειαν καὶ τὴν σεμνότητα καὶ τὴν πραότητα καὶ τὴν εὐσέβειαν πρὸς πάντας ἀνθρώπους καὶ τὴν ἐπιστήμην, ἵνα δυνηθῶμεν φυγεῖν τὴν παρρησίαν, τὴν μητέρα πάντων τῶν κακῶν.

44. Παρακάλεσε ὁ ἀββᾶς Ποιμὴν* τόν ἀββᾶ Μακάριο μέ δάκρυα στά μάτια: «Πές μου ἕναν λόγο πῶς μπορῶ νά σωθῶ;» Καί ὁ Γέροντας τοῦ ἀποκρίθηκε καί εἶπε: «Τό πράγμα αὐτό πού ζητᾶς, ἔχει ἀποχωρήσει τώρα πιά ἀπό τούς μοναχούς».

45. Εἶπε ὁ ἀββᾶς Μακάριος* ὁ Μέγας: «Ὀφείλει ἡ ψυχή τίς ὧρες τῆς ψαλμωδίας νά συμμαζεύει τούς λογισμούς της μέ κατάνυξη καί τίποτε ἄλλο νά μήν ἔχει στόν νοῦ παρά τήν ἀναμονή τοῦ Κυρίου· καί τήν ἀγάπη της τήν ἔμφυτη νά τήν διαφυλάττει γι᾽ αὐτόν καί μόνο.

Καί ὅπως ἀκριβῶς ἡ μητέρα μαζεύει τά παιδιά στό σπίτι, γιά νά τά διδάξει καί νά τά συμβουλεύσει, ἔτσι καί ἡ ψυχή ἔχει χρέος τούς λογισμούς της πού περιπλανῶνται ἐδῶ κι ἐκεῖ, νά τούς συμμαζεύει ἀπό παντοῦ σάν δικά της τέκνα, ἔστω κι ἄν ἡ ἁμαρτία τούς διασκορπίζει· ὥστε ὅσο ἐξαρτᾶται ἀπ᾽ αὐτήν ἀκατάπαυστα νά συμμαζεύει τούς λογισμούς καί νά ἀναμένει τόν Κύριο μέ πίστη βεβαία, γιά νά ἔρθει καί νά τῆς διδάξει τήν ἀληθινή προσευχή, τήν ἀπερίσπαστη ἀπό τήν ἀναζήτηση Αὐτοῦ καί μόνον».

46. Εἶπε ὁ ἀββᾶς Μωυσῆς*: «Δέν μπορεῖ κανείς νά μπεῖ στόν στρατό τοῦ Χριστοῦ, ἄν δέν γίνει σάν φωτιά ὅλος, ἄν δέν καταφρονήσει τή δόξα καί τήν καλοπέραση, ἄν δέν ξεριζώσει τίς ἀπαιτήσεις τοῦ παλαιοῦ ἀνθρώπου καί δέν τηρήσει ὅλες τίς ἐντολές τοῦ Θεοῦ».

47. Εἶπε ἀκόμη: «Ἄς κάνουμε κτῆμα μας τήν εὐλάβεια καί τή σεμνότητα, τήν πραότητα καί τόν σεβασμό πρός ὅλους τούς ἀνθρώπους καί τήν ἀληθινή γνώση, γιά νά μπορέσουμε νά ἀποφύγουμε τήν παρρησία, πού εἶναι μητέρα ὅλων τῶν κακῶν».

48. Εἶπε πάλιν ὅτι ὀφείλει ἄνθρωπος νεκρῶσαι ἑαυτὸν ἀπὸ παντὸς πονηροῦ πράγματος πρὸ τοῦ ἐξελθεῖν ἀπὸ τοῦ σώματος τοῦ μὴ κακῶσαί τινα ἄνθρωπον.

49. Ἔλεγον περὶ τοῦ ἀββᾶ Νισθερώου ὅτι ἔμεινεν εἰς Ῥαϊθοῦ καὶ ἐλάμβανε κατ᾽ ἐνιαυτὸν τρεῖς ἑβδομάδας καὶ ἔρραπτεν ἓξ σπυρίδας καθ᾽ ἑβδομάδα.

50. Εἶπεν ὁ ἀββᾶς Νισθερῶος ὅτι ὀφείλει ὁ μοναχὸς καθ᾽ ἑσπέραν καὶ πρωίας λόγον ποιεῖσθαι, τί ὧν θέλει ὁ Θεὸς ἐποιήσαμεν καὶ τί ὧν οὐ θέλει ὁ Θεὸς οὐκ ἐποιήσαμεν. Καὶ οὕτω τρακτεύωμεν ἑαυτῶν τὴν πᾶσαν ζωήν. Οὕτω γὰρ ἔζησεν ὁ ἀββᾶς Ἀρσένιος.

Σπούδαζε ἑκάστην ἡμέραν παρεστάναι τῷ Θεῷ χωρὶς ἁμαρτίας. Οὕτω προσεύχου τῷ Θεῷ ὡς παρὼν παρόντι καὶ γὰρ ἀληθῶς πάρεστι. Μὴ νομοθέτει ἑαυτῷ, κρίνε δὲ μηδένα. Μοναχῷ ἀλλότριον ὑπάρχει τὸ ὀμνύειν, ἐπιορκεῖν, ψεύδεσθαι, καταρᾶσθαι, ὑβρίζειν, γελᾶν. Ὁ δὲ πλέον τῆς ἀξίας τιμώμενος ἢ ἐπαινούμενος ζημιοῦται.

51. Εἶπεν ὁ ἀββᾶς Ξανθίας· Ὁ ληστὴς ἐν τῷ σταυρῷ ἦν καὶ ἀπὸ ἑνὸς λόγου ἐδικαιώθη· καὶ ὁ Ἰούδας μετὰ τῶν Ἀποστόλων συνηριθμημένος ἦν καὶ ἐν νυκτὶ μιᾷ ἀπώλεσε πάντα τὸν κάματον καὶ κατέβη ἐξ οὐρανῶν εἰς ᾅδου. Διὸ μηδεὶς εὐπραγὼν καυχάσθω. Πάντες γὰρ οἱ πεποιθότες ἐφ᾽ ἑαυτοῖς ἔπεσον.

52. Εἶπεν ὁ ἀββᾶς Ὀλύμπιος ὅτι κατέβη ποτὲ ἱερεὺς τῶν

22. Ἐννοεῖται μέ τίς ἁμαρτωλές του σκέψεις.

48. Εἶπε ἐπίσης: «Ὀφείλει ὁ ἄνθρωπος νά νεκρώσει τόν ἑαυτό του ὡς πρός κάθε τι ἁμαρτωλό, προτοῦ χωρισθεῖ ἀπό τό σῶμα, γιά νά μήν κάνει ζημιά σέ κανένα ἄνθρωπο[22]».

49. Ἔλεγαν γιά τόν ἀββᾶ Νισθερῶο ὅτι ἔμεινε στήν Ραϊθώ· καί κάθε χρόνο ἔπιανε καί ἔραβε τρεῖς ἑβδομάδες καί ἔφτιαχνε ἕξι ζεμπίλια τήν ἑβδομάδα.

50. Εἶπε ὁ ἀββᾶς Νισθερῶος: «Ὁ μοναχός ὀφείλει κάθε βράδυ καί πρωί νά λογαριάζει τί κάναμε ἀπ᾽ ὅσα θέλει ὁ Θεός, καί τί ἀποφύγαμε ἀπ᾽ ὅσα δέν θέλει. Καί μ᾽ αὐτόν τόν τρόπο ἄς ἐξετάζουμε τήν ὅλη μας ζωή. Γιατί ἔτσι ἔζησε ὁ ἀββᾶς Ἀρσένιος.

Φρόντιζε μέ ζῆλο ἡ κάθε μέρα σου νά παρουσιάζεται στόν Θεό χωρίς ἁμαρτία. Νά προσεύχεσαι στόν Θεό ὡς παρών σέ παρόντα, γιατί πραγματικά εἶναι παρών. Μή γίνεσαι νομοθέτης στόν ἑαυτό σου καί κανένα νά μήν κρίνεις. Ὁ ὅρκος, ἡ καταπάτηση τοῦ ὅρκου, τό ψέμα, ἡ κατάρα, ἡ ὕβρις, τό γέλιο εἶναι ξένα γιά τόν μοναχό. Καί ἐκεῖνος ὁ ὁποῖος ἐκτιμᾶται ἤ ἐπαινεῖται περισσότερο ἀπ᾽ ὅ,τι ἀξίζει, βλάπτεται».

51. Εἶπε ὁ ἀββᾶς Ξανθίας: «Ὁ ληστής στόν σταυρό ἦταν καί δικαιώθηκε ἀπό ἕνα λόγο[23]. Καί ὁ Ἰούδας ἦταν ἕνας ἀπό τούς Ἀποστόλους[24] καί σέ μιά νύκτα ἔχασε ὅλο τόν κόπο του καί ἀπό τά οὐράνια κατέβηκε στόν ᾅδη. Γι᾽ αὐτό ὅταν βρίσκεται κανείς σέ καλή κατάσταση, ἄς μήν καυχᾶται. Γιατί ὅλοι, ὅσοι στηρίχθηκαν στόν ἑαυτό τους, ἔπεσαν».

52. Ὁ ἀββᾶς Ὀλύμπιος εἶπε: «Κάποτε κατέβηκε στή

23. Λουκ. 23, 42-43. 24. Ματθ. 27, 35.

ἑλλήνων εἰς Σκῆτιν καὶ ἦλθεν εἰς τὸ κελλίον μου καὶ ἐκοιμήθη. Καὶ θεασάμενος τὴν διαγωγὴν τῶν μοναχῶν λέγει μοι· Οὕτω διάγοντες οὐδὲν θεωρεῖτε παρὰ τῷ Θεῷ ὑμῶν; Καὶ λέγω αὐτῷ· Οὐχί. Καὶ λέγει μοι ὁ ἱερεύς· Τέως ἡμῶν ἱερουργούντων τῷ θεῷ ἡμῶν οὐδὲν κρύπτει ἀφ' ἡμῶν, ἀλλὰ ἀποκαλύπτει ἡμῖν τὰ μυστήρια αὐτοῦ. Καὶ ὑμεῖς τοσοῦτον κόπον ποιοῦντες, ἀγρυπνίας, ἡσυχίας, ἀσκήσεις, λέγεις οὐδὲν θεωροῦμε; Πάντως οὖν, εἰ οὐδὲν θεωρεῖτε, λογισμοὺς πονηροὺς ἔχετε εἰς τὰς καρδίας ὑμῶν τοὺς χωρίζοντας ὑμᾶς ἀπὸ τοῦ Θεοῦ ὑμῶν καὶ διὰ τοῦτο οὐκ ἀποκαλύπτει ὑμῖν τὰ μυστήρια αὐτοῦ. Καὶ ἀπῆλθον καὶ ἀπήγγειλα τοῖς Γέρουσι τὰ ῥήματα τοῦ ἱερέως, καὶ ἐθαύμασαν καὶ εἶπον ὅτι οὕτως ἐστίν· οἱ γὰρ ἀκάθαρτοι λογισμοὶ χωρίζουσι τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ.

53. Εἶπεν ὁ ἀββᾶς Ὀρσίσιος· Νομίζω, ἐὰν μὴ ἄνθρωπος φυλάξῃ τὴν ἑαυτοῦ καρδίαν καλῶς, πάντα ὅσα ἤκουσεν ἐπιλανθάνεται καὶ ἀμελεῖ. Καὶ οὕτως ὁ ἐχθρὸς εὑρὼν ἐν αὐτῷ τόπον καταβάλλει αὐτόν. Ὥσπερ γὰρ λύχνος σκευασθεὶς καὶ φαίνων, ἐὰν ἀμεληθῇ λαβεῖν ἔλαιον, κατ' ὀλίγον σβέννυται καὶ λοιπὸν ἐνδυναμοῦται τὸ σκότος κατ' αὐτοῦ. Οὐ μόνον δέ, ἀλλὰ καὶ ἐνίοτε καὶ μῦς περὶ αὐτὸν ἐρχόμενος καὶ ζητῶν τὸ ἐλλύχνιον καταφαγεῖν, πρὸ μὲν τοῦ σβεσθῆναι τὸ ἔλαιον οὐ δύναται. Εἰ δὲ ἴδῃ ὅτι οὐ μόνον φῶς οὐκ ἔχει, ἀλλ' οὐδὲ θέρμην πυρός, τότε τὸ ἐλλύχνιον ἀνασπᾶσαι θέλων, καταβάλλει καὶ τὸν λύχνον. Καὶ ἐὰν μὲν ᾖ ὀστράκινον, συντρίβεται, ἐὰν δὲ χαλκοῦν εὑρεθῇ ὑπὸ τοῦ οἰκοδεσπότου σκευάζεται ἄνωθεν.

Οὕτω καὶ τῆς ψυχῆς ἀμελούσης, ὅσον ὅσον τὸ Πνεῦμα τὸ Ἅγιον ὑποχωρεῖ, ἕως τέλεον ἀποσβεσθῇ τῆς θέρμης αὐτῆς. Καὶ λοιπὸν ὁ ἐχθρὸς καταφαγὼν τὴν προθυμίαν τῆς ψυχῆς,

Σκήτη ἕνας ἱερέας τῶν εἰδωλολατρῶν καί ἦλθε στό κελί μου ὅπου καί κοιμήθηκε. Παρατηρώντας αὐτός τή ζωή τῶν μοναχῶν μοῦ λέει: Κάνοντας τέτοιο τρόπο ζωῆς, δέν βλέπετε τίποτε ἀπό τά μυστήρια τοῦ Θεοῦ σας; Ὄχι· τοῦ ἀπάντησα. Ἐμεῖς ὅμως —μοῦ εἶπε ὁ ἱερέας— ὅταν ἱερουργοῦμε στόν θεό μας, δέν μᾶς κρύβει τίποτε, ἀλλά μᾶς ἀποκαλύπτει τά μυστήριά του. Καί ἐσεῖς μέ τόσο κόπο πού κάνετε, ἀγρυπνίες, μόνωση, ἀσκήσεις, λές δέν βλέπουμε τίποτε; Ὁπωσδήποτε, ἄν δέν βλέπετε τίποτε, ἔχετε λογισμούς πονηρούς στήν καρδιά σας, πού σᾶς χωρίζουν ἀπό τόν Θεό σας καί γι' αὐτό δέν σᾶς φανερώνει τά μυστήριά του.

Πῆγα κατόπιν καί ἀνέφερα στούς Γέροντες τά λόγια τοῦ ἱερέα, καί ἐξεπλάγησαν· καί εἶπαν: Ἔτσι εἶναι. Οἱ ἀκάθαρτοι λογισμοί χωρίζουν τόν ἄνθρωπο ἀπό τόν Θεό».

53. Εἶπε ὁ ἀββᾶς Ὀρσίσιος: «Νομίζω πώς ἐάν ὁ ἄνθρωπος δέν φυλάξει καλά τήν καρδιά του, ὅλα ὅσα ἀκούει θά τά λησμονήσει καί θά πέσει σέ ἀμέλεια. Καί ἔτσι ὁ ἐχθρός βρίσκει τόπο μέσα του καί τόν καταβάλλει. Ὅπως ἀκριβῶς ἕνα λυχνάρι πού τακτοποιήθηκε καί φέγγει, ἐάν παραμεληθεῖ ἀπό λάδι, λίγο λίγο σβήνει καί κατά συνέπειαν δυναμώνει τό σκοτάδι γύρω του. Καί δέν συμβαίνει μόνο αὐτό ἀλλά καί καμιά φορά καί ἕνα ποντίκι πού γυρνάει γύρω ἀπό τό λυχνάρι καί ζητάει νά ἁρπάξει καί νά φάει τό φυτίλι, ὅσο δέν ἔχει σωθεῖ τό λάδι, δέν τό κατορθώνει. Ἄν ὅμως δεῖ ὅτι ὄχι μόνο φῶς δέν ἔχει ἀλλ' οὔτε καί τή θερμότητα τῆς φλόγας, τότε θέλοντας νά ἀποσπάσει τό φυτίλι, ρίχνει κάτω καί τό λυχνάρι. Καί ἄν τό λυχνάρι εἶναι πήλινο, γίνεται κομμάτια, ἄν ὅμως τύχει νά εἶναι χάλκινο, ὁ νοικοκύρης τό τακτοποιεῖ.

Ἔτσι συμβαίνει καί μέ τήν ψυχή· ἐάν αὐτή ἀμελεῖ, λίγο λίγο τό Ἅγιο Πνεῦμα ὑποχωρεῖ, μέχρις ὅτου χάσει ὁριστικά τή θερμότητά της. Καί στή συνέχεια ὁ ἐχθρός ἀφοῦ καταφάει

καὶ τὸ σῶμα ἀφανίζει κακία. Ἐὰν δὲ ᾖ ἐκεῖνος καλὸς τῇ προθέσει πρὸς τὸν Θεόν, ἁπλῶς δὲ ἡρπάγη εἰς ἀμέλειαν, ὁ Θεὸς ὡς οἰκτίρμων βάλλων εἰς αὐτὸν τὸν φόβον αὐτοῦ καὶ τῶν κολάσεων τὴν μνήμην, παρασκευάζει νήφειν αὐτὸν καὶ τηρεῖν ἑαυτὸν εἰς τὰ ἔμπροσθεν μετὰ ἀσφαλείας πολλῆς, ἕως τῆς ἐπισκοπῆς αὐτοῦ.

54. Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ποιμὴν ὅτε ἦν νεώτερος πρός τινα Γέροντα ἐρωτῆσαι αὐτὸν τρεῖς λογισμούς. Ὡς οὖν ἦλθε πρὸς τὸν Γέροντα, ἐληθάργησεν ἕνα ἐκ τῶν τριῶν καὶ ἀνέκαμψεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ ὡς ἔθηκε τὴν χεῖρα ἀνοῖξαι τὸ κλειδίον, ἐμνήσθη τοῦ λόγου οὗ ἐληθάργησε καὶ ἀφῆκε τὸ κλειδίον καὶ ἀνέκαμψε πρὸς τὸν Γέροντα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐτάχυνας τοῦ ἐλθεῖν, ἀδελφέ. Καὶ διηγήσατο αὐτῷ ὅτι ὅτε ἔθηκα τὴν χεῖρά μου λαβεῖν τὸ κλειδίον, ἐμνήσθην τοῦ λόγου ὃν ἐζήτουν καὶ οὐκ ἤνοιξα· διὰ τοῦτο ἀνέκαμψα ταχύ. Ἦν δὲ τὸ μῆκος τῆς ὁδοῦ πολὺ σφόδρα. Ἔλεγε δὲ αὐτῷ ὁ Γέρων· Ἀγγέλων Ποιμήν· καὶ λαληθήσεταί σου τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ Αἰγύπτου.

55. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ποιμένος ὅτι ὅταν ἔμελλεν εἰς σύναξιν ἐλθεῖν, ἐκάθητο κατ᾽ ἰδίαν διακρίνων τοὺς διαλογισμοὺς ἑαυτοῦ ὡσεὶ ὥραν μίαν καὶ οὕτως ἐξήρχετο.

56. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἐὰν ποιήσῃ ἄνθρωπος καινὸν οὐρανὸν καὶ καινὴν γῆν, οὐ δύναται ἀμεριμνῆσαι.

τήν προθυμία τῆς ψυχῆς, καταστρέφει καί τό σῶμα μέ τήν ἁμαρτία. Ἄν ὅμως ἡ προαίρεση τοῦ ἀνθρώπου εἶναι καλή πρός τόν Θεό καί ἁπλῶς παρασύρθηκε στήν ἀμέλεια χωρίς καλά καλά νά τό συνειδητοποιήσει, ὁ Θεός ὡς εὔσπλαχνος βάζει μέσα του τόν φόβο Του καί τή μνήμη τῆς κόλασης καί τόν προετοιμάζει νά νήψει καί νά ἐπιτηρεῖ στό ἑξῆς τόν ἑαυτό του μέ ἀσφάλεια πολλή, ὥς τήν ὥρα τῆς ἐπισκέψεώς Του».

54. Ὁ ἀββᾶς Ποιμήν*, ὅταν ἦταν νέος, ξεκίνησε νά πάει κάποτε σέ κάποιον Γέροντα νά τόν ρωτήσει γιά τρεῖς λογισμούς. Μόλις ὅμως ἔφθασε στόν Γέροντα, ξέχασε τόν ἕναν ἀπό τούς τρεῖς λογισμούς καί γύρισε πίσω στό κελί του. Καί καθώς ἅπλωσε τό χέρι νά ἀνοίξει μέ τό κλειδί, θυμήθηκε τόν λογισμό πού εἶχε ξεχάσει καί ἀφήνοντας τό κλειδί ἐπέστρεψε στόν Γέροντα. «Ἦρθες πολύ γρήγορα, ἀδελφέ» τοῦ εἶπε ὁ Γέροντας. «Μόλις ἔβαλα τό χέρι μου —ἀποκρίθηκε· ἐκεῖνος— νά πάρω τό κλειδί, θυμήθηκα τόν ξεχασμένο λογισμό καί δέν ἄνοιξα· γι᾽ αὐτό γύρισα γρήγορα». Καί ἡ ἀπόσταση τοῦ δρόμου ἦταν πολύ μεγάλη.

Καί ὁ Γέροντας τοῦ εἶπε: «Ποιμένας ἀγγέλων θά γίνεις καί τό ὄνομά σου θά ἀκουσθεῖ σ᾽ ὅλη τή χώρα τῆς Αἰγύπτου».

55. Ἔλεγαν γιά τόν ἀββᾶ Ποιμένα ὅτι ὅταν ἐπρόκειτο νά πάει γιά ἀκολουθία, καθόταν μόνος ἐξετάζοντας τίς σκέψεις του κοντά στή μία ὥρα καί ἔτσι ἔβγαινε.

56. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι κι ἄν ἀκόμη ὁ ἄνθρωπος δημιουργήσει καινούριο οὐρανό καί καινούρια γῆ[25], δέν μπορεῖ νά μείνει ἀμέριμνος.

25. Πρβλ. Ἀποκ. 21, 1.

57. Εἶπε πάλιν ὅτι ἠρώτησε τὸν ἀββᾶ Παΐσιον τίς ποτε λέγων· Τί ποιήσω τῇ ψυχῇ μου ὅτι ἀναισθητεῖ καὶ οὐ φοβᾶται τὸν Θεόν; Καὶ λέγει αὐτῷ· Ἄπελθε κολλήθητι ἀνθρώπῳ φοβουμένῳ τὸν Θεὸν καὶ ἐν τῷ ἐγγίζειν ἐκείνῳ, διδάσκει καὶ σὲ φοβεῖσθαι τὸν Θεόν.

58. Εἶπον πάλιν περὶ τοῦ ἀββᾶ Πίωρ ὅτι ἑκάστην ἡμέραν ἐτίθει ἀρχήν.

59. Καθημένου ποτὲ τοῦ ἀββᾶ Ἰσαὰκ πρὸς τὸν ἀββᾶν Ποιμένα ἠκούσθη φωνὴ ἀλέκτορος καὶ λέγει αὐτῷ· Ἔνι ταῦτα ὧδε, ἀββᾶ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ἰσαάκ, τί ἀναγκάζεις με λαλῆσαι; Σὺ καὶ οἱ ὅμοιοί σου ἀκούετε τούτου· τῷ δὲ νήφοντι, οὐ μέλλει περὶ τούτου.

60. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Εἰπέ μοι ῥῆμα. Καὶ εἶπεν αὐτῷ· Ὅτε καίεται ὑποκάτω ὁ λέβης, οὐ δύναται μυῖα ἅψασθαι αὐτοῦ ἤ τι τῶν ἄλλων ἑρπετῶν· ὅταν δὲ ψυχρανθῇ, τότε ἐπικάθηται αὐτῷ. Οὕτω καὶ ὁ μοναχός, ὅσον ἐπιμένει ταῖς πνευματικαῖς πράξεσιν οὐχ εὑρίσκει ὁ ἐχθρὸς κατενεγκεῖν αὐτόν.

61. Εἶπε πάλιν· Ἡ πονηρία τῶν ἀνθρώπων ὄπισθεν αὐτῶν ἐστιν ἐγκεκρυμμένη.

62. Ἔλεγε πολλάκις ὅτι οὐ δεόμεθά τινος, εἰ μὴ νηφούσης καρδίας.

63. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Σίμωνα λέγων ὅτι· Ἐὰν ἐξέλθω ἐκ τοῦ κελλίου μου καὶ

57. Εἶπε ἐπίσης ὅτι ρώτησε κάποιος τόν ἀββᾶ Παΐσιο κάποτε: «Τί νά κάνω γιά τήν ψυχή μου πού εἶναι ἀναίσθητη καί δέν ἔχει φόβο Θεοῦ;» Κι ἐκεῖνος τοῦ εἶπε: «Πήγαινε νά προσκολληθεῖς σ' ἕναν ἄνθρωπο πού φοβᾶται τόν Θεό, καί στήν ἀναστροφή σου μ' αὐτόν θά σέ μάθει καί σένα νά φοβᾶσαι τόν Θεό».

58. Εἶπε καί γιά τόν ἀββᾶ Πίωρ* ὅτι κάθε μέρα ἔβαζε ἀρχή.

59. Τόν καιρό πού ἔμενε ὁ ἀββᾶς Ἰσαάκ κοντά στόν ἀββᾶ Ποιμένα ἀκούσθηκε κάποια μέρα λάλημα πετεινοῦ, καί τόν ρώτησε: «Ὑπάρχουν πετεινάρια ἐδῶ, ἀββᾶ;» Κι ἐκεῖνος τοῦ ἀποκρίθηκε: «Ἰσαάκ, γιατί μ' ἀναγκάζεις νά μιλήσω; Ἐσύ καί οἱ ὅμοιοί σου τ' ἀκοῦτε αὐτά. Ἐκεῖνος ὅμως πού ἔχει νήψη, δέν ἐνδιαφέρεται γι' αὐτά».

60. Ἕνας ἀδελφός παρακάλεσε τόν ἀββᾶ Ποιμένα: «Πές μου ἕναν λόγο». Καί τοῦ εἶπε: «Ὅταν τό καζάνι εἶναι πάνω σέ φωτιά, δέν μπορεῖ νά τό ἀγγίξει μύγα ἤ κάποιο ἀπό τά ζωύφια· μόλις ὅμως κρυώσει, τότε πάει καί κάθεται ἐπάνω του. Ἔτσι καί ὁ μοναχός, ὅσο μένει σταθερά στίς πνευματικές πράξεις, δέν βρίσκει τρόπο ὁ ἐχθρός νά τόν ρίξει».

61. Εἶπε ἀκόμη: «Ἡ πονηριά τῶν ἀνθρώπων εἶναι κρυμμένη πίσω τους».

62. Συχνά ἔλεγε: «Δέν χρειαζόμαστε τίποτε, παρά καρδιά πού νήφει».

63. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι ἕνας ἀδελφός ζήτησε τήν ἑξῆς συμβουλή ἀπό τόν ἀββᾶ Σίμωνα: «Ἐάν βγῶ ἀπό τό κε-

εὕρω τὸν ἀδελφόν μου περισπώμενον, κἀγὼ περισπῶμαι μετ᾽ αὐτοῦ· κἂν εὕρω αὐτὸν γελῶντα, κἀγὼ γελῶ μετ᾽ αὐτοῦ. Ἐὰν οὖν εἰσέλθω εἰς τὸ κελλίον μου, οὐκ ἀφίομαι ἀνάπαυσιν ἔχειν. Λέγει αὐτῷ ὁ Γέρων· Θέλεις ἐὰν ἐξέλθῃς ἐκ τοῦ κελλίου σου καὶ εὕρῃς τοὺς γελῶντας καὶ σὺ γελάσαι καὶ τοὺς λαλοῦντας καὶ σὺ λαλῆσαι, καὶ εἰσελθεῖν εἰς τὸ κελλίον σου καὶ εὑρεῖν ἑαυτὸν ὡς ἦς; Λέγει αὐτῷ ὁ ἀδελφός· Ἀλλὰ τί; Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Ἔσω τήρει φυλακὴν καὶ ἔξω τήρει φυλακήν.

64. Εἶπε πάλιν· Αὕτη ἡ φωνὴ βοᾷ πρὸς τὸν ἄνθρωπον ἕως ἐσχάτης ἀναπνοῆς ὅτι· Σήμερον ἐπιστρέψατε.

65. Εἶπε πάλιν· Τὰ τρία ταῦτα κεφάλαιά ἐστι χρήσιμα: Τὸ φοβεῖσθαι τὸν Κύριον καὶ τὸ εὔξασθαι καὶ τὸ ποιῆσαι ἀγαθὸν τῷ πλησίον.

66. Εἶπε πάλιν· Οὐ δύναται ἄνθρωπος εἰδέναι τοὺς ἔξωθεν, ἀλλ᾽ ὅταν ἔνδοθεν ἐπαναστῶσιν· ἐὰν πολεμῇ τις, ἐκβάλλει αὐτούς.

67. Εἶπε πάλιν· Τὸ μὴ προορᾶν ἡμᾶς πρᾶγμα, οὐκ ἐᾷ ἡμᾶς εἰς τὰ βέλτιστα προκόψαι.

26. Πρβλ. Ἑβρ. 3, 7-15.

27. Ἐδῶ ὁ ἀββᾶς συνιστᾶ, θά λέγαμε, νά μήν ξεκινοῦμε μέ ἐπιπολαιότητα ὁποιο σοβαρό ἔργο ἔχουμε νά κάνουμε. Δέν εἶναι ἀρκετή ἡ αὐθόρμητη κίνηση τῆς ψυχῆς. Αὐτή εἶναι τό ἔναυσμα· ἀλλά χρειάζεται καί ἡ προετοιμασία. Ἄν ἐνεργήσουμε σωστά, θά ἔχουμε καί τό ἀνάλογο ἀποτέλεσμα.

Αὐτή ἡ θέση δέν αἴρει τήν ἐμπιστοσύνη στήν Πρόνοια τοῦ Θεοῦ. Ὁ Θεός δέν θέλει ἄβουλο τό λογικό του πλάσμα. Ἀναμένει ἀπό τόν ἄνθρωπο νά ἑτοιμασθεῖ μέ φρόνηση καί νηφαλιότητα, νά «ψηφίσει τήν δαπάνη», ὥστε ἕτοιμος ἀπό τήν πλευρά του νά εἰσέλθει στόν στίβο γιά ὁποιαδήποτε προβλεπόμενη ἤ ἀπρόβλεπτη ἀντιξοότητα, τήν ὁποία καί, χάριτι Θεοῦ, δέν θά πτοηθεῖ νά ὑπερπηδήσει κατά τήν κρίσιμη ὥρα. Πρβλ. Λουκ. 14, 28.

λί μου —εἶπε— καί βρῶ τόν ἀδελφό μου νά ἀσχολεῖται μέ ἄσχετα πράγματα, κάνω κι ἐγώ τό ἴδιο μαζί του· κι ἄν τόν βρῶ νά γελάει, κι ἐγώ γελῶ μαζί του. Ὅταν κατόπιν μπῶ στό κελί, δέν μπορῶ νά ἔχω ἀνάπαυση ψυχική». Καί τοῦ λέει ὁ Γέροντας: «Βγαίνεις ἀπό τό κελί σου καί βρίσκεις αὐτούς πού γελοῦν καί θέλεις κι ἐσύ νά γελάσεις, καί αὐτούς πού φλυαροῦν καί θέλεις κι ἐσύ νά φλυαρήσεις, καί ἐπιστρέφοντας στό κελί σου θέλεις νά βρεῖς τόν ἑαυτό σου ὅπως ἦταν;» «Καί τί πρέπει νά γίνει;» ρωτάει ὁ ἀδελφός. Καί ἀποκρίνεται ὁ Γέροντας: «Νά ἐπαγρυπνεῖς ὅταν εἶσαι μέσα, ἀλλά κι ὅταν εἶσαι ἔξω ἐπίσης νά ἐπαγρυπνεῖς».

64. Εἶπε πάλι: «Αὐτή ἡ φωνή κραυγάζει πρός τόν ἄνθρωπο ὥς τήν τελευταία του πνοή: Σήμερα ἐπιστρέψτε»[26].

65. Εἶπε ἐπίσης: «Οἱ ἑξῆς τρεῖς ἀρχές εἶναι χρήσιμες: Τό νά φοβᾶσαι τόν Κύριο, νά προσεύχεσαι καί νά κάνεις τό καλό στόν πλησίον».

66. «Δέν μπορεῖ —εἶπε πάλι— νά γνωρίζει ὁ ἄνθρωπος τούς λογισμούς πού εἰσβάλλουν ἀπ᾽ ἔξω, σίγουρα ὅμως ὅταν ἐπαναστατήσουν ἀπό μέσα· καί ἄν τούς καταπολεμεῖ, τούς διώχνει».

67. Εἶπε ἀκόμη: «Τό νά μήν προβλέπουμε τίς συνέπειες κάποιου σοβαροῦ ἔργου πού ἔχουμε νά κάνουμε, δέν μᾶς ἀφήνει νά προχωρήσουμε στά τελειότερα»[27].

68. Εἶπε πάλιν τῷ ἀββᾷ Ἀνούβ· Ἀπόστρεψον τοὺς ὀφθαλμούς σου τοῦ μὴ ἰδεῖν ματαιότητα· ἡ γὰρ ἐλευθερία τῶν ὀφθαλμῶν ψυχὴν ἀναιρεῖ.

69. Εἶπε πάλιν· Ἐὰν ἀποστῇ ἀπὸ παντὸς ἐν διαλέκτῳ φιλονικοῦντος ψυχὴ καὶ ἐκ τῆς ἀνθρωπίνης συγχύσεως καὶ ταραχῆς, παραβάλλει αὐτῇ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ τότε δυνήσεται τεκεῖν στεῖρα οὖσα.

70. Εἶπε πάλιν ὅτι ἡ ἀρχὴ καὶ τὸ τέλος ἐστὶν ὁ φόβος Κυρίου. Οὕτω γὰρ γέγραπται· Ἀρχὴ σοφίας φόβος Κυρίου. Πάλιν· Ἀβραάμ, ὅτε ἐτέλεσε τὸ θυσιαστήριον, εἶπεν αὐτῷ ὁ Κύριος· Νῦν οἶδα ὅτι φοβῇ σὺ τὸν Θεόν.

71. Εἶπεν ὁ ἀββᾶς Παμβὼ ὅτι διὰ τοῦ Θεοῦ ἀφ᾽ οὗ ἀπεταξάμην, οὐ μετεμελήθην ἐπὶ λόγῳ ὃν ἐλάλησα.

72. Ἠρώτησέ τις τὸν ἀββᾶν Πέτρον τὸν τοῦ ἀββᾶ Λώτ, λέγων· Ὅταν εἰμὶ ἐν τῷ κελλίῳ ἐν εἰρήνῃ ἐστὶν ἡ ψυχή μου· ἐπὰν δὲ ἀδελφὸς παραβάλλῃ μοι καὶ τοὺς λόγους τῶν ἔξω εἴπῃ μοι, ταράσσεται ἡ ψυχή μου. Λέγει αὐτῷ ὁ ἀββᾶς Πέτρος ὅτι ἔλεγεν ὁ ἀββᾶς Λώτ· Τὸ κλειδίον σου ἀνοίγει τὴν θύραν. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί ἐστι τὸ ῥῆμα τοῦτο; Λέγει αὐτῷ· Ἐὰν παραβάλῃ σοί τις, λέγεις αὐτῷ· Πῶς ἔχεις; Πόθεν ἦλθες; Πῶς ἔχουσιν οἱ ἀδελφοί, προσελάβοντό σε ἢ οὔ; Καὶ τότε ἀνοίγεις τὴν θύραν τῷ ἀδελφῷ σου καὶ ἀκούεις ἃ οὐ θέλεις. Λέγει αὐ-

68. Εἶπε ἐπίσης στόν ἀββᾶ Ἀνούβ: «Στρέψε μακριά τό βλέμμα σου γιά νά μή δεῖς τά μάταια καί τά πρόσκαιρα· γιατί ἡ ἐλευθερία τῶν ὀφθαλμῶν φονεύει τήν ψυχή[28]».

69. Εἶπε πάλι: «Ἐάν μιά ψυχή ἀπομακρυνθεῖ ἀπό κάθε ἄνθρωπο ἐριστικό στόν λόγο, ὅπως ἐπίσης καί ἀπό τή σύγχυση καί τήν ταραχή τῶν ἀνθρωπίνων πραγμάτων, τήν ἐπισκέπτεται τό Πνεῦμα τοῦ Θεοῦ καί τότε μπορεῖ νά γεννήσει, ἐνῶ ἦταν στείρα».

70. Εἶπε ἄλλοτε: «Ἡ ἀρχή καί τό τέλος εἶναι ὁ φόβος Κυρίου. Γιατί ἔτσι εἶναι γραμμένο: Ἀρχή τῆς σοφίας εἶναι ὁ φόβος τοῦ Κυρίου[29]. Ἐπίσης εἶπε· Ὅταν ὁ Ἀβραάμ ἑτοίμασε κατά πάντα τή θυσία τοῦ γιοῦ του, τότε τοῦ εἶπε ὁ Κύριος: Τώρα διαπιστώνω ὅτι φοβᾶσαι ἐσύ τόν Θεό[30]».

71. Εἶπε ὁ ἀββᾶς Παμβώ: «Ἀπό τότε πού ἐγκατέλειψα τόν κόσμο, μέ τή βοήθεια τοῦ Θεοῦ δέν μεταμελήθηκα γιά λόγο πού βγῆκε ἀπό τό στόμα μου».

72. Κάποιος ρώτησε τόν ἀββᾶ Πέτρο, τόν ὑποτακτικό τοῦ ἀββᾶ Λώτ. «Ὅταν βρίσκομαι στό κελί —εἶπε— ἡ ψυχή μου εἶναι εἰρηνική. Μόλις ὅμως μέ ἐπισκεφθεῖ κάποιος ἀδελφός καί μοῦ φέρει νέα ἀπό ᾽ξω, ἡ ψυχή μου ταράζεται». Ὁ ἀββᾶς Πέτρος τοῦ εἶπε ὅτι ὁ ἀββᾶς Λώτ ἔλεγε: «Τό κλειδί σου ἀνοίγει τήν πόρτα». «Τί σημαίνει ὁ λόγος αὐτός;» ρωτάει ὁ ἀδελφός. Καί τοῦ ἐξηγεῖ: «Ἐάν σέ ἐπισκεφθεῖ κάποιος, τοῦ λές: Πῶς εἶσαι; Ἀπό ποῦ ἔρχεσαι; Πῶς εἶναι οἱ ἀδελφοί, σέ ἀποδέχθηκαν ἤ ὄχι; Καί ἔτσι ἀνοίγεις τήν πόρτα στόν ἀδελφό σου καί ἀκοῦς ἐκεῖνα πού δέν θέλεις». «Ἔτσι εἶναι

28. Ψαλμ. 118, 37. 29. Παροιμ. 1, 7. 30. Γεν. 22, 12.

τῷ· Οὕτως ἔχει· καὶ τί ποιήσει ἄνθρωπος ἐὰν ἔλθῃ ἀδελφὸς πρὸς αὐτόν;

Λέγει ὁ Γέρων· Τὸ πένθος ὅλον διδαχή ἐστιν. Ὅπου δὲ οὐκ ἔστι πένθος, οὐ δυνατὸν φυλάξασθαι. Λέγει αὐτῷ ὁ ἀδελφός· Ὅταν ἐν τῷ κελλίῳ εἰμί, μετ' ἐμοῦ ἐστι τὸ πένθος, ἐπὰν δέ τις ἔλθῃ πρός με ἢ καὶ ἐξέλθω τοῦ κελλίου μου, οὐχ εὑρίσκω αὐτό. Λέγει αὐτῷ ὁ Γέρων· Οὐδέποτέ σοι ὑπετάγη ἀλλ' ὡς ἐν χρήσει ἐστὶ μετὰ σοῦ. Γέγραπται γὰρ ἐν τῷ Νόμῳ ὅτι· Ὅταν κτήσῃ παῖδα ἑβραῖον, ἔτη δουλεύσει σοι, τῷ δὲ ἑβδόμῳ ἔτει ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον. Ἐὰν δὲ δῷς αὐτῷ γυναῖκα καὶ γεννήσει ἐν τῷ οἴκῳ σου καὶ μὴ θελήσῃ ἀποδιδράσκειν διὰ τὴν γυναῖκα καὶ τὰ παιδία, προσάξεις αὐτὸν εἰς τὴν θύραν τοῦ οἴκου σου καὶ τρυπήσεις αὐτοῦ τὸ ὠτίον τῷ ὀπιτίῳ καὶ ἔσται σοι δοῦλος εἰς τὸν αἰῶνα. Λέγει ὁ ἀδελφός· Τί ἐστι τὸ ῥῆμα τοῦτο; Λέγει ὁ Γέρων· Ἐὰν κάμῃ ἄνθρωπος εἰς πρᾶγμα κατὰ δύναμιν, οἵαν ὥραν ζητήσῃ αὐτὸ εἰς χρείαν αὐτοῦ, εὑρήσει αὐτό. Λέγει αὐτῷ· Ποίησον ἀγάπην, εἰπὲ τὸ ῥῆμα τοῦτο. Λέγει ὁ Γέρων· Οὐδὲ νόθος υἱὸς παραμένει τινὶ δουλεύων, ἀλλ' ὁ γενόμενος γνήσιος υἱὸς οὐκ ἐᾷ τὸν πατέρα αὐτοῦ.

73. Ἐκάθητό ποτε ὁ ἀββᾶς Σισόης ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ κρούσαντος τοῦ μαθητοῦ αὐτοῦ ἔκραξεν ὁ Γέρων λέγων· Φύγε, Ἀβραάμ, μὴ εἰσέλθῃς ἄρτι, οὐ σχολάζω.

—συμφωνεῖ ὁ ἐπισκέπτης— ἀλλά τί νά κάνει κανείς, ὅταν τόν ἐπισκεφθεῖ ἕνας ἀδελφός;»

Καί ὁ Γέροντας ἀπαντᾶ: «Τό πένθος καί μόνον σέ διδάσκει. Ὅπου ὅμως δέν ὑπάρχει πένθος, δέν μπορεῖ κανείς νά φυλαχθεῖ». «Ὅταν εἶμαι στό κελί —συνεχίζει ὁ ἀδελφός— μαζί μου εἶναι καί τό πένθος· ἀλλ' ἐάν μέ ἐπισκεφθεῖ κάποιος ἤ καί βγῶ ἀπό τό κελί μου, τό χάνω». «Ποτέ δέν ἔγινε ἀπόκτημά σου ἀλλά τό 'χεις μαζί σου σάν δανεικό ἐργαλεῖο. Διότι στόν Νόμο εἶναι γραμμένο τό ἑξῆς: Ὅταν ἀποκτήσεις ἕναν ἑβραῖο δοῦλο, ἕξι χρόνια θά εἶναι στή δούλεψή σου· τόν ἕβδομο χρόνο θά τόν ἀφήσεις νά ζήσει ἐλεύθερος. Ἄν ὅμως τόν παντρέψεις καί γεννήσει ἡ γυναίκα του στό σπίτι σου, καί δέν θελήσει αὐτός νά φύγει, ἐπειδή ἔχει γυναίκα καί παιδιά, θά τόν ὁδηγήσεις στή θύρα τοῦ σπιτιοῦ σου καί θά τοῦ τρυπήσεις τό αὐτί μέ σουβλί καί θά εἶναι δοῦλος σου γιά πάντα»[31].

«Τί σημαίνει ὁ λόγος αὐτός;» ρωτάει ὁ ἀδελφός. Καί ὁ Γέροντας ἀπαντᾶ: «Ἐάν κοπιάσει ὁ ἄνθρωπος γιά κάτι μέ ὅλη του τή δύναμη, ὅποια ὥρα τό ζητήσει γιά κάποια ἀνάγκη του, θά τό βρεῖ».

«Κάνε ἀγάπη —λέει ὁ ἀδελφός— καί ἐξήγησέ μου τόν λόγο αὐτόν». Καί λέει ὁ Γέροντας: «Οὔτε ὁ νόθος γιός μένει παντοτεινά στήν ὑπηρεσία κάποιου, ἀλλά ἐκεῖνος πού εἶναι γνήσιος γιός δέν ἐγκαταλείπει τόν πατέρα του»[32].

73. Καθόταν στό κελί του ὁ ἀββᾶς Σισόης* κάποτε καί, ὅταν χτύπησε ὁ μαθητής του τήν πόρτα, φώναξε δυνατά ὁ Γέροντας ἀπό μέσα: «Φύγε, Ἀβραάμ, μήν μπαίνεις τώρα, γιατί δέν εὐκαιρῶ».

---

31. Ἔξ. 21, 26. 32. Ἰω. 8, 35.

74. Ὁ ἀββᾶς Σισόης πολλὰ παρακληθεὶς ὑπὸ ἀδελφοῦ λαλῆσαι εἶπε· Κάθου εἰς τὸ κελλίον σου μετὰ νήψεως καὶ παράθου ἑαυτὸν τῷ Θεῷ μετὰ πολλῶν δακρύων καὶ ἀναπαύῃ.

75. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Θέλω τὴν καρδίαν μου τηρῆσαι καὶ οὐ δύναμαι. Λέγει αὐτῷ ὁ Γέρων· Πῶς τὴν καρδίαν τηρήσωμεν, τῆς γλώσσης ἡμῶν τὴν θύραν ἀνεωγμένην ἐχούσης;

76. Καθεζομένου ποτὲ τοῦ ἀββᾶ Σιλουανοῦ εἰς τὸ ὄρος τὸ Σινᾶ ἀπῆλθεν ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας εἰς διακονίαν καὶ λέγει τῷ Γέροντι· Ἀπόλυσον τὸ ὕδωρ καὶ πότισον τὸν κῆπον. Ὁ δὲ ἐξελθὼν ἔσκεπε τὴν ὄψιν αὐτοῦ τῷ κουκουλίῳ καὶ μόνον τὰ ἴχνη αὐτοῦ ἔβλεπε. Παρέβαλε δὲ αὐτῷ ἀδελφὸς αὐτῇ τῇ ὥρᾳ καὶ ἰδὼν αὐτὸν ἀπὸ μακρόθεν κατενόησεν τί ἐποίησεν. Εἰσελθὼν δὲ πρὸς αὐτὸν ὁ ἀδελφὸς εἶπεν· Εἰπέ μοι, ἀββᾶ, τί τὸ πρόσωπόν σου κατεσκέπασας τῷ κουκουλίῳ καὶ οὕτω τὸν κῆπον ἐπότιζες; Λέγει αὐτῷ ὁ Γέρων· Τέκνον, ἵνα μὴ ἴδωσιν οἱ ὀφθαλμοί μου τὰ δένδρα καὶ ἀπασχοληθεῖ ὁ νοῦς μου ἀπὸ τῆς ἐργασίας αὐτοῦ εἰς αὐτά.

77. Ἠρώτησάν ποτε τὸν ἀββᾶν Σιλουανὸν λέγοντες· Ποίαν πολιτείαν εἰργάσω, πάτερ, ἵνα λάβῃς τὴν φρόνησιν ταύτην; Καὶ ἀπεκρίθη· Οὐδέποτε ἀφῆκα εἰς τὴν καρδίαν μου λογισμὸν τὸν παροργίζοντα τὸν Θεόν.

78. Ἠρώτησεν ὁ ἀββᾶς Μωυσῆς τὸν ἀββᾶν Σιλουανὸν λέγων· Δύναται ἄνθρωπος καθ' ἡμέραν βαλεῖν ἀρχήν; Καὶ εἶ-

74. Κάποτε ἕνας ἀδελφός παρακάλεσε πολύ τόν ἀββᾶ Σισόη νά τοῦ μιλήσει, κι ἐκεῖνος εἶπε: «Μεῖνε στό κελί σου ἔχοντας νήψη[33] καί παράδωσε τόν ἑαυτό σου στόν Θεό χύνοντας πολλά δάκρυα καί θά εἶσαι ἀναπαυμένος».

75. Ἀδελφός εἶπε στόν ἀββᾶ Σισόη: «Θέλω νά ἐπιτηρῶ ἄγρυπνα τήν καρδιά μου καί δέν μπορῶ». Καί ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Πῶς μποροῦμε νά ἐπιτηρήσουμε τήν καρδιά μας, ὅταν ἡ γλώσσα μας ἔχει τή θύρα της ἀνοικτή;»

76. Ὅταν κάποτε ὁ ἀββᾶς Σιλουανός* ἔμενε στό ὄρος Σινᾶ, ξεκίνησε ὁ μαθητής του Ζαχαρίας νά πάει σέ διακονία καί λέει στόν Γέροντα: «Ἄνοιξε τό νερό καί πότισε τόν κῆπο». Καί ὁ Γέροντας βγῆκε ἔχοντας τό πρόσωπό του σκεπασμένο μέ τό κουκούλι, καί μόνο τίς πατημασιές του ἔβλεπε. Ἐκείνη τήν ὥρα ἔφθασε κάποιος ἀδελφός ἐκεῖ καί βλέποντάς τον ἀπό μακριά πρόσεξε καλά τί ἔκανε. Μπῆκε μέσα ὁ ἀδελφός καί τοῦ λέει: «Πές μου, ἀββᾶ, γιατί σκέπασες τό πρόσωπό σου μέ τό κουκούλι καί ἔτσι ποτίζεις τόν κῆπο;» «Παιδί μου —ἀπαντᾶ ὁ Γέροντας— γιά νά μή δοῦν τά μάτια μου τά δένδρα καί ἀποσπασθεῖ σ' αὐτά ὁ νοῦς μου ἀφήνοντας τήν ἐργασία του».

77. Ρώτησαν κάποτε τόν ἀββᾶ Σιλουανό: «Τί εἴδους ἀσκήσεις ἔκανες, πάτερ, γιά νά ἀποκτήσεις τή φρόνηση αὐτή;» Καί ἀποκρίθηκε: «Ποτέ δέν ἄφησα στήν καρδιά μου λογισμό πού παροργίζει τόν Θεό».

78. Ρώτησε ὁ ἀββᾶς Μωυσῆς τόν ἀββᾶ Σιλουανό: «Μπορεῖ ὁ ἄνθρωπος κάθε μέρα νά βάζει ἀρχή;» Καί ὁ Γέροντας

---

33. Βλ. Ι ὑποσημ. 43 σελ. 78.

πεν ὁ Γέρων· Ἐάν ἐστιν ἐργάτης, δύναται καὶ καθ' ὥραν βαλεῖν ἀρχήν.

79. Εἶπεν ὁ ἀββᾶς Σεραπίων ὅτι ὥσπερ οἱ στρατιῶται τοῦ βασιλέως οὐ δύνανται ἱστάμενοι δεξιὰ ἢ ἀριστερὰ προσέχειν, οὕτως ὁ ἄνθρωπος ἐὰν ἵσταται ἐνώπιον τοῦ Θεοῦ καὶ προσέχει ἐν φόβῳ ἐν πάσῃ ὥρᾳ, οὐδὲν τοῦ ἐχθροῦ δύναται αὐτὸν ἐκφοβῆσαι.

80. Εἶπεν ἡ μακαρία Συγκλητική· Νήψωμεν· διὰ γὰρ τῶν αἰσθήσεων ἡμῶν, κἂν μὴ βουλώμεθα, οἱ κλέπται εἰσίασιν. Πῶς γὰρ δύναται οἶκος, ἐκ τῶν ἔξω κινηθέντος καπνοῦ, τῶν θυρίδων ἀνεωγμένων μὴ μελαίνεσθαι;

81. Εἶπε πάλιν ὅτι· Δεῖ ἡμᾶς κατὰ τῶν δαιμόνων πάντοτε ὁπλίζεσθαι· καὶ γὰρ ἔξωθεν προσέρχονται καὶ ἐκ τῶν ἔνδοθεν κινοῦνται. Καὶ ἡ ψυχὴ καθάπερ ναῦς ποτὲ μὲν ὑπὸ τῶν ἔξωθεν τρικυμιῶν καταβαπτίζεται, ποτὲ δὲ ὑπὸ τῆς ἔνδον ἀντλίας ὑποβρύχιος γίνεται. Οὕτως οὖν καὶ ἡμεῖς ποτὲ μὲν ὑπὸ τῶν ἔξωθεν πρακτέων ἁμαρτημάτων ἀπολλύμεθα, ποτὲ δὲ διὰ τῶν ἔνδοθεν λογισμῶν ἀφανιζόμεθα. Δεῖ οὖν καὶ τὰς ἔξωθεν τῶν ἀνθρώπων ἐπιτηρεῖν προσβολὰς καὶ τὰς ἔνδοθεν τῶν λογισμῶν ἐξαντλεῖν ἀναβλύσεις.

82. Εἶπε πάλιν· Τέκνα, πάντες σωθῆναι οἴδαμεν· ἀλλὰ διὰ τῆς ἀμελείας τῆς σωτηρίας ἀπολειπόμεθα.

εἶπε: «Ἐάν εἶναι ἀγωνιστής, μπορεῖ καί κάθε ὥρα νά βάζει ἀρχή».

79. Εἶπε ὁ ἀββᾶς Σεραπίων* ὅτι ὅπως οἱ στρατιῶτες τοῦ βασιλιᾶ, ὅταν στέκονται μπροστά του, δέν μποροῦν νά στρέφουν τήν προσοχή τους δεξιά ἤ ἀριστερά, ἔτσι καί ὁ ἄνθρωπος ἐάν στέκεται ἐνώπιον τοῦ Θεοῦ μέ στραμμένη παντοτεινά τήν προσοχή του μέ φόβο σ' Αὐτόν, καμία ἐνέργεια τοῦ ἐχθροῦ δέν μπορεῖ νά τόν φοβίσει.

80. Εἶπε ἡ μακαρία Συγκλητική*: «Νά εἴμαστε ἄγρυπνοι στήν ψυχή. Γιατί ἀπό τίς αἰσθήσεις μας, ὅσο κι ἄν δέν τό θέλουμε, οἱ κλέφτες εἰσέρχονται. Πῶς μπορεῖ π.χ. ἕνα σπίτι, ὅταν ἔξω ἀρχίσει νά καπνίζει, νά μή μαυρίσει ἀπό τόν καπνό, ἐφόσον τά παράθυρά του εἶναι ἀνοικτά;»

81. Εἶπε ἀκόμη: «Πρέπει πάντοτε νά εἴμαστε ὁπλισμένοι ἐναντίον τῶν δαιμόνων· γιατί καί ἀπ' ἔξω ἔρχονται, ἀλλά καί ἀπό μέσα μας ξεκινοῦν. Καί ἡ ψυχή, ὅπως ἀκριβῶς τό καράβι, ἄλλοτε βουλιάζει ἀπό τίς τρικυμίες, πού ξεσηκώνει ἔξω ἡ θάλασσα, καί ἄλλοτε ἀπό τά νερά πού μαζεύονται στό ἀμπάρι βυθίζεται καί χάνεται.

Ἔτσι λοιπόν κι ἐμεῖς ἄλλοτε καταστρεφόμαστε ἀπό τίς ἁμαρτίες πού ἐξωτερικά πραγματοποιοῦνται, καί ἄλλοτε χανόμαστε μέ τούς λογισμούς πού ξεκινοῦν ἀπό μέσα. Πρέπει λοιπόν νά προσέχουμε καί τίς προκλήσεις τῶν ἀνθρώπων ἀπ' ἔξω, ἀλλά καί τούς λογισμούς, πού ἀναβλύζουν ἀπό μέσα, νά τούς πετοῦμε ἔξω».

82. Εἶπε πάλι: «Τέκνα μου, ὅλοι γνωρίζουμε τόν τρόπο νά σωθοῦμε, ἀλλά ἐξαιτίας τῆς ἀμελείας μας μένουμε πίσω στή σωτηρία».

83. Εἶπε πάλιν· Οὐκ ἔχομεν ἐνταῦθα τὸ ἀμέριμνον. Φησὶ γὰρ ἡ Γραφή· Ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ. Ἐν ἀδήλῳ πλέομεν· θάλασσα γὰρ ὁ βίος ἡμῶν ὑπὸ τοῦ ἱεροψάλτου Δαβὶδ εἴρηται. Ἀλλὰ τῆς θαλάσσης τὰ μέν εἰσι πετρώδη, τὰ δὲ θηριώδη, τινὰ δὲ καὶ γαληνά. Ἡμεῖς οὖν ἐν τῷ γαληνῷ τῆς θαλάσσης μέρει δοκοῦμεν πλέειν, οἱ δὲ κοσμικοὶ ἐν τοῖς κυματώδεσι. Καὶ ἡμεῖς μὲν ἡμέρας πλέομεν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης ὁδηγούμενοι. Ἀλλ᾽ ἐνδέχεται πολλάκις τὸν κοσμικὸν ἐν χειμῶνι καὶ ἐν σκότῳ τυγχάνοντα ἀγρυπνήσαντα, τὸ ἑαυτοῦ σκάφος περισῶσαι· ἡμᾶς δὲ ὑπὸ ἀμελείας ἐν γαλήνῃ ὄντας βυθισθῆναι, τὸ πηδάλιον τῆς δικαιοσύνης ἀφέντας.

84. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Ἡ ἐνθύμησίς σου ἔστω διὰ παντὸς ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν καὶ ἐν τάχει κληρονομήσεις αὐτήν.

85. Εἶπε πάλιν· Ἡ ζωὴ (τοῦ) μοναχοῦ κατὰ μίμησιν ἀγγέλων γινέσθω καταφλέγουσα τὴν ἁμαρτίαν.

86. Εἶπεν ὁ ἀββᾶς Ὢρ τῷ ἀββᾷ Σισόῃ· Νομίζω ἐὰν μὴ φυλάξῃ τὴν αὐτοῦ καρδίαν ἄνθρωπος καλῶς, πάντα ὅσα ἀκούει ἐπιλανθάνεται καὶ ἀμελεῖ. Καὶ οὕτως ὁ ἐχθρὸς εὑρὼν ἐν αὐτῷ τόπον καταβάλλει αὐτόν.

87. Ἦν τις ἀναχωρητὴς ἐν τοῖς μέρεσι τοῦ Ἰορδάνου, ἀγω-

34. Α΄ Κορ. 10, 12.

83. Εἶπε ἐπίσης: «Ἐδῶ στή γῆ δέν μποροῦμε νά ζοῦμε ἀμέριμνοι. Γιατί ἡ Γραφή λέει: Ὅποιος νομίζει ὅτι στέκεται καλά στά πόδια του ἄς προσέχει μήν πέσει[34]. Δέν μᾶς εἶναι φανερό τί θά συναντήσουμε στό πέλαγος τῆς ζωῆς· διότι θάλασσα χαρακτηρίσθηκε ἀπό τόν ἱεροψάλτη Δαβίδ[35] ἡ ζωή μας. Ἀλλά στή θάλασσα ἄλλα μέρη εἶναι γεμάτα ὑφάλους, ἄλλα τρικυμισμένα καί κάποια μέρη εἶναι καί γαλήνια. Ἐμεῖς βέβαια πιστεύουμε ὅτι πλέουμε στά γαλήνια μέρη τῆς θάλασσας, ἐνῶ οἱ κοσμικοί στά ταραγμένα. Ἐμεῖς ἐπίσης πλέουμε μέ ὁδηγό τόν Ἥλιο τῆς δικαιοσύνης. Ἐνδέχεται ὅμως πολλές φορές ὁ κοσμικός, πού συναντᾶ φουρτούνα καί σκοτάδι, μένοντας ἄγρυπνος νά σώσει τό σκάφος του. Ἐνῶ ἐμεῖς ἄν καί πλέουμε σέ γαλήνια θάλασσα, ἐνδέχεται νά βουλιάξουμε ἕνεκα τῆς ἀμελείας μας, ἀφήνοντας τό τιμόνι τοῦ θελήματος τοῦ Θεοῦ».

84. Εἶπε ὁ ἀββᾶς Ὑπερέχιος: «Ἡ σκέψη σου ἄς εἶναι παντοτεινά στή Βασιλεία τῶν Οὐρανῶν καί γρήγορα θά τήν κληρονομήσεις».

85. Εἶπε ἀκόμη: «Ἡ ζωή τοῦ μοναχοῦ ἄς μιμεῖται τή ζωή τῶν ἀγγέλων καί νά κατακαίει τήν ἁμαρτία».

86. Εἶπε ὁ ἀββᾶς Ὢρ στόν ἀββᾶ Σισόη: «Νομίζω πώς ἄν ὁ ἄνθρωπος δέν φυλάξει καλά τήν καρδιά του, ὅλα ὅσα ἀκούει τά λησμονεῖ καί φθάνει στήν ἀμέλεια. Ἔτσι βρίσκει ὁ ἐχθρός τόπο στήν ψυχή του καί τόν καταβάλλει».

87. Ζοῦσε ἕνας ἀναχωρητής στήν περιοχή τοῦ Ἰορδά-

35. Πρβλ. Ψαλμ. 106, 23-32. Βλ. Γρηγορίου Νύσσης στίς «Ἐπιγραφές τῶν Ψαλμῶν» μέρος Α΄ κεφ. Η΄, Ε.Π.Ε. τ. 6ος, σελ. 78, στ. 22 κ.ἑ.



Παραπόταμος τοῦ Ἰορδάνη



Οἱ περίφημες σιναϊτικές ἐπιγραφές στήν κοιλάδα τῶν ἐπιγραφῶν

νιζόμενος ἐπὶ ἔτη ἱκανά. Οὗτος χαρίσματος ἦν ἠξιωμένος μὴ δέχεσθαι αὐτὸν προσβολὰς ἐκ τοῦ ἐχθροῦ, ὥστε πᾶσι τοῖς παραγενομένοις πρὸς αὐτὸν ὠφελείας χάριν, λοιδορίαις βαλεῖν τὸν διάβολον καὶ λέγειν ὅτι οὐδέν ἐστι καὶ οὐδὲν δύναται πρὸς τοὺς ἀγωνιστάς· εἰ μὴ ὁμοίους αὐτοῦ εὕρῃ ῥυπαροὺς δεδουλωμένους πάντοτε τῇ ἁμαρτίᾳ ἐκείνους ἐκνευρίζει, μὴ αἰσθανόμενος ὁ Γέρων ὅτι ἐκ τῆς τοῦ Θεοῦ βοηθείας σκέπεται καὶ ἐκ τούτου οὐ δέχεται πολέμους ἐκ τοῦ ἐναντίου.

Ἐν μιᾷ οὖν φαίνεται αὐτῷ ὁ διάβολος κατὰ συγχώρησιν Θεοῦ ὄψιν πρὸς ὄψιν καί φησι πρὸς αὐτόν· Τί ἔχω πρὸς σέ, ἀββᾶ; Τί με λοιδορίαις πλύνεις; Μή σοι τίποτε παρηνώχλησα; Ὁ δὲ πάλιν ἐμπτύσας αὐτὸν τοῖς αὐτοῖς ἐκέχρητο ῥήμασιν· Ὕπαγε ὀπίσω μου, Σατανᾶ, οὐδὲν γὰρ δύνῃ πρὸς τοὺς δούλους τοῦ Χριστοῦ. Ὁ δὲ φωνὴν τοιαύτην ἐπαφῆκεν· Ναί, ναί, ἄλλα τεσσαράκοντα ἔτη ἔχεις ζῆσαι καὶ μίαν ὥραν οὐκ ἔχω εὑρεῖν εἰς τὰ τοσαῦτα ἔτη ὑποσκελίσαι σε; Καὶ ῥίψας τὸ δέλεαρ ἀφανὴς ἐγένετο. Ὁ δὲ εὐθὺς εἰς λογισμοὺς βληθεὶς ἔλεγεν· Ἔχω τοσαῦτα ἔτη ὧδε τρυχώμενος καὶ ἀκμὴν ἄλλα τεσσαράκοντα ἔτη θέλει με ζῆσαι ὁ Θεός; Ἐξέρχομαι καὶ ἀπέρχομαι εἰς τὸν κόσμον. Βλέπω καὶ τοὺς διαφέροντάς μοι, συγγίνομαι αὐτοῖς ἔτη τινὰ καὶ πάλιν ἔρχομαι καὶ ἄρχομαι τῆς ἀσκήσεώς μου. Καὶ μόνον ἐνεθυμήθη ταῦτα, ἔργον ἐπλήρου· καὶ ὁρμήσας ἐξήρχετο τῆς κέλλης αὐτοῦ καὶ εἴχετο τῆς ὁδοῦ.

Οὐ μακρὰν δὲ αὐτοῦ γενομένου ἰδοὺ ἄγγελος Κυρίου ἀπεστάλη πρὸς βοήθειαν αὐτοῦ καί φησι πρὸς αὐτόν· Ποῦ πορεύῃ, ἀββᾶ; Ὁ δὲ ἔφη· Ἐπὶ τὴν πόλιν. Καὶ λέγει αὐτῷ· Ὑπόστρεψον εἰς τὸ κελλίον σου καὶ μηδέν σοι καὶ τῷ Σατανᾷ. Ἔχε

36. Τό ρ. ὑποσκελίζω τοῦ ἀρχαίου κειμένου σημαίνει κοινῶς βάζω τρικλοποδιά σέ κάποιον, τόν πεδικλώνω. Πολύ ἐκφραστική ἡ μεταφορική εἰκόνα γιά τίς ὕπουλες καί δόλιες ἐνέργειες τοῦ διαβόλου προκειμένου νά ἐπιτύχει τήν πτώση τοῦ ἀνθρώπου.

νου, πού ἀγωνιζόταν ἐπί πολλά χρόνια. Αὐτόν τόν εἶχε προικίσει ὁ Θεός μέ τό χάρισμα νά μήν τόν βρίσκουν προσβολές τοῦ ἐχθροῦ. Ἔτσι σ' ὅσους τόν ἐπισκέπτονταν γιά νά λάβουν πνευματική ὠφέλεια, ἔλουζε τόν διάβολο μέ λοιδορίες καί ἔλεγε ὅτι εἶναι ἕνα μηδενικό καί δέν ἔχει καμία δύναμη πάνω στούς ἀγωνιστές, παρά μόνο ἄν βρεῖ ὅμοιους μέ τόν ἴδιο βρωμερούς καί ὑποδουλωμένους μονίμως στήν ἁμαρτία, αὐτούς μόνο τούς ἀποδυναμώνει. Καί δέν καταλάβαινε ὁ Γέροντας ὅτι τόν σκεπάζει ἡ βοήθεια τοῦ Θεοῦ καί γι' αὐτό δέν ἔχει ἐπιθέσεις ἀπό τόν διάβολο.

Κάποια μέρα λοιπόν κατά παραχώρηση Θεοῦ τοῦ ἐμφανίζεται ὁ διάβολος πρόσωπο πρός πρόσωπο καί τοῦ λέει: «Τί σοῦ 'φταιξα, ἀββᾶ; Γιατί μέ λούζεις μέ βρισιές; Μήπως σ' ἐνόχλησα ποτέ γιά κάτι;» Καί ὁ Γέροντας τόν ἔφτυσε πάλι καί χρησιμοποίησε τά ἴδια λόγια: «Ὕπαγε, πίσω μου, Σατανᾶ· δέν ἔχεις καμιά ἐξουσία στούς δούλους τοῦ Χριστοῦ». Κι ἐκεῖνος τοῦ πέταξε τόν ἑξῆς λόγο: «Ναί, ναί· θά ζήσεις ἄλλα σαράντα χρόνια καί μέσα στά τόσα χρόνια δέν θά βρῶ μιά ὥρα νά σέ πεδικλώσω[36];» Ἔριξε λοιπόν τό δόλωμα[37] καί ἔγινε ἄφαντος.

Ὁ Γέροντας ἔπεσε εὐθύς σέ λογισμούς καί ἔλεγε: «Τόσα χρόνια ἔχω ἐδῶ πού παιδεύομαι καί θέλει ὁ Θεός νά μέ κρατήσει ἄλλα σαράντα χρόνια; Φεύγω λοιπόν καί πάω στόν κόσμο. Νά δῶ καί τούς γνωστούς μου, νά ζήσω μαζί τους λίγα χρόνια καί ἐπιστρέφω κατόπιν νά ξαναρχίσω τήν ἄσκησή μου». Καί μόνο πού τά σκέφθηκε αὐτά, τά πραγματοποίησε· βγῆκε βιαστικά ἀπό τό κελί του καί πῆρε τό δρόμο.

Δέν εἶχε ἀπομακρυνθεῖ πολύ καί νά, ἄγγελος Κυρίου, σταλμένος γιά νά τόν βοηθήσει, τοῦ λέει: «Ποῦ πηγαίνεις, ἀββᾶ;» «Γιά τήν πόλη» ἀπαντᾶ. «Γύρισε στό κελί σου —τοῦ

37. Τό δόλωμα εἶναι ὁ λόγος πού ἔριξε.

δὲ ἑαυτὸν χλευασθέντα ὑπ᾽ αὐτοῦ. Ὁ δὲ εἰς ἑαυτὸν ἐλθὼν ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ. Καὶ ποιήσας τρεῖς ἡμέρας ἐτελειώθη.

88. Εἶδέ τίς τινα νεώτερον μοναχὸν γελῶντα καὶ λέγει αὐτῷ· Μὴ γελᾷς, ἀδελφέ, ἐπεὶ διώκεις ἀπὸ σοῦ τὸν φόβον τοῦ Θεοῦ.

89. Ἔλεγον περί τινος Γέροντος ὅτι καθημένου αὐτοῦ ἐν τῷ κελλίῳ ἦλθεν ἀδελφὸς νυκτὸς παραβαλεῖν αὐτῷ καὶ ἤκουσεν αὐτοῦ ἔσωθεν μαχομένου καὶ λέγοντος· Ὢ, καλῶς ἔχει· ἕως πότε; Ὕπαγε λοιπόν. Δεῦρο πρός με, φίλε. Εἰσελθὼν δὲ ὁ ἀδελφὸς εἶπεν αὐτῷ· Ἀββᾶ, μετὰ τίνος ἐλάλεις; Καὶ λέγει· Τοὺς πονηροὺς λογισμούς μου ἐδίωκον καὶ τοὺς ἀγαθοὺς ἐκάλουν.

90. Εἶπε Γέρων ὅτι· Καταφέρω τὸν ἄτρακτον καὶ τίθημι τὸν θάνατον πρὸ ὀφθαλμῶν μου προτοῦ ἀνενέγκαι αὐτόν.

91. Εἶπε Γέρων· Ὅσα ἠδυνήθην καταλαβεῖν οὐκ ἐδευτέρωσα.

92. Εἶπε Γέρων· Ἄνθρωπος ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον πᾶσαν ὥραν νικᾷ τὴν ὀλιγοψυχίαν.

93. Εἶπε Γέρων· Ὀφείλει ὁ μοναχὸς καθ᾽ ἑσπέραν καὶ κατὰ πρωὶ ποιεῖν λόγον πρὸς ἑαυτὸν καὶ λέγειν· Τί ὧν θέλει ὁ Θεὸς ἐποιήσαμεν καὶ τί ὧν οὐ θέλει οὐκ ἐποιήσαμεν; Καὶ οὕτω μετανοεῖν. Οὕτω χρὴ εἶναι τὸν μοναχόν. Οὕτως ἔζησεν ὁ ἀββᾶς Ἀρσένιος.

λέει— καί δέν ἔχεις καμία δουλειά μέ τόν Σατανᾶ. Νά ξέρεις μονάχα ὅτι χλευάσθηκες ἀπ᾽ αὐτόν». Ὁ Γέροντας συνῆλθε καί γύρισε στό κελί του. Καί μετά τρεῖς μέρες ἀπεβίωσε.

88. Εἶδε κάποιος ἕναν νεαρό μοναχό νά γελάει καί τοῦ λέει: «Μή γελᾶς, ἀδελφέ, γιατί διώχνεις ἀπό μέσα σου τόν φόβο τοῦ Θεοῦ».

89. Ἔλεγαν γιά κάποιον Γέροντα ὅτι ὅταν ἔμενε στό κελί του, πῆγε ἐκεῖ κάποια νύκτα ἕνας ἀδελφός καί τόν ἄκουσε νά λογομαχεῖ μέσα λέγοντας: «Ἐντάξει· ὥς πότε; Φύγε λοιπόν. Ἔλα κοντά μου, φίλε». Μπῆκε μέσα ὁ ἀδελφός καί τοῦ λέει: «Ἀββᾶ, μέ ποιόν μιλοῦσες;». Καί ὁ ἀββᾶς ἀπαντᾶ: «Ἐδιωχνα τούς πονηρούς λογισμούς καί καλοῦσα τούς καλούς».

90. Εἶπε Γέροντας: «Ρίχνω τό ἀδράχτι καί ἕως ὅτου τό ἀνεβάσω, φέρνω μπροστά στά μάτια μου τόν θάνατο».

91. Εἶπε Γέροντας: «Ὅσα μπόρεσα νά τά ἀντιληφθῶ, δέν τά ἐπανέλαβα».

92. Εἶπε Γέροντας: «Ὁ ἄνθρωπος πού ἔχει διαπαντός ἐνώπιόν του τόν θάνατο, νικάει τήν ὀλιγοψυχία».

93. Εἶπε Γέροντας: «Ὁ μοναχός ὀφείλει κάθε βράδυ καί πρωί νά κάνει λογαριασμό μέ τόν ἑαυτό του καί νά λέει: Ἀπ᾽ ὅσα θέλει ὁ Θεός τί κάναμε καί ἀπ᾽ ὅσα δέν θέλει τί ἀποφύγαμε; Καί μέ τόν τρόπο αὐτό νά μετανοεῖ. Τέτοιος πρέπει νά ᾽ναι ὁ μοναχός· ἔτσι ἔζησε ὁ ἀββᾶς Ἀρσένιος»[38].

---

38. Τό ἀπόφθεγμα αὐτό εἶναι ὅμοιο μέ τό πρῶτο μέρος τοῦ ἀποφθ. 50 πού ἀποδίδεται στόν ἀββᾶ Νισθερῶο.

94. Εἶπε Γέρων· Χρυσίον ἐάν τις ἀπολέσῃ καὶ ἀργύριον, δύναται ἀντ' αὐτοῦ εὑρεῖν· καιρὸν δὲ ὁ ἀπόλλων, ἄλλον ἀντ' αὐτοῦ εὑρεῖν οὐ δύναται.

95. Παρέβαλέ ποτέ τις τῶν Γερόντων πρὸς ἄλλον Γέροντα. Καὶ λαλούντων αὐτῶν ἔλεγεν ὁ εἷς· Ἐγὼ ἀπέθανον τῷ κόσμῳ. Λέγει ὁ ἄλλος Γέρων· Μὴ θαρρήσῃς ἑαυτῷ, ἀδελφέ, ἕως ἂν ἐξέλθῃς ἐκ τοῦ σώματος. Εἰ γὰρ σὺ λέγεις ὅτι ἀπέθανον, ἀλλ' ὁ Σατανᾶς οὐκ ἀπέθανεν.

96. Εἶπε Γέρων· Ὥσπερ ὁ στρατιώτης καὶ ὁ κυνηγὸς ἀπερχόμενοι εἰς τὸν ἀγῶνα οὐ φροντίζουσιν εἰ τιτρώσκεται ἄλλος ἢ σῴζεται ἄλλος, ἀλλ' ἕκαστος ὑπὲρ ἑαυτοῦ μόνον ἀγωνιᾷ, οὕτω χρὴ εἶναι τὸν μοναχόν.

97. Εἶπε Γέρων· Ὥσπερ οὐδεὶς δύναται ἀδικῆσαι τὸν ἐγγὺς τοῦ βασιλέως ὑπάρχοντα, οὕτως οὐδὲ ὁ Σατανᾶς δύναταί τι ποιῆσαι ἡμῖν, ἐὰν ἡ ψυχὴ ἡμῶν ἐγγὺς ᾖ τοῦ Θεοῦ. Ἐγγίσατε γάρ μοι, φησί, καὶ ἐγγιῶ ὑμῖν. Ἀλλ' ἐπειδὴ συνεχῶς μετεωριζόμεθα, εὐχερῶς ὁ ἐχθρὸς ἁρπάζει τὴν ταλαίπωρον ἡμῶν ψυχὴν εἰς τὰ πάθη τῆς ἀτιμίας.

98. Εἶπε Γέρων ὅτι· Ἀνιστάμενος τὸ πρωὶ λέγε σεαυτῷ:

---

39. Ἤ: τήν κατάλληλη εὐκαιρία.

40. Ἡ ἔννοια τοῦ ἀποφθ. αὐτοῦ ἐνδέχεται ἐκ πρώτης ὄψεως νά παρεξηγηθεῖ ὅτι προβάλλει τόν ἐγωκεντρισμό καί τή φιλαυτία. Αὐτό ἀφ' ἑαυτοῦ ἀποκλείεται, γιατί ἔρχεται σέ ἀντίθεση μέ τόν εὐαγγελισμό τῆς ἀγάπης· ἀλλά θέλει νά τονίσει ἐδῶ ὁ Γέροντας τή συνοχή πού πρέπει νά ἔχει ὁ μοναχός στήν ψυχή

94. Εἶπε Γέροντας: «Ἄν χάσει κάποιος χρυσάφι ἤ ἀσήμι, μπορεῖ νά τό ἀντικαταστήσει· ἐκεῖνος ὅμως πού χάνει χρόνο[39] δέν μπορεῖ νά τόν ἀντικαταστήσει».

95. Ἐπισκέφθηκε κάποτε ἕνας ἀπό τούς Γέροντες κάποιον ἄλλο Γέροντα. Καθώς μιλοῦσαν, εἶπε ὁ ἕνας: «Ἐγώ ἔχω πεθάνει γιά τόν κόσμο». Καί λέει ὁ ἄλλος Γέροντας: «Μήν ἔχεις ἐμπιστοσύνη στόν ἑαυτό σου, ἀδελφέ, πρίν ἐξέλθεις ἀπό τό σῶμα. Ἐσύ λές "πέθανα" ἀλλά ὁ Σατανᾶς δέν πέθανε».

96. Εἶπε ἄλλος Γέροντας: «Ὅπως ὁ στρατιώτης καί ὁ κυνηγός ὅταν πᾶνε στόν ἀγώνα, δέν ἔχουν φροντίδα ἄν πληγώνεται ἤ σώζεται ὁ ἄλλος, ἀλλά ὁ καθένας ἀγωνιᾶ γιά τόν ἑαυτό του, ἔτσι πρέπει νά 'ναι ὁ μοναχός»[40].

97. Εἶπε Γέροντας: «Ὅπως κανένας δέν μπορεῖ νά βλάψει αὐτόν πού στέκεται κοντά στόν βασιλιά, ἔτσι οὔτε ὁ Σατανᾶς μπορεῖ νά κάνει κάτι εἰς βάρος μας, ἄν ἡ ψυχή μας εἶναι κοντά στόν Θεό. Γιατί λέει: Πλησιάστε με καί θά σᾶς πλησιάσω κι ἐγώ[41].

Ἀλλά ἐπειδή συνεχῶς παίρνουν ἀέρα τά μυαλά μας, εὔκολα ἁρπάζει ὁ ἐχθρός τήν ταλαίπωρη ψυχή μας καί τή ρίχνει στά ἄτιμα πάθη»[42].

98. Εἶπε Γέροντας: «Τό πρωί ὅταν σηκώνεσαι νά λές

του γιά τή σωτηρία του, ὥστε δεόντως νά προφυλάσσεται ἀπό τά ἀκατάπαυστα καί ἀνηλεῆ πυρά τοῦ ἐχθροῦ, ὅπως ἀκριβῶς κάνει ὁ στρατιώτης μέσα στή φωτιά τοῦ πολέμου ἤ καί ὁ κυνηγός πού κινδυνεύει ἀπό ἄστοχες βολές ἄλλων κυνηγῶν.

41. Ἰακ. 4, 8.

42. Πρβλ. Ἑβρ. 3, 7 καί 13-15.

Σῶμα ἔργασαι, ἵνα τραφῇς· ψυχή, νῆφε, ἵνα κληρονομήσῃς τὰ αἰώνια.

99. Ἔλεγον περί τινος Γέροντος ὅτι ὅτε ἔλεγον αὐτῷ οἱ λογισμοί· Ἄφες σήμερον καὶ αὔριον μετανοεῖς· ἀντέλεγεν αὐτοῖς λέγων· Οὐχί, ἀλλὰ σήμερον μετανοήσω καὶ αὔριον τὸ θέλημα τοῦ Θεοῦ γενέσθω.

100. Ἔλεγον οἱ Γέροντες ὅτι τρεῖς εἰσιν αἱ δυνάμεις τοῦ Σατανᾶ, αἵτινες προπορεύονται πάσης ἁμαρτίας· ἡ λήθη, ἡ ἀμέλεια καὶ ἡ ἐπιθυμία. Ὅταν γὰρ ἔλθῃ ἡ λήθη, γεννᾷ τὴν ἀμέλειαν· ἐκ δὲ τῆς ἀμελείας ἔρχεται ἡ ἐπιθυμία· ἐκ δὲ τῆς ἐπιθυμίας πίπτει ὁ ἄνθρωπος. Ἐὰν δὲ νήφῃ ὁ νοῦς, ἀπὸ τῆς λήθης οὐκ ἔρχεται εἰς τὴν ἀμέλειαν· ἐὰν δὲ μὴ ἀμελήσῃ, οὐκ ἔρχεται εἰς τὴν ἐπιθυμίαν· ἐὰν δὲ μὴ ἐπιθυμήσῃ, οὐ πίπτει ποτὲ χάριτι Χριστοῦ.

101. Εἶπε Γέρων· Σιωπὴν ἄσκει· μηδενὸς φρόντιζε· πρόσεχε τῇ μελέτῃ σου, κοιταζόμενος καὶ ἀνιστάμενος μετὰ φόβου Θεοῦ. Καὶ ἀσεβῶν ὁρμὰς οὐ μὴ φοβηθήσῃ.

102. Εἶπε Γέρων τινὶ ἀδελφῷ· Ὁ διάβολός ἐστιν ὁ ἐχθρὸς καὶ σὺ ὁ οἶκος. Ὁ ἐχθρὸς οὖν οὐ παύεται ῥίπτειν εἰς τὸν οἶκόν σου εἴ τι ἂν εὕρῃ πᾶσαν ἐπιχέων ἀκαθαρσίαν. Σὸν δέ ἐστι τὸ μὴ ἀμελῆσαι ῥίπτειν ἔξω. Ἐὰν δὲ ἀμελήσῃς, πληροῦται ὁ οἶκος πάσης ἀκαθαρσίας καὶ οὐκέτι ἰσχύεις εἰσελθεῖν ἐκεῖ.

43. «Ἀντίκειται γὰρ ἡ ἐπάρατος λήθη τῇ προσοχῇ ὡς πυρὶ ὕδωρ, καὶ πολέμιος αὐτῇ καθ' ὥραν κραταιὸς τυγχάνει. Ἀπὸ γὰρ λήθης εἰς ἀμέλειαν καταντῶμεν, ἐκ δ' ἀμελείας εἰς καταφρόνησιν καὶ ῥαθυμίαν καὶ ἀτόπους ἐπιθυ-

στόν ἑαυτό σου: Σῶμα, δούλεψε γιά νά συντηρηθεῖς· ψυχή, ἀγρύπνα γιά νά κληρονομήσεις τά αἰώνια ἀγαθά».

99. Ἔλεγαν γιά κάποιον Γέροντα ὅτι ὅταν τοῦ ἔλεγε ὁ λογισμός: «Ἄσε τήν σημερινή ἡμέρα καί αὔριο μετανοεῖς», ἀντέκρουε τόν λογισμό λέγοντας: «Ὄχι· σήμερα θά μετανοήσω καί αὔριο ἄς γίνει τό θέλημα τοῦ Θεοῦ».

100. Ἔλεγαν οἱ Γέροντες ὅτι τρεῖς εἶναι οἱ δυνάμεις τοῦ Σατανᾶ πού προηγοῦνται ἀπό κάθε ἁμαρτία: Ἡ λήθη, ἡ ἀμέλεια καί ἡ ἐπιθυμία. Ὅταν ἐμφανισθεῖ ἡ λήθη, προκαλεῖ τήν ἀμέλεια· ἀπό τήν ἀμέλεια προκύπτει ἡ ἐπιθυμία καί τήν ἐπιθυμία ἀκολουθεῖ ἡ πτώση τοῦ ἀνθρώπου[43].

Ἐάν ὅμως ὁ νοῦς ἐπαγρυπνεῖ, τή λήθη δέν τήν ἀκολουθεῖ ἡ ἀμέλεια· ἐάν δέν ἀμελήσει, δέν φθάνει στήν ἐπιθυμία· καί ἐφόσον δέν ἐγκλωβισθεῖ στήν ἐπιθυμία, μέ τή χάρη τοῦ Χριστοῦ δέν πέφτει ποτέ.

101. Εἶπε Γέροντας: «Νά ἀσκεῖς τή σιωπή. Μήν ἔχεις ἔννοια γιά τίποτε. Νά προσέχεις τή μελέτη σου· νά πέφτεις γιά ὕπνο καί νά σηκώνεσαι μέ τόν φόβο τοῦ Θεοῦ. Κάνοντας ἔτσι δέν ἔχεις νά φοβηθεῖς τίς ἐπιθέσεις τῶν ἀσεβῶν».

102. Εἶπε Γέροντας σέ κάποιον ἀδελφό: «Ὁ διάβολος εἶναι ὁ ἐχθρός καί σύ τό σπίτι. Ὁ ἐχθρός βέβαια δέν σταματάει νά ρίχνει στό σπίτι σου ὅ,τι κι ἄν βρεῖ, δηλαδή κάθε ἀκαθαρσία. Δικό σου χρέος εἶναι νά μήν ἀμελήσεις νά τά πετᾶς ἔξω. Ἐάν ἀμελήσεις, θά γεμίσει τό σπίτι ἀπό κάθε λογῆς ἀκαθαρσία καί δέν θά μπορεῖς πιά νά μπεῖς ἐκεῖ μέσα. Ἀπό

μίας». Ἡσυχίου πρεσβυτέρου «Πρὸς Θεόδουλον», *Φιλοκαλία* τ. Α΄ σελ. 146 § 32. Βλ. καί ὑποσημ. 15 σελ. 290.

Ἀλλὰ τὰ πρῶτα ἃ ῥίπτει ἐκεῖνος, ἔκβαλλε κατὰ μικρὸν καὶ μένει ὁ οἶκός σου καθαρὸς διὰ τῆς χάριτος τοῦ Χριστοῦ.

103. Ἔλεγέ τις τῶν Γερόντων· Ὅταν σκεπάσωσι τοὺς ὀφθαλμοὺς τοῦ βοός, τότε περιπατεῖ εἰς τὴν μηχανὴν περικάμπτων. Ἐὰν δὲ μὴ σκεπάσωσιν, οὐ περικάμπτει. Οὕτω καὶ ὁ διάβολος ἐὰν φθάσῃ σκεπάσαι τοὺς ὀφθαλμοὺς τοῦ ἀνθρώπου, ἐν παντὶ ἁμαρτήματι ταπεινοῖ αὐτόν. Ἐὰν δὲ φωτισθῶσιν οἱ ὀφθαλμοὶ αὐτοῦ, εὐχερῶς δύναται φυγεῖν ἀπ᾽ αὐτοῦ.

104. Ἔλεγον ὅτι ἐν τῷ ὄρει τοῦ ἀββᾶ Ἀντωνίου ἐκάθηντο ἑπτὰ ὀνόματα. Καὶ τῷ καιρῷ τῶν φοινίκων ἐφύλασσεν ὁ εἷς τοῦ σοβεῖν τὰ πετεινά. Ἦν δὲ ἐκεῖ Γέρων καὶ ὅτε ἐφύλασσε τὴν ἡμέραν αὐτοῦ ἔκραζε λέγων· Ὑπάγετε οἱ ἔσω πονηροὶ λογισμοὶ καὶ τὰ ἔξω πετεινά.

105. Ἔλεγον περί τινος Γέροντος ὅτι ἀπέθνησκεν εἰς Σκῆτιν καὶ ἐκύκλωσαν οἱ ἀδελφοὶ τὴν κλίνην αὐτοῦ καὶ ἐσχημάτισαν αὐτὸν καὶ ἔβαλον κλαίειν. Ἤνοιξε δὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἐγέλασεν· εἶτα πάλιν ἐγέλασεν· ἐγέλασε δὲ καὶ ἐκ τρίτου. Καὶ παρεκάλεσαν αὐτὸν οἱ ἀδελφοὶ λέγοντες· Εἰπὲ ἡμῖν, ἀββᾶ, διατί ἡμεῖς κλαίομεν καὶ σὺ γελᾷς; Λέγει αὐτοῖς· Ἐγέλασα ὅτι πάντες φοβεῖσθε τὸν θάνατον· καὶ τὸ δεύτερον ἐγέλασα ὅτι οὐκ ἐστε ἕτοιμοι, τὸ δὲ τρίτον ἐγέλασα, ὅτι ἀπὸ κόπου εἰς ἀνάπαυσιν ὑπάγω. Καὶ εὐθέως ἐκοιμήθη ὁ Γέρων.

106. Διηγήσαντο ἀδελφοὶ λέγοντες ὅτι· Παρεβάλομεν Γέρουσι καὶ κατὰ τὸ εἰωθὸς γενομένης εὐχῆς ἀσπασάμενοι ἀλλήλους ἐκαθέσθημεν. Καὶ μετὰ τὸ λαλῆσαι μέλλοντες ἀναχω-

τήν ἀρχή λοιπόν πού θά ρίχνει ἐκεῖνος, πέτα τα ἔξω λίγα λίγα καί μέ τή χάρη τοῦ Θεοῦ θά μείνει τό σπίτι σου καθαρό».

103. Ἔλεγε κάποιος Γέροντας: «Ὅταν σκεπάσουν (μέ παρωπίδες) τά μάτια τοῦ βοδιοῦ, περπατάει κυκλικά γύρω ἀπό τό μαγγανοπήγαδο. Ἄν δέν τά σκεπάσουν, δέν παίρνει τίς στροφές. Ἔτσι καί ὁ διάβολος, ἄν καταφέρει νά σκεπάσει τά μάτια τοῦ ἀνθρώπου, τόν ταπεινώνει παρασύροντάς τον σ᾽ ὅλες τίς ἁμαρτίες. Ἄν ὅμως φωτισθοῦν τά μάτια του, εὔκολα μπορεῖ νά ξεφύγει ἀπ᾽ αὐτόν».

104. Ἔλεγαν ὅτι στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου μόναζαν ἑπτά ἀναχωρητές. Καί τόν καιρό πού ὡρίμαζαν τά φοινίκια, φύλαγαν κάθε μέρα καί ἕνας, γιά νά διώχνουν τά πουλιά. Μεταξύ αὐτῶν ἦταν καί ἕνας Γέροντας ὁ ὁποῖος ὅταν φύλαγε τή μέρα του ἔλεγε μέ δυνατή φωνή: «Φύγετε οἱ μέσα πονηροί λογισμοί καί τά ἔξω πουλιά».

105. Ἔλεγαν γιά κάποιον Γέροντα στή Σκήτη ὅτι τήν ὥρα πού πέθαινε, περικύκλωσαν τό κλινάρι του οἱ ἀδελφοί, τόν τακτοποίησαν καί ἄρχισαν νά κλαῖνε. Κι ἐκεῖνος ἄνοιξε κάποια στιγμή τά μάτια του καί γέλασε· μετά ἀπό λίγη ὥρα πάλι γέλασε· γέλασε καί τρίτη φορά. Τόν παρακάλεσαν τότε οἱ ἀδελφοί καί τοῦ ᾽παν: «Πές μας, ἀββᾶ, γιατί ἐμεῖς κλαῖμε καί σύ γελᾶς;» Καί τούς λέει: «Γέλασα, γιατί φοβᾶσθε ὅλοι σας τόν θάνατο· δεύτερον γέλασα, γιατί δέν εἶστε ἕτοιμοι· καί τρίτον γέλασα, γιατί ἀπό τή ζωή τοῦ κόπου πηγαίνω στήν ἀνάπαυση». Καί ἀμέσως παρέδωσε τό πνεῦμα του.

106. Διηγήθηκαν κάποιοι ἀδελφοί τό ἑξῆς: «Ἐπισκεφθήκαμε κάποιους Γέροντες καί, ὅπως συνηθίζεται, ἔγινε προσευχή, ἀλληλοασπασθήκαμε καί καθίσαμε. Μετά τή συ-

ρεῖν ᾐτήσαμεν εὐχὴν γενέσθαι. Εἶπε δέ τις τῶν Γερόντων πρὸς ἡμᾶς· Τί γάρ, οὐκ ηὔξασθε; Καὶ εἴπομεν αὐτῷ· Ὅτε εἰσήλθομεν, ἀββᾶ, ἐγένετο εὐχὴ καὶ ὁμιλοῦμεν ἕως ἄρτι. Λέγει ὁ Γέρων· Συγχωρήσατε, ἀδελφοί· μεθ' ἡμῶν καθεζόμενός τις ἀδελφὸς καὶ ὁμιλῶν, ἑκατὸν πεντήκοντα εὐχὰς ἐποίησε. Καὶ τοῦτο αὐτοῦ εἰπόντος ἐποίησαν εὐχὴν καὶ ἀπέλυσαν ἡμᾶς.

107. Εἶπέ τις τῶν Πατέρων ὅτι φιλόπονός τις μοναχὸς προσεῖχεν ἑαυτῷ καὶ συνέβη αὐτῷ μικρὸν ἀμελῆσαι· ἐν δὲ τῷ ἀμελεῖν καταγνοὺς ἑαυτοῦ εἶπε· Ψυχή, ἕως πότε ἀμελεῖς τῆς σωτηρίας σου; Καὶ οὐ φοβεῖ τὸ κρῖμα τοῦ Θεοῦ, μὴ καταληφθῇς τῇ ἀμελείᾳ ταύτῃ καὶ παραδοθῇς ταῖς αἰωνίαις κολάσεσι; Ταῦτα λέγων ἐν ἑαυτῷ διήγειρεν ἑαυτὸν εἰς τὸ ἔργον τοῦ Θεοῦ. Ποιοῦντος οὖν αὐτοῦ τὴν σύναξιν ἐν μιᾷ ἦλθον οἱ δαίμονες καὶ ἐθορύβουν αὐτόν. Ὁ δὲ λέγει πρὸς αὐτούς· Ἕως πότε θλίβετέ με; Οὐκ ἠρκέσθητε εἰς τὴν ἀμέλειαν τοῦ προλαβόντος χρόνου; Λέγουσιν αὐτῷ οἱ δαίμονες, ὅτι· Ὅταν ἦς ἐν ἀμελείᾳ καὶ ἡμεῖς ἠμελοῦμέν σου· ὡς δὲ διηγέρθης καθ' ἡμῶν, καὶ ἡμεῖς ἠγέρθημεν κατὰ σοῦ. Ταῦτα ἀκούσας ἐπὶ πλεῖον διήγειρεν ἑαυτὸν εἰς τὸ ἔργον τοῦ Θεοῦ καὶ προέκοπτε χάριτι Χριστοῦ.

108. Εἶπε Γέρων· Χρὴ τὸν ἄνθρωπον φυλάττειν τὸ ἔργον αὐτοῦ, ἵνα μὴ ἀπολέσῃ αὐτό. Ἐὰν γάρ τις ἐργάσηται πολλὰ καὶ μὴ φυλάξῃ, οὐδὲν ὠφελεῖ. Ἐὰν δέ τις ἐργάσηται ὀλίγα

νομιλία καί πρίν ἀπό τήν ἀναχώρηση, ζητήσαμε νά γίνει προσευχή. Μᾶς εἶπε τότε ἕνας Γέροντας: Μά, δέν προσευχηθήκατε; Καί τοῦ λέμε: Ὅταν ἤρθαμε, ἀββᾶ, ἔγινε προσευχή καί μέχρι αὐτή τή στιγμή συζητοῦμε. Συγχωρῆστε με, ἀδελφοί —λέει ὁ Γέροντας— μαζί μας κάποιος ἀδελφός πού καθόταν καί συζητοῦσε, ἔκανε ἑκατόν πενήντα προσευχές. Καί ἀφοῦ εἶπε αὐτό, σηκώθηκαν, προσευχήθηκαν καί μᾶς ἀπέλυσαν».

107. Εἶπε κάποιος ἀπό τούς Πατέρες ὅτι ἕνας ἀγωνιστής μοναχός πού πρόσεχε τόν ἑαυτό του, τοῦ συνέβη γιά λίγο νά πέσει σέ ἀμέλεια. Ἀλλά τόν καιρό πού ἦταν ἀμελής, καταδίκασε τόν ἑαυτό του καί εἶπε: «Ψυχή μου, ἕως πότε θά ἀμελεῖς τή σωτηρία σου; Καί δέν φοβᾶσαι τήν κρίση τοῦ Θεοῦ μήν σέ πάρει ξαφνικά στήν κατάσταση αὐτή τῆς ἀμέλειας καί παραδοθεῖς στήν αἰώνια κόλαση;» Καί λέγοντας αὐτά μέσα του ξύπνησε τόν ἑαυτό του γιά τήν πνευματική ἐργασία.

Κάποια φορά λοιπόν ὅταν ἔκανε τήν ἀκολουθία του, ἦλθαν οἱ δαίμονες καί τόν ἐνοχλοῦσαν μέ θορύβους. Κι ἐκεῖνος ἀπευθύνθηκε σ' αὐτούς καί εἶπε: «Ἕως πότε θά μέ στενοχωρεῖτε; Δέν σᾶς ἔφθασε ἡ ἀμέλεια τόν προηγούμενο καιρό;» Καί οἱ δαίμονες τοῦ εἶπαν: «Ὅταν ἦσουν ἀμελής, καί ἐμεῖς σέ παραμελούσαμε. Μόλις ὅμως ξεσηκώθηκες ἐναντίον μας καί μεῖς σηκωθήκαμε ἐναντίον σου». Μετά ἀπ' αὐτά πού ἄκουσε, ἄρχισε νά παρακινεῖ περισσότερο τόν ἑαυτό του γιά τήν ἐργασία τοῦ Θεοῦ καί μέ τή χάρη τοῦ Χριστοῦ πρόκοβε.

108. Εἶπε Γέροντας: «Εἶναι ἀνάγκη ὁ ἄνθρωπος νά περιφρουρεῖ τήν ἐργασία του, γιά νά μήν τή χάσει. Γιατί ἄν κανείς κάνει πολλή ἐργασία, ἀλλά δέν τήν προφυλάξει, δέν ὠφελεῖ καθόλου. Ἐνῶ ἄν κανείς κάνει λίγη ἐργασία καί τήν προφυ-

καὶ φυλάξῃ, εἱστήκει τὸ ἔργον αὐτοῦ. Καὶ διηγεῖτο τοιοῦτον πρᾶγμα, ὅτι ἀδελφῷ τινι κατελήφθη κληρονομία. Καὶ θέλων ποιῆσαι ἀγάπην ὑπὲρ τοῦ τελευτήσαντος, εὐκαίρησεν ἀδελφὸν ἐλθεῖν ἀπὸ ξένης. Καὶ ἤγειρεν αὐτὸν τὴν νύκτα λέγων· Ἔγειραι, βοήθει μοι. Ὁ δὲ ἀδελφὸς παρεκάλεσε λέγων ὅτι ἀπὸ κόπου εἰμὶ καὶ οὐ δύναμαι. Ὁ δὲ λέγει αὐτῷ· Εἰ οὐκ ἔρχῃ, ἀνάστα, ὕπαγε. Καὶ ἀνέστη ὁ ξένος καὶ ἀπῆλθε. Τῇ οὖν ἐπιούσῃ νυκτὶ θεωρεῖ ἐν ὁράματι ὅτι σῖτον ἔδωκε τῷ ἀρτοκόπῳ καὶ οὐκ ἔδωκεν αὐτῷ οὐδὲ ἕνα ἄρτον. Καὶ ἀναστὰς ἀπῆλθε πρός τινα μέγα Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ πάντα. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Καλὸν μὲν ἔργον ἐποίησας, ἀλλ' οὐκ ἀφῆκέ σε ὁ ἐχθρὸς λαβεῖν τὸν μισθόν. Χρὴ οὖν τὸν ἄνθρωπον νήφειν καὶ φυλάττειν τὸ ἔργον αὐτοῦ.

109. Εἶπε Γέρων· Οὐδέποτε προέβην βῆμα ποδός, εἰ μὴ ἔμαθον ποῦ ἔθηκα τὸν πόδα μου· ἀλλ' εἱστήκειν κατανοῶν καὶ ὅλως μὴ ἐνδιδούς, ἄχρις ἂν ὁ Θεὸς ὡδήγησέ με.

110. Ἀνδρὶ ἁγίῳ κατ' αὐτὴν τὴν ὥραν ὅτε ἔμελλε τελευτᾶν, ἐπιστὰς ὁ Σατανᾶς λέγει αὐτῷ· Σὺ ἐξείλησάς με. Καὶ λέγει ὁ Γέρων· Οὐκ οἶδα ἀκμήν. Ἴδε ἕως πόσου ἔνηφον οἱ Πατέρες μὴ καυχᾶσθαι ἔν τινι πράγματι.

111. Εἶπε Γέρων· Ἐν Σκήτει ἦν τις ἀδελφὸς σπουδαῖος μὲν εἰς τὴν λειτουργίαν αὐτοῦ, ἀμελὴς δὲ εἰς τὰ λοιπά. Καὶ ἐν μιᾷ φαίνεται ὁ Σατανᾶς τινι τῶν Γερόντων καὶ λέγει αὐτῷ· Ὦ

λάξει, ἡ ἐργασία αὐτοῦ παραμένει». Καί διηγοῦνταν τό ἑξῆς περιστατικό. Σέ κάποιον ἀδελφό ἄφησαν μιά κληρονομιά. Καί καθώς ἤθελε νά κάνει τραπέζι γιά τήν ψυχή τοῦ ἀποβιώσαντος, συνέβη νά ἔρθει κάποιος ἀδελφός ἀπό ἄλλη χώρα καί νά τόν φιλοξενήσει. Τόν ξύπνησε λοιπόν τή νύκτα λέγοντάς του: Ξύπνα νά μέ βοηθήσεις. Ὁ ἀδελφός ὅμως τόν παρακάλεσε: Εἶμαι κατάκοπος καί δέν μπορῶ. Κι ἐκεῖνος εἶπε: «Ἐάν δέν ἔρχεσαι, σήκω καί φύγε». Σηκώθηκε λοιπόν ὁ ξένος καί ἔφυγε.

Τήν ἑπόμενη νύκτα βλέπει στό ὄνειρό του ὅτι ἔδωσε σιτάρι στόν ἀρτοποιό, ἀλλά ἐκεῖνος δέν τοῦ ἔδωσε οὔτε ἕνα ψωμί. Σηκώνεται τότε καί πηγαίνει σέ ἕναν μεγάλο Γέροντα καί τοῦ τά ἀναφέρει ὅλα. Καί ὁ Γέροντας τοῦ λέει: «Ἔκανες καλό ἔργο, ἀλλά δέν σ' ἄφησε ὁ ἐχθρός νά πάρεις τόν μισθό». Εἶναι ἀνάγκη λοιπόν ὁ ἄνθρωπος νά εἶναι ἄγρυπνος καί νά περιφρουρεῖ τήν ἐργασία του.

109. Εἶπε Γέροντας: «Ποτέ δέν ἔκανα βῆμα, παρά ἀφοῦ ἤξερα ποῦ πατῶ τό πόδι μου. Ἀλλά στεκόμουν παρατηρώντας καί δέν ὑποχωροῦσα καθόλου, ἕως ὅτου ὁ Θεός μέ ὁδηγοῦσε».

110. Σέ ἕναν ἅγιο ἄνδρα τήν ὥρα ἀκριβῶς πού ξεψυχοῦσε, παρουσιάσθηκε ὁ Σατανᾶς καί τοῦ λέει: «Ἐσύ μοῦ ξέφυγες». Καί ὁ Γέροντας ἀπαντᾶ: «Δέν τό ξέρω ἀκόμη». Δές, μέχρι ποιοῦ σημείου ἐπαγρυπνοῦσαν οἱ Πατέρες, ὥστε νά μήν καυχῶνται καθόλου.

111. Εἶπε Γέροντας: «Ἦταν κάποιος ἀδελφός πολύ ζηλωτής καί συνεπής στήν προσευχή του, ἀμελής ὅμως στά ὑπόλοιπα. Κάποια φορά λοιπόν ἐμφανίζεται ὁ Σατανᾶς σέ ἕνα Γέροντα καί τοῦ λέει: Πολύ παράδοξο, ὁ τάδε μοναχός

θαῦμα, ὁ δεῖνα μοναχὸς ἐν τῇ μάλῃ αὐτοῦ σφίγγει με, ἵνα μὴ ἀναχωρήσω ἐξ αὐτοῦ, ποιῶν τὰ θελήματά μου καὶ καθ' ὥραν λέγει τῷ Θεῷ· Κύριε, ῥῦσαί με ἀπὸ τοῦ πονηροῦ.

112. Εἶπε Γέρων· Ἐν παντὶ ἔργῳ, ἐν πάσῃ ὥρᾳ λέγε· Ἐὰν ἐπισκέψηταί με ὁ Θεός, τί γίνεται; Καὶ βλέπε τί ἀποκρίνεταί σοι ὁ λογισμός. Καὶ ἐὰν κατακρίνῃ σε, ἄφες εὐθέως καὶ ῥίψον τὸ ἔργον σου ὃ κρατεῖς καὶ λάβε ἄλλο, ἵνα θαρρῇς φθασθῆναι εἰς αὐτό. Δεῖ γὰρ τὸν ἐργάτην ἐν πάσῃ ὥρᾳ ἕτοιμον εἶναι τοῦ πορευθῆναι τὴν ὁδὸν αὐτοῦ, κἂν εἰς ἐργόχειρον κάθῃ κἂν ἐν ὁδῷ πορεύῃ κἂν ἐσθίῃς, τοῦτο πάντοτε ἵνα λέγῃς· ὅτι ἄρτι ἐὰν καλέσῃ ἡμᾶς ὁ Θεός, τί γίνεται; Καὶ βλέπε τί ἀποκρίνεται ἡ συνείδησίς σου καὶ τάχυνον ποιῆσαι εἴ τι λέγει σοι. Καὶ ἐὰν θέλῃς μαθεῖν εἰ ἐγένετο ἔλεος μετὰ σοῦ, ἐρώτησον τὴν συνείδησίν σου καὶ μὴ παύσῃ τοῦτο ποιῶν, ἕως ἂν πληροφορηθῇ ἡ καρδία σου καὶ ἡ συνείδησίς σου εἴπῃ σοι ὅτι πιστεύομεν εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ὅτι πάντως ποιεῖ μεθ' ἡμῶν ἔλεος. Πρόσεχε δὲ τῇ καρδίᾳ σου μή ποτε ἀπὸ δισταγμοῦ λέγῃ τὸν λόγον. Καὶ ἐὰν δυσπιστῇ ἕως τριχὸς μιᾶς, μακράν ἐστιν ἀπὸ σοῦ τὸ ἔλεος.

113. Ἀββᾶς τις ἀνεχώρησε σύν τινι ἀδελφῷ εἰς τὴν ἐσωτέραν ἔρημον. Καὶ ἦσαν τὰς μὲν ἡμέρας ἀπ' ἀλλήλων χωριζόμενοι, τῇ δὲ ἑβδόμῃ συνερχόμενοι ὁμοῦ ἐπετέλουν τὰς εὐχὰς καὶ ἐγεύοντο, μηδὲν πλέον ἀλλήλοις διαλεγόμενοι. Ἀπερχόμενοι δὲ οἱ δαίμονες πρὸς τὸν ἕνα αὐτῶν ἠπάτων αὐτὸν ἐν πολλοῖς καὶ προεσήμαινον εἴσοδον ἀδελφῶν καὶ τὰ γινόμενα ἐν πολλοῖς τόποις.

---

44. Ἐνν.: γιά νά μέ πάρει.

μέ σφίγγει κάτω ἀπό τή μασχάλη του γιά νά μήν τόν ἐγκαταλείψω, κάνει τά θελήματά μου καί ὅλη τήν ὥρα προσεύχεται λέγοντας στόν Θεό: Κύριε, σῶσε με ἀπό τόν πονηρό».

112. Εἶπε Γέροντας: «Ὅποια ἐργασία κι ἄν κάνεις, κάθε στιγμή νά λές: Ἐάν μέ ἐπισκεφθεῖ τώρα ὁ Θεός[44], τί γίνεται; Καί δές τί σοῦ ἀπαντᾶ ὁ λογισμός. Ἐάν σέ κατακρίνει, ἀμέσως σταμάτα καί πέταξε τήν ἐργασία πού ἔχεις στά χέρια καί πιάσε ἄλλη, στήν ὁποία πιστεύεις πώς εἶναι καλά νά σέ βρεῖ ὁ θάνατος. Γιατί ὁ ἀγωνιστής κάθε ὥρα πρέπει νά εἶναι ἕτοιμος νά διανύσει τόν τελευταῖο δρόμο του· εἴτε ἐργόχειρο κάνεις εἴτε βαδίζεις στόν δρόμο εἴτε εἶσαι σέ ὥρα φαγητοῦ, αὐτό πάντοτε νά λές: Ἄν αὐτή τή στιγμή μᾶς καλέσει ὁ Θεός, τί γίνεται; Καί βλέπε τί ἀπαντᾶ ἡ συνείδησή σου καί σπεῦσε νά κάνεις ὅ,τι σοῦ λέει.

Καί ἐάν θέλεις νά μάθεις ἄν ἐλεήθηκες, ρώτησε τή συνείδησή σου καί μήν παύσεις νά τό κάνεις αὐτό, ἕως ὅτου πληροφορηθεῖ ἡ καρδιά σου καί ἡ συνείδησή σου σοῦ πεῖ: πιστεύουμε στήν εὐσπλαχνία τοῦ Θεοῦ ὅτι σίγουρα μᾶς ἐλεεῖ. Πρόσεχε ὅμως τήν καρδιά σου μήν τυχόν διστάζοντας λέει τόν λόγο αὐτό. Καί ἐάν δυσπιστεῖ ἔστω καί ἐλάχιστα, τό ἔλεος εἶναι μακριά σου».

113. Κάποιος ἀββᾶς ἀναχώρησε μαζί μέ ἕναν ἀδελφό στή βαθύτερη ἔρημο. Τίς ἔξι μέρες ζοῦσαν χωρισμένοι ὁ ἕνας ἀπό τόν ἄλλο καί τήν ἕβδομη μέρα συναντιόταν, ἔκαναν μαζί τίς προσευχές καί ἔτρωγαν χωρίς νά συζητοῦν μεταξύ τους τίποτε περισσότερο.

Πήγαιναν λοιπόν στόν ἕναν ἀπ' αὐτούς οἱ δαίμονες καί τόν ἐξαπατοῦσαν σέ πολλά καί τοῦ προμήνυαν ὅτι θά ἔλθουν ἐκεῖ ἀδελφοί καί αὐτά πού γίνονται σέ πολλούς τόπους.

Ταῦτα ὁρῶν καὶ ἀκούων συμβαίνοντα αὐτὰ ἐπίστευσεν αὐτοῖς νομίζων ἁγίας δυνάμεις αὐτοὺς ὑπάρχειν· ἐκώλυσαν δὲ αὐτὸν ἀπέρχεσθαι τῇ τεταγμένῃ ἡμέρᾳ πρὸς τὸν ἀδελφόν. Κατὰ συντυχίαν δὲ ἀπῆλθεν ἐπισκέψασθαί τινα ἀδελφὸν ἀσθενοῦντα καὶ ὑπέβαλέ τισι τῆς μονῆς, ὡς περὶ ἄλλου τὸν λόγον φάσκων, εἰ δυνατόν ἐστί τινα τὰ ἐν τῷ κόσμῳ γινώσκειν. Ἀκούσαντες δὲ καὶ νοήσαντες ὅτι αὐτός ἐστιν ὁ ἀπατώμενος, ἐπετίμησαν αὐτῷ λέγοντες· Εἰ τοιούτοις σχολάζεις, μηκέτι ἡμῖν παραβάλῃς. Καὶ εὐθὺς μετενόησεν ἀπαρνησάμενος πάντα ἐκεῖνα. Ἀναχωρήσαντος δὲ αὐτοῦ, πάλιν ἀπῆλθον πρὸς αὐτὸν οἱ δαίμονες τοῦ αὐτὸν ἀπατῆσαι. Ὁ δὲ ψεύστας αὐτοὺς ἀπεκάλεσε καὶ εὐθέως μετεβλήθησαν τὰ πρόσωπα αὐτῶν εἰς ζῷα καὶ ἀπειλήσαντες αὐτὸν ἀπῆλθον.

114. Διηγήσατό τις περί τινος μοναχοῦ ὅτι παρεκάλει τὸν Θεόν, ἵνα αὐτὸν ἀξιώσῃ γενέσθαι ὡς τὸν Ἰσαὰκ τὸν πατριάρχην. Καὶ μετὰ τὰς πολλὰς αὐτοῦ δεήσεις ἦλθεν αὐτῷ θεόθεν φωνὴ λέγουσα· Οὐ δύνασαι γενέσθαι ὡς ὁ Ἰσαάκ. Καί φησιν ὁ μοναχός· Ἐὰν μὴ ὡς ὁ Ἰσαάκ, κἂν ὡς ὁ Ἰώβ. Καὶ πάλιν πρὸς αὐτὸν ἡ θεία φωνή· Ἐὰν παλαίσῃς ὡς ἐκεῖνος τῷ διαβόλῳ, δύνασαι γενέσθαι. Συντίθεται τοίνυν ὁ μοναχὸς καὶ ἀκούει φωνῆς πάλιν θείας λεγούσης αὐτῷ· Ἄπελθε, φησίν, εἰς τὸ κελλίον σου.

Μεθ' ἡμέρας τοίνυν μετασχηματίζεται ὁ διάβολος εἴς τινα στρατιώτην καὶ παραγίνεται πρὸς τὸν μοναχὸν λέγων· Ἀββᾶ, δέομαί σου τῆς ὁσιότητος, ἐλέησόν με διωκόμενον ὑπὸ τοῦ βασιλέως· καὶ λάβε, φησί, τὰς διακοσίας ταύτας τοῦ χρυσίου λίτρας καὶ τὴν κόρην ταύτην καὶ τὸν παῖδα καὶ ἀσφάλισαι παρ' ἑαυτῷ ἐν τόπῳ κρυπτῷ· ἐγὼ δέ, φησί, ἀπελεύσομαι ἐν ἑτέρᾳ χώρᾳ. Καί φησι πρὸς αὐτὸν ὁ μοναχὸς μὴ γινώσκων τὴν τοῦ διαβόλου ἐνέδραν· Τέκνον, οὐ δύναμαι ταῦτα

Βλέποντας αὐτά τά ὁράματα καί ἀκούοντας ὅτι συμβαίνουν αὐτά, τά πίστεψε νομίζοντας ὅτι αὐτοί πού ἐμφανίζονταν ἦσαν ἅγιοι ἄγγελοι. Τόν ἐμπόδισαν μάλιστα νά πηγαίνει τήν ὁρισμένη μέρα στόν ἀδελφό. Κατά σύμπτωση ὅμως πῆγε νά ἐπισκεφθεῖ ἕναν ἄρρωστο ἀδελφό· καί ρώτησε ἐκεῖ κάποιους τῆς μονῆς, σάν νά μιλοῦσε γιά λογαριασμό ἄλλου, ἐάν εἶναι δυνατόν νά γνωρίζει κανείς αὐτά πού συμβαίνουν στόν κόσμο. Ὅταν τ' ἄκουσαν ἐκεῖνοι καί κατάλαβαν ὅτι ὁ ἴδιος ἦταν ὁ ἐξαπατημένος, τόν ἤλεγξαν λέγοντάς του: «Ἐάν ἀσχολεῖσαι μέ τέτοια, μήν ξανάρθεις πιά σέ μᾶς». Καί εὐθύς μετανόησε παραιτούμενος ἀπ' ὅλα ἐκεῖνα. Ὅταν ἔφυγε, πάλι πῆγαν οἱ δαίμονες νά τόν ἐξαπατήσουν. Ἀλλά ὁ ἀββᾶς τούς ἀποκάλεσε ψεῦτες καί ἀμέσως μεταβλήθηκαν τά πρόσωπά τους σέ ζῶα καί ἀπειλώντας τον ἔφυγαν.

114. Διηγήθηκε κάποιος γιά ἕνα μοναχό ὅτι παρακαλοῦσε τόν Θεό νά τόν ἀξιώσει νά γίνει σάν τόν πατριάρχη Ἰσαάκ. Καί μετά ἀπό πολλές παρακλήσεις τοῦ ἦλθε φωνή ἀπό τόν Θεό πού ἔλεγε: «Δέν μπορεῖς νά γίνεις σάν τόν Ἰσαάκ». Καί ὁ μοναχός ἐπέμενε: «Ἄν ὄχι σάν τόν Ἰσαάκ, τουλάχιστον σάν τόν Ἰώβ». Πάλι ἡ θεϊκή φωνή τοῦ λέει: «Ἐάν παλαίψεις μέ τόν διάβολο ὅπως πάλαιψε ἐκεῖνος, μπορεῖς νά γίνεις». Συμφωνεῖ λοιπόν ὁ μοναχός καί ἀκούει πάλι μιά θεία φωνή νά τοῦ λέει: «Πήγαινε στό κελί σου».

Μετά ἀπό λίγες μέρες λοιπόν μετασχηματίζεται ὁ διάβολος σέ στρατιώτη, πηγαίνει στόν μοναχό καί λέει: «Ἀββᾶ, παρακαλῶ τήν ὁσιότητά σου, σπλαχνίσου με, γιατί μέ κυνηγάει ὁ βασιλιάς. Πάρε αὐτές τίς διακόσιες λίτρες χρυσάφι καί αὐτή τήν κοπέλα μέ τόν νεαρό· καί ἀσφάλισέ τα κοντά σου σέ κρυφό μέρος. Ἐγώ θά φύγω σέ ἄλλη χώρα». «Παιδί μου —ἀποκρίνεται ὁ μοναχός μή γνωρίζοντας τή διαβολική παγίδα— δέν μπορῶ νά τά κρατήσω αὐτά· ἐγώ εἶμαι ἕνας

κατασχεῖν· ταπεινὸς γάρ εἰμι ἄνθρωπος καὶ ἀδυνατῶ ταῦτα παραφυλάξαι. Παραβιάζεται τοίνυν ὁ ἐσχηματισμένος στρατιώτης τὸν μοναχὸν καί φησι πρὸς αὐτὸν ὁ μοναχός· Ἄπελθε, τέκνον, καὶ εἰς τὴν πλησίον πέτραν κρύψον αὐτά. Τῇ δὲ ὑστεραίᾳ πεισθέντος τοῦ μοναχοῦ, ἔλαβε τὸν χρυσὸν καὶ τὴν κόρην καὶ τὸν παῖδα χλευασθεὶς ὑπὸ τοῦ δαίμονος.

Μεθ' ἡμέρας τοίνυν, κινεῖται πόλεμος τῷ μοναχῷ εἰς τὴν κόρην καὶ φθείρας αὐτὴν καὶ μεταμεληθεὶς ἐπὶ τὸ γεγονὸς ἀποκταίνει αὐτήν. Καὶ λέγει πρὸς αὐτὸν ὁ λογισμός· Φόνευσον καὶ τὸν παῖδα, ἵνα μὴ προδότης γένηται τοῦ πράγματος. Φονεύει τοίνυν καὶ τὸν παῖδα καὶ λέγει πάλιν ὁ λογισμός· Ἆρον τὰ παρατεθέντα σοι χρήματα καὶ φεῦγε εἰς ἕτερον τόπον, διὰ τὴν τοῦ παραθεμένου ὄχλησιν. Ἀπέρχεται οὖν ἐν ἑτέρᾳ χώρᾳ καὶ κτίζει ἀπὸ τῶν χρημάτων εὐκτήριον. Καὶ τελειώσαντος αὐτοῦ τὸ ἔργον, ἰδοὺ παραγίνεται ὁ ἐν σχήματι στρατιώτου διάβολος καὶ ἤρξατο κράζειν καὶ λέγειν· Ὢ βία, βοηθεῖτε· οὗτος ὁ μοναχὸς ἐκ τοῦ παρατεθέντος αὐτῷ παρ' ἐμοῦ χρήματος, τοῦτο ἀνήγειρε τὸ κτίσμα. Καὶ ἐπεγερθέντες οἱ ἐντόπιοι τῷ στρατιώτῃ τῷ δολίῳ μετὰ πάσης ἀποπέμπονται ἀτιμίας. Ὁ δὲ ταῖς ἀπειλαῖς θρασυνόμενος, ἀπῄει λέγων ἐκεῖνα ποιεῖν τῷ μοναχῷ, ὅσα οὐδὲ εἰς νοῦν ἔλαβε πώποτε. Καὶ ὑποχωρήσας ἀπῆλθεν.

Ὁ μοναχὸς τοίνυν οὐκ ἠρέμει νυκτὸς καὶ ἡμέρας τοῖς λογισμοῖς ἀπομαχόμενος, ἕως οὗ ἐνίκησεν αὐτὸν ὁ λογισμὸς τοῦ ὑποχωρῆσαι τοῦ τόπου λέγων ὅτι· Λοιπὸν ἔφθασε τὰ κατ' ἐμὲ φανερωθῆναι. Ἐκ μέρους οὖν λαμβάνω τὰ ὑπολειφθέντα μοι χρήματα καὶ ἀπέρχομαι εἰς πόλιν μακράν, ὅπου ὁ στρατιώτης ἐκεῖνος ἐλθεῖν οὐ δύναται. Ἀπέρχεται τοίνυν εἰς τὴν πόλιν καὶ περιπίπτει εἰς μίαν κόρην θυγατέρα οὖσαν τινὸς δημίου

φτωχός ἄνθρωπος καί δέν ἔχω τρόπο νά τά ἀσφαλίσω». Ὅπως ἦταν ἑπόμενο, πίεσε πολύ ὁ ψευτοστρατιώτης τόν μοναχό καί ὁ μοναχός τοῦ εἶπε: «Πήγαινε, παιδί μου, καί κρύψ' τα στόν γειτονικό βράχο». Τήν ἑπομένη ὅμως πείσθηκε ὁ μοναχός καί πῆρε τό χρυσάφι μέ τήν κοπέλα καί τόν νεαρό, γιατί περιπαίχθηκε ἀπό τόν διάβολο.

Πέρασαν κάποιες μέρες καί κινήθηκε πόλεμος μέσα στόν μοναχό γιά τήν κόρη· τήν διαφθείρει λοιπόν ἀλλά μετανιωμένος γι' αὐτό πού ἔγινε, τή σκοτώνει. Τοῦ λέει κατόπιν ὁ λογισμός: «Φόνευσε καί τόν νεαρό γιά νά μή μαρτυρήσει τό ἔγκλημα». Σκοτώνει λοιπόν καί τόν νεαρό, καί συνεχίζει ὁ λογισμός: «Πάρε τά χρήματα πού σοῦ ἐμπιστεύθηκαν καί φύγε σέ ἄλλο τόπο, γιατί θά σέ ἐνοχλήσει κάποια ὥρα αὐτός πού σοῦ τά ἐμπιστεύθηκε». Φεύγει λοιπόν σέ ἄλλη χώρα καί κτίζει ἕνα παρεκκλήσι ἀπό τά χρήματα αὐτά. Ἀλλά μόλις περατώθηκε ἡ ἐργασία, καταφθάνει ξαφνικά ὁ μετασχηματισμένος σέ στρατιώτη διάβολος καί ἀρχίζει νά κραυγάζει λέγοντας: «Βοήθεια! Βοήθεια! Αὐτός ὁ μοναχός ἀπό χρήματα δικά μου πού τοῦ εἶχα ἐμπιστευθεῖ, ἔχτισε τό κτίσμα αὐτό». Ἀλλά οἱ κάτοικοι τοῦ τόπου ἐκείνου ξεσηκώθηκαν ἐναντίον τοῦ πανούργου στρατιώτη καί τόν ἔδιωξαν ἐξευτελίζοντάς τον. Κι ἐκεῖνος ἀποθρασύνθηκε ἀπό τίς ἀπειλές καί ἔφευγε λέγοντας ὅτι θά κάνει στόν μοναχό πράγματα πού οὔτε πέρασαν ποτέ ἀπό τό μυαλό του. Ἔτσι ὑποχωρώντας ἐξαφανίσθηκε.

Ὁ μοναχός λοιπόν δέν μποροῦσε νά ἠρεμήσει νύκτα καί μέρα πολεμώντας μέ τούς λογισμούς, ἕως ὅτου ὑπερίσχυσε ὁ λογισμός νά ἐγκαταλείψει τόν τόπο λέγοντας: «Ἔφθασε ἡ ὥρα νά φανερωθοῦν ὅσα ἔκανα. Παίρνω λοιπόν λίγα ἀπό τά χρήματα πού μοῦ ἔμειναν καί φεύγω σέ πόλη μακρινή, ὅπου ὁ στρατιώτης ἐκεῖνος δέν μπορεῖ νά ἔλθει». Πηγαίνει πράγματι στήν πόλη καί συναντᾶ μιά κόρη πού ἦταν θυγα-

καὶ λαλήσας τῷ πατρὶ αὐτῆς, ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα. Μετὰ χρόνον τινὰ ἔρχεται ὁ νεωστὶ προβληθεὶς ἐπιχώριος ἄρχων· καὶ τοῦ πατρὸς τῆς κόρης τελευτήσαντος, ἐζήτησεν ἐκ τῆς τάξεως τὸν ὑπουργῆσαι ὀφείλοντα τῇ δίκῃ δήμιον. Καὶ λέγουσιν οἱ τῆς τάξεως ὅτι· Συνήθεια κεκράτηκε παρ' ἡμῖν, ἵνα ὁ λαμβάνων τὴν τοῦ τελευτήσαντος γυναῖκα ἢ θυγατέρα ἐκεῖνος ὑπεισέλθῃ τῇ τοιαύτῃ ὑπουργίᾳ, κἂν μὴ βούληται. Καί φησι πρὸς αὐτοὺς ὁ ἄρχων· Καὶ ἔστι τοιοῦτος παρ' ὑμῖν; Οἱ δέ· Ἔστι, φησίν, ὃς καὶ μοναχοῦ τάξιν ἐπέχειν δοκεῖ. Ὁ δέ φησιν· Ὑπάγετε καὶ τοῦτον ἀγάγετε πρός με.

Ἄγουσι τοίνυν αὐτὸν πρὸς τὸν ἄρχοντα. Συντίθεται καθυπουργῆσαι τῇ δίκῃ καταναγκαζόμενος. Ἐμπεσόντων δέ τινων ἐγκλήμασιν ὑπευθύνων, ἐκελεύετο ὁ ποτὲ μοναχὸς νυνὶ δὲ δήμιος —ἐὰν πιστεύητέ μοι, ἡ τῆς φύσεως συμπάθεια οὐκ ἐᾷ με ἀδακρυτὶ παρελθεῖν τὴν διήγησιν— ἐκελεύετο παρὰ τοῦ ἄρχοντος πίσσαν ἢ ἕτερον ἐπαγαγεῖν κολαστήριον τοῖς ἐξεταζομένοις. Ἐν τῷ οὖν ταῦτα ποιεῖν τὸν νέον δήμιον, ἰδοὺ ὁ Σατανᾶς ἐν σχήματι στρατιώτου παραγίνεται καὶ ἤρξατο κράζειν τοιαῦτα ὥστε καὶ λαὸν συναχθῆναι πολὺν διὰ τὰς ἐκείνου φωνὰς καὶ πρὸς ἐκδίκησιν τοῦ ἠδικημένου καταβοᾶν τοῦ ἄρχοντος. Ὑπολαβὼν οὖν ὁ ἄρχων ἔφη πρὸς τὸν στρατιώτην· Κατάστα, ἄνθρωπε, καὶ γενοῦ σαυτοῦ καὶ νουνεχῶς τὰ κατὰ σὲ ἀναδίδαξον καὶ μὴ οὕτως ἐκφώνει ὥσπερ κύων ὑλάσσων. Καὶ ὁ

τέρα κάποιου δημίου, καί ἀφοῦ μίλησε μέ τόν πατέρα της, τήν πῆρε γιά γυναίκα του. Μετά ἀπό κάποιο χρονικό διάστημα καταφθάνει ὁ νέος ἄρχοντας τοῦ τόπου, πού μόλις εἶχε διοριστεῖ. Στό μεταξύ εἶχε πεθάνει ὁ πατέρας τῆς κόρης καί ζήτησε ὁ ἄρχοντας ἀπό τούς ἐπιτελεῖς του τόν δήμιο πού ὀφείλει νά ὑπηρετεῖ στό ἔργο τῆς δικαιοσύνης. Καί αὐτοί τοῦ εἶπαν τό ἑξῆς: «Ἐδῶ σέ μᾶς ἔχει ἐπικρατήσει ἡ συνήθεια, ὅποιος παντρευθεῖ τή γυναίκα ἤ τή θυγατέρα τοῦ ἀποβιώσαντος δημίου, αὐτός νά ἀναλάβει αὐτή τήν ὑπηρεσία, ἔστω καί χωρίς τή θέλησή του». «Καί ὑπάρχει τέτοιο πρόσωπο σέ σᾶς;» τούς ρωτάει ὁ ἄρχοντας. «Ὑπάρχει —τοῦ λένε— ὁ ὁποῖος μάλιστα φαίνεται ὅτι ἀνήκει στήν τάξη τῶν μοναχῶν». «Πηγαίνετε —τούς παραγγέλλει ὁ ἄρχοντας— καί φέρτε τόν μου ἐδῶ».

Τόν ὁδηγοῦν λοιπόν στόν ἄρχοντα καί ἐκεῖνος ἀναγκασμένος ἀπό τά πράγματα συγκατατίθεται νά ὑπηρετήσει τή δικαιοσύνη. Συνέβη λοιπόν ἐκεῖνο τόν καιρό κάποιοι νά βρεθοῦν ἔνοχοι γιά ἐγκλήματα, καί ὁ κάποτε μοναχός καί αὐτή τή στιγμή δήμιος —ἄν μέ πιστεύετε, ὁ πόνος γιά τόν ἀδελφό δέν μ' ἀφήνει νά περάσω τή διήγηση χωρίς δάκρυα— διατάχθηκε ἀπό τόν ἄρχοντα νά ρίξει καυτή πίσσα ἤ σ' ἄλλο βασανιστήριο νά τούς ὑποβάλλει τήν ὥρα πού θά ἀνακρίνονται.

Καθώς ὁ νέος δήμιος ἀσχολοῦνταν μ' αὐτά, νά καί ὁ Σατανᾶς ἐμφανίζεται σάν στρατιώτης καί ἀρχίζει νά φωνάζει καί νά λέει τέτοια πράγματα πού συγκεντρώθηκε ἀπό τίς φωνές του καί κόσμος πολύς καί φώναζαν ἐναντίον τοῦ ἄρχοντα ὑπερασπιζόμενοι τόν ἀδικημένο. Παίρνει λοιπόν τόν λόγο ὁ ἄρχοντας καί λέει στόν στρατιώτη: «Ἠρέμησε, ἄνθρωπέ μου, κυριάρχησε στόν ἑαυτό σου καί παρουσίασέ μας τό πρόβλημά σου ἐξαρχῆς σάν λογικός ἄνθρωπος καί μή ξεφωνίζεις ἔτσι σάν σκυλί πού γαβγίζει». Ἀπευθύνθηκε τότε ὁ

στρατιώτης πρὸς τὸν ἄρχοντά φησιν· Ὁ δήμιος οὗτος μοναχὸς ἦν ποτε. Καὶ ὑπό τινων ἐχθρῶν καταδιωκόμενος παρεθέμην αὐτῷ χρυσίον πολύ, πρὸς δὲ καὶ παῖδα δοῦλόν μου καὶ παιδίσκην παρθένον. Καὶ κελεύσατε τὴν παραθήκην ἀναλαβεῖν με. Τοῦ δὲ ἄρχοντος ἡδέως τὴν τοῦ πράγματος διήγησιν προσδεξαμένου κέρδους ἕνεκα, ἠρώτησε τόν ποτε μοναχὸν νυνὶ δὲ δήμιον εἰ τὰ τοῦ στρατιώτου ῥήματα ἀληθῆ εἶναι δοκοῦσιν αὐτῷ. Τοῦ δὲ συνθεμένου καὶ ἀπαιτουμένου τὴν τούτων ἀποκατάστασιν, καὶ στενωθέντος περὶ τὴν ὁμολογίαν τῆς παραθήκης, ὕστερον ὡμολόγησε τὴν ἀναίρεσιν τοῦ τε παιδὸς καὶ τῆς παιδίσκης, τοῦ τε χρυσοῦ τὴν ἐξανάλωσιν. Καὶ μὴ εὑρίσκων ὁ ἄρχων τί κομίσασθαι παρ᾽ αὐτοῦ, ἐκέλευσε τὴν ἐπιθανάτιον τιμωρίαν ἐπαχθῆναι τῷ ἀθλίῳ δημίῳ.

Ἀπερχομένου δὲ αὐτοῦ ἐπὶ τὸν τοῦ τέλους τόπον, ἰδοὺ ὁ στρατιώτης καὶ κατήγορος ὑπαντᾷ αὐτῷ κατὰ τὴν ἀγορὰν καί φησι πρὸς αὐτόν· Οἶδας, ἀββᾶ, τίς εἰμι; Νομίζω —φησίν— ὅτι σὺ ὁ στρατιώτης ὑπάρχεις, ὃν ἐγνώρισα κακῶς, ὁ καὶ παραθέμενός μοι τὸν παῖδα καὶ τὴν παιδίσκην καὶ τὰ χρήματα. Ὁ δὲ πρὸς αὐτὸν ἔφη· Ἐγώ εἰμι, φησίν, ὁ Σατανᾶς ὁ τὸν πρωτόπλαστον ἀπατήσας Ἀδὰμ καὶ τοῖς ἀνθρώποις πολεμῶν καὶ μὴ συγχωρῶν ὅσον τὸ ἐπ᾽ ἐμοὶ σωθῆναί τινα ἢ γενέσθαι ὡς τὸν Ἰσαὰκ καὶ τὸν Ἰώβ· ἀλλὰ πάντας σπεύδων ποιῆσαι ὡς τὸν Ἀχιτόφελ ἐκεῖνον καὶ Ἰούδαν τὸν Ἰσκαριώτην, Κάϊν τε καὶ τοὺς ἐν Βαβυλῶνι πρεσβυτέρους καὶ πάντας τοὺς ὁμοίους αὐτῶν. Ἄπιθι οὖν καὶ σὺ τὸν δόλον ὑπομείνας παρ᾽ ἐμοῦ· καὶ μὴ μεμα-

45. Β΄ Βασ. 15, 31 κέ. Ὁ Ἀχιτόφελ ἦταν ἕνας ἀπό τούς ἔμπιστους συμβούλους τοῦ Δαβίδ, ὁ ὁποῖος ὅμως στή στάση τοῦ Ἀβεσσαλώμ συντάχθηκε μέ τό μέρος του καί τοῦ παρεῖχε σατανικές συμβουλές γιά νά ἐπιτύχει εὐκολότερα τήν ἐξόντωση τοῦ Δαβίδ. Βλέποντας ὅμως τό ἐπαναστατικό του σχέδιο νά ἀποτυγχάνει καί ὑποψιαζόμενος κίνδυνο κατά τῆς ζωῆς του, τήν τερμάτισε ὁ ἴδιος ἀπαγχονιζόμενος (Β΄ Βασ. 17, 23).

στρατιώτης στόν ἄρχοντα καί εἶπε: «Ὁ δήμιος αὐτός ἦταν μοναχός κάποτε. Ἐγώ κυνηγημένος ἀπό κάποιους ἐχθρούς τοῦ ἐμπιστεύθηκα πολύ χρυσό, ὅπως ἐπίσης καί ἕναν νεαρό πού ἦταν ὑπηρέτης μου καί μιά νεαρή κόρη. Δῶστε λοιπόν ἐντολή νά πάρω πίσω αὐτά πού τοῦ ἐμπιστεύθηκα». Ὁ ἄρχοντας ἄκουσε μέ εὐχαρίστηση τήν παρουσίαση τοῦ θέματος, γιατί ἀπέβλεπε στά κέρδη, καί ρώτησε τόν κάποτε μοναχό καί τώρα δήμιο ἐάν θεωρεῖ ἀληθινά ὅσα εἶπε ὁ στρατιώτης.

Καθώς λοιπόν τά παραδέχθηκε καί τοῦ ζητοῦσαν νά τά ἀποκαταστήσει, ἦλθε σέ δύσκολη θέση, γιά τήν ἀπόδοση αὐτῶν πού τοῦ εἶχε ἐμπιστευθεῖ. Ἔτσι ὁμολόγησε ὅτι φόνευσε καί τόν νεαρό καί τήν κόρη καί ὅτι ξόδευσε καί τά χρήματα. Σάν εἶδε ὁ ἄρχοντας ὅτι δέν εἶχε τίποτα νά κερδίσει ἀπ᾽ αὐτόν, ἔδωσε ἐντολή νά τιμωρήσουν τόν ἄθλιο δήμιο μέ τή θανατική ποινή.

Τήν ὥρα λοιπόν πού βάδιζε πρός τόν τόπο τῆς ἐκτελέσεως, νά κι ὁ στρατιώτης καί κατήγορός του τόν ἀνταμώνει στήν ἀγορά καί τοῦ λέει: «Κατάλαβες, ἀββᾶ, ποιός εἶμαι;» «Νομίζω —ἀποκρίνεται— ἐσύ εἶσαι ὁ στρατιώτης· κακιά ἡ ὥρα πού σέ γνώρισα· ἐσύ πού μοῦ ἄφησες μάλιστα νά φυλάξω τόν νεαρό, τήν κόρη καί τά χρήματα». «Ἐγώ εἶμαι ὁ Σατανᾶς —τόν διαβεβαιώνει ἐκεῖνος— πού ἐξαπάτησα τόν πρωτόπλαστο Ἀδάμ καί πολεμῶ τούς ἀνθρώπους καί δέν ἐπιτρέπω, ὅσο ἐξαρτᾶται ἀπό μένα, νά σωθεῖ κάποιος ἤ νά μοιάσει τόν Ἰσαάκ καί τόν Ἰώβ. Ἀλλά ὅλους κυνηγῶ νά τούς κάνω σάν τόν Ἀχιτόφελ[45] τόν διαβόητο, σάν τόν Ἰούδα τόν Ἰσκαριώτη[46], τόν Κάϊν[47] καί τούς πρεσβυτέρους στή Βαβυλώνα[48] καί σάν ὅλους τούς ὁμοίους τους. Πήγαινε λοιπόν καί σύ, ἀφοῦ ἔπεσες στήν παγίδα πού σοῦ ἔστησα. Καί χω-

46. Ματθ. 27, 35. 47. Γεν. 4, 1-11. 48. Δαν. Σωσάννα 1-64.

θηκὼς πολεμεῖν τὸν ἀόρατον πόλεμον, μὴ ἀλαζονεύου θρασυνόμενος ὑπὲρ ἐκ περισσοῦ παλαίειν καὶ ἵστασθαι. Καὶ ἐπὶ τοῦ Ἰὼβ δὲ ἐκείνου, οὐδὲν τῆς τέχνης παρέλιπον τῆς πολεμικῆς ταύτης τῆς παρ' ἐμοῦ πάντοτε τοῖς ἀνθρώποις κινουμένης. Καὶ ταῦτα εἰπὼν καὶ τούτων πλείονα, γέγονεν ἄφαντος.

Καὶ ὑπέμεινεν ὁ ἄθλιος μοναχὸς τὸν διὰ τῆς ἀγχόνης θάνατον, ὑπὸ τοῦ δαίμονος χλευασθεὶς διὰ τὴν αὐτοῦ ὑψηλοφροσύνην. Καὶ ἡμεῖς τοίνυν φυλαξώμεθα, τὰ ὑπὲρ ἡμᾶς αἰτούμενοι παρὰ τοῦ Θεοῦ, καὶ μὴ συντάσσεσθαι ποιεῖν ἅπερ εἰς ἔργον μὴ ἀγαγεῖν ἰσχύομεν. Καλὸν δὲ μᾶλλον τὴν βασιλικὴν ὁδεύειν ὁδόν, δι' ἧς δυνησόμεθα μὴ ἐκκλίνοντες δεξιὰ ἢ ἀριστερὰ σωθῆναι ἐκ τοῦ ἐνεστῶτος πονηροῦ αἰῶνος, ἔχοντες τὴν εἰς πάντα ταπεινοφροσύνην.

115. Διηγεῖτο μαθητὴς μεγάλου Γέροντος ὅτι ποτὲ ὁδευόντων ἡμῶν κατὰ μικρὸν ἵστατο ὁ Γέρων. Καὶ εἶπον αὐτῷ· Ἀββᾶ, ἔλασον ὀλίγον. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀκούω σου. Καὶ εἶπον· Διὰ τί, ἀββᾶ; Καὶ εἶπεν· Οἱ ἄγγελοι ψάλλουσιν εἰς τὸν οὐρανόν. Χρὴ οὖν νήφειν καὶ ἡμᾶς· καὶ γὰρ ὁ ἀββᾶς Ἀντώνιος εἶπεν ὅτι μοναχὸν οὐ δεῖ ἄλλου φροντίζειν τινος, εἰ μὴ τῆς σωτηρίας τῆς ψυχῆς αὐτοῦ.

116. Εἶπε Γέρων· Ἀπὸ μικροῦ ἕως μεγάλου ὧν πράττω, ἐννοῶ εἰς τὸν καρπὸν αὐτῶν τί τέξονται· εἴτε ἐν τοῖς λογισμοῖς, εἴτε ἐν ταῖς πράξεσιν.

49. Βασιλική ὁδός: Ὅρος προσφιλής στήν ἐκκλησιαστική γραμματεία πού δηλώνει τή μεσότητα, μακριά ἀπό ἀκρότητες καί ὑπερβολές πρός τό μεῖζον ἤ

ρίς νά 'χεις μάθει τήν τέχνη τοῦ ἀόρατου πολέμου, μήν ἀλαζονεύεσαι καί ξεθαρρεύεις γιά παλαίσματα καί ἐπιδιώξεις πού ξεπερνοῦν τά μέτρα σου. Καί στόν ἴδιο τόν Ἰώβ δέν παρέλειψα τίποτε ἀπό τήν πολεμική μου τέχνη, πού ἐξαπολύω πάντοτε ἐναντίον τῶν ἀνθρώπων». Ἀφοῦ εἶπε αὐτά καί ἄλλα πολλά, ἐξαφανίσθηκε.

Ἔτσι ὑπέστη ὁ ἄθλιος μοναχός τόν θάνατο πάνω στήν ἀγχόνη, γιατί ἐμπαίχθηκε ἀπό τόν διάβολο ἐξαιτίας τῆς ὑψηλοφροσύνης του. Καί ἐμεῖς λοιπόν προσοχή νά μή ζητᾶμε ἀπό τόν Θεό αὐτά πού εἶναι πάνω ἀπό τά μέτρα μας καί νά μήν ἀποφασίζουμε νά κάνουμε ὅσα δέν ἔχουμε τή δύναμη νά τά πραγματοποιήσουμε. Εἶναι ἀσφαλέστερο νά βαδίζουμε τή βασιλική ὁδό[49], ὅπου θά μπορέσουμε, κρατώντας τήν ταπεινοφροσύνη σέ ὅλες τίς περιπτώσεις, νά σωθοῦμε ἀπό τόν παρόντα πονηρό αἰώνα χωρίς νά ξεκλίνουμε δεξιά ἤ ἀριστερά.

115. Διηγοῦνταν μαθητής μεγάλου Γέροντος τό ἑξῆς: Κάποια φορά πού βαδίζαμε, ὁ Γέροντας κάθε λίγο σταματοῦσε. Καί τοῦ εἶπα: «Ἀββᾶ, προχώρα λίγο». «Δέν θά σ' ἀκούσω» μοῦ ἀποκρίθηκε. «Γιατί, ἀββᾶ;» τόν ρώτησα. Καί μοῦ εἶπε: «Οἱ ἄγγελοι ψάλλουν στόν οὐρανό. Πρέπει κι ἐμεῖς νά ἐπαγρυπνοῦμε. Ὁ ἀββᾶς Ἀντώνιος μάλιστα εἶπε ὅτι ὁ μοναχός δέν πρέπει γιά τίποτε ἄλλο νά φροντίζει παρά γιά τή σωτηρία τῆς ψυχῆς του».

116. Εἶπε Γέροντας: «Γιά ὅ,τι κάνω ἀπό τά μικρά ὥς τά μεγάλα, εἴτε ἀφοροῦν τούς λογισμούς εἴτε τίς πράξεις, σκέπτομαι ποιός θά εἶναι ὁ καρπός τους».

πρός τό ἔλαττον. Βλ. Ι ὑποσημ. 74 σελ. 108.

117. Δύο φιλόσοφοι παρέβαλον Γέροντι καὶ ἐπηρώτησαν αὐτὸν εἰπεῖν αὐτοῖς λόγον ὠφελείας. Ὁ δὲ Γέρων ἐσιώπα. Πάλιν οἱ φιλόσοφοι εἶπον· Οὐδὲν ἡμῖν ἀποκρίνῃ, πάτερ; Τότε ὁ Γέρων εἶπεν αὐτοῖς· Ὅτι μὲν φιλόσοφοί ἐστε, οἶδα· ὅτι δὲ οὐκ ἀληθεῖς φιλόσοφοι, μαρτυρῶ. Μέχρις οὖν πότε μανθάνετε λαλεῖν οὐκ εἰδότες; γενέσθω οὖν ἡ φιλοσοφία ὑμῶν τοῦ ἀεὶ μελετᾶν τὸν θάνατον, καὶ τῇ σιωπῇ καὶ τῇ ἡσυχίᾳ ἑαυτοὺς φυλάττετε.

118. Εἶπε Γέρων· Μοναχὸς μετὰ τὸ ἀποτάξασθαι αὐτόν, ἐκδοὺς ἑαυτὸν εἰς τὸν περισπασμὸν καὶ μόχθον τοῦ δυστήνου βίου τούτου καὶ εἰς τὸ δοῦναι καὶ λαβεῖν, ὅμοιός ἐστι πτωχῷ ἐνδεεῖ λιπομένῳ πᾶσαν χρείαν βιωτικήν. Εἶτα ἀπὸ πολλῆς ῥαθυμίας κενεμβατῶν καὶ λογιζόμενος πῶς τραφῇ καὶ ἐνδύσηται, τῷ ὕπνῳ ἑαυτὸν ἐκδέδωκεν. Καὶ ὁρᾷ καθ' ὕπνους ἑαυτὸν πλούσιον ἀποβεβληκότα τοὺς ῥυπαροὺς χιτῶνας καὶ ἐνδεδυμένον ἱμάτια λαμπρά. Καὶ ἐκ τῆς περιχαρίας ἐξυπνισθεὶς εὗρε τὴν ἐν χερσὶ πενίαν.

Οὕτως ὁ μοναχὸς ἐὰν μὴ νήφῃ, ἀλλὰ δαπανᾷ τὰς ἡμέρας αὐτοῦ ἐν περισπασμῷ χλευαζόμενος ὑπὸ τῶν λογισμῶν καὶ ἀπατούμενος ὑπὸ τῶν δαιμόνων τῶν ἐμπαιζόντων αὐτὸν ὅτι διὰ Θεόν ἐστιν ὁ περισπασμὸς καὶ ὁ μόχθος αὐτοῦ. Καὶ ἐν ὥρᾳ τοῦ χωρισμοῦ τῆς ψυχῆς αὐτοῦ ἐκ τοῦ σώματος εὑρίσκει ἑαυτὸν ἐνδεῆ καὶ πτωχὸν καὶ πένητα λιπόμενον πάσης ἀρετῆς. Καὶ τότε νοήσει πόσων ἀγαθῶν χορηγὸς τὸ νήφειν καὶ προσέχειν ἑαυτῷ, πόσων δὲ κολάσεων ὁ περισπασμὸς τοῦ βίου ὑπάρχει.

117. Δυό φιλόσοφοι ἐπισκέφθηκαν κάποιον Γέροντα καί τοῦ ζήτησαν νά τούς πεῖ ὠφέλιμα λόγια. Ὁ Γέροντας ὅμως ἔμενε σιωπηλός. Πάλι οἱ φιλόσοφοι τοῦ λένε: «Δέν μᾶς λές τίποτε, πάτερ;» Τότε ὁ Γέροντας τούς εἶπε: «Ὅτι εἶσθε φιλόσοφοι βέβαια τό γνωρίζω· ὅτι ὅμως δέν εἶσθε πραγματικοί φιλόσοφοι τό βεβαιώνω. Μέχρι πότε, ἀλήθεια, θά μαθαίνετε νά βγάζετε λόγους ἐνῶ βρίσκεσθε σέ ἄγνοια; Ἄς μεταστραφεῖ λοιπόν ἡ φιλοσοφία σας σέ παντοτεινή μελέτη τοῦ θανάτου, καί μέ τή σιωπή καί τήν ἡσυχία νά προστατεύετε τόν ἑαυτό σας».

118. Εἶπε Γέροντας: «Ὁ μοναχός πού μετά τήν ἀπάρνηση τοῦ κόσμου θά παραδοθεῖ στόν περισπασμό καί στόν μόχθο αὐτῆς ἐδῶ τῆς ταλαίπωρης ζωῆς καί σέ δοσοληψίες, μοιάζει μέ τόν φτωχότατο ἄνθρωπο πού τοῦ λείπουν ὅλα τά μέσα τῆς ζωῆς· καί ἀπό τήν πολλή του τεμπελιά ὀνειροπολεῖ καί σκέφτεται πῶς νά τραφεῖ καί νά ἐνδυθεῖ καί παραδίνεται στόν ὕπνο. Βλέπει λοιπόν στό ὄνειρό του ὅτι εἶναι πλούσιος καί ὅτι ἔχει πετάξει τούς βρώμικους χιτῶνες καί εἶναι ντυμένος μέ πολυτελῆ ἐνδύματα. Καί ἀπό τήν πολλή του χαρά ξυπνάει καί διαπιστώνει πάλι τή φτώχεια του.

Ἔτσι εἶναι καί ὁ μοναχός· ἐάν δέν ἐπαγρυπνεῖ, ἀλλά ξοδεύει τίς μέρες του μέ περισπασμό, καθώς ἐμπαίζεται ἀπό τούς λογισμούς του καί ἐξαπατᾶται ἀπό τούς δαίμονες, οἱ ὁποῖοι τόν κοροϊδεύουν ὅτι γιά τόν Θεό εἶναι ὁ περισπασμός καί ὁ μόχθος του. Καί ὅταν φθάσει ἡ ὥρα τοῦ χωρισμοῦ τῆς ψυχῆς ἀπό τό σῶμα, θά βρεῖ ἕναν ἑαυτό φτωχό φτωχότατο πού τοῦ λείπει κάθε ἀρετή. Καί τότε θά ἀντιληφθεῖ πόσα ἀγαθά χορηγεῖ ἡ νήψη[50] καί ἡ προσοχή στόν ἑαυτό μας, καί πόση κόλαση παρέχει ὁ περισπασμός τοῦ βίου».

50. Βλ. Ι ὑποσημ. 43 σελ. 78.

119. Εἶπε Γέρων· Ἐνθυμοῦ τὰ καλὰ πάντοτε, ἵνα καὶ πράττῃς αὐτά. Ἔννοια γὰρ ἀνθρώπου οὐ λανθάνει Θεόν. Ἔστω σου ἡ διάνοια καθαρὰ ἀπὸ παντὸς κακοῦ.

120. Εἶπε πάλιν· Νήψωμεν, ἀδελφοί, ἐν τῇ ὥρᾳ τοῦ πολέμου μὴ χαυνωθῶμεν εἰς μελέτην πονηρῶν, μὴ εὕρῃ λογισμὸς πονηρὸς εἴσοδον ἐν τῇ ψυχῇ ἡμῶν.

121. Εἶπε πάλιν· Ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων ἀγαθῶν καὶ παρασκευασθῶμεν πρὸς τὴν ἔξοδον καὶ μὴ μάτην τὸν χρόνον ἑαυτῶν ἀναλώσωμεν.

Τέλος τῆς πραγματείας
περὶ τοῦ δεῖν πάντοτε νήφειν.



Ἡ πηγή τῆς Παρθένου στή Ναζαρέτ

119. Εἶπε Γέροντας: «Νά σκέφτεσαι πάντοτε τά καλά, γιά νά τά κάνεις καί πράξη. Καμιά σκέψη τοῦ ἀνθρώπου δέν ξεφεύγει ἀπό τόν Θεό. Νά κρατᾶς τόν νοῦ σου καθαρό ἀπό κάθε κακό».

120. Εἶπε πάλι: «Ἄς ἐπαγρυπνοῦμε, ἀδελφοί, τήν ὥρα τοῦ πειρασμοῦ νά μήν ἀποχαυνωθοῦμε καί μελετοῦμε τά πονηρά πράγματα, μή βρεῖ πονηρός λογισμός πόρτα ἀνοικτή στήν ψυχή μας».

121. Εἶπε ἐπίσης: «Ἄς ἀγωνισθοῦμε χάριν τῶν μελλοντικῶν ἀγαθῶν καί ἄς ἑτοιμασθοῦμε γιά τήν ἔξοδό μας ἀπό τόν κόσμο καί μήν ξοδεύουμε μάταια τόν χρόνο μας».

Τέλος τῆς πραγματείας γιά τήν
παντοτεινή ἀνάγκη τῆς νήψεως.






ΚΕΦΑΛΑΙΟ
ΙΒ΄

«Ἔσοπτρόν ἐστι τοῦ μοναχοῦ ἡ εὐχή».

(Ἀπόφθ. 30)



Περὶ τοῦ ἀδιαλείπτως καὶ νηφόντως προσεύχεσθαι



δελφὸς παρέβαλε τῷ ἀββᾷ Ἀντωνίῳ καὶ εἶπεν αὐτῷ ῥῆμα τοῦ Λευϊτικοῦ. Ἐξῆλθεν οὖν ὁ Γέρων εἰς τὴν ἔρημον καὶ ἠκολούθησεν αὐτῷ ὁ ἀββᾶς Ἀμμωνᾶς κρυφῇ, εἰδὼς τὴν συνήθειαν αὐτοῦ· καὶ μακρύνας πολὺ ὁ Γέρων, στὰς εἰς προσευχὴν ἔκραξε λέγων· Ὁ Θεός, ἀπόστειλον τὸν Μωυσῆν καὶ δίδαξόν με τὸ ῥῆμα τοῦτο. Καὶ ἦλθεν αὐτῷ φωνὴ λαλοῦσα μετ' αὐτοῦ.

Εἶπεν οὖν ὁ ἀββᾶς Ἀμμωνᾶς ὅτι τῆς μὲν φωνῆς ἤκουσα τῆς λαλούσης μετ' αὐτοῦ, τὴν δὲ δύναμιν τοῦ λόγου οὐκ ἔμαθον.

2. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀρσενίου ὅτι ὀψὲ Σαββάτων ἐπιφωσκούσης Κυριακῆς ἠφίει τὸν ἥλιον ὀπίσω αὐτοῦ καὶ ἔτεινε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν εὐχόμενος, ἕως οὗ πάλιν ἔλαμψεν ὁ ἥλιος εἰς τὸ πρόσωπον αὐτοῦ καὶ οὕτως ἐκαθέζετο.

1. Μέ τήν χαρακτηριστική εἰκόνα πού δίνει ἐδῶ ὁ ἀββᾶς Ἀμμωνᾶς ἐντοπίζει τήν προσήλωση τοῦ ἀββᾶ Ἀρσενίου στόν Θεό χρονικά, ἀπό τή δύση μέχρι τήν ἀνατολή, τοπικά καί τροπικά τή στάση του πρός ἀνατολάς πού ἦταν κανόνας, καί τόν χαρακτήρα τῆς προσευχῆς «ἔτεινε τὰς χεῖρας» ὥς τήν αὐγή,



Γιά τήν ἀδιάλειπτη καί νηφάλια προσευχή



νας ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Ἀντώνιο* καί τοῦ ἀνέφερε κάποιο χωρίο ἀπό τό Λευϊτικό. Βγῆκε κατόπιν ὁ Γέροντας στήν ἔρημο καί τόν ἀκολούθησε κρυφά ὁ ἀββᾶς Ἀμμωνᾶς, πού γνώριζε καλά τή συνήθειά του. Ἀφοῦ ἀπομακρύνθηκε πολύ ὁ Γέροντας, πῆρε στάση προσευχῆς καί κραύγασε λέγοντας: «Θεέ μου, στεῖλε μου τόν Μωυσῆ καί φανέρωσέ μου τό νόημα τοῦ λόγου αὐτοῦ». Καί ἀκούσθηκε μιά φωνή νά μιλάει μαζί του.

Καί εἶπε ὁ ἀββᾶς Ἀμμωνᾶς*: «Τή φωνή πού μιλοῦσε μαζί του τήν ἄκουσα, τό νόημα ὅμως τῶν λόγων δέν ἦταν κατανοητό σέ μένα».

2. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀρσένιο* ὅτι ἀργά τά Σάββατα, καθώς ἀκολουθοῦσε ἡ Κυριακή, ἄφηνε τόν ἥλιο πού ἔδυε πίσω του καί ὕψωνε τά χέρια του στόν οὐρανό προσευχόμενος μέχρι τήν ὥρα πού ὁ ἥλιος ἔστελνε τίς φωτεινές του ἀκτίνες στό πρόσωπό του[1] καί τότε καθόταν[2].

πράγμα τό ὁποῖο συνεπάγεται κατάσταση συναρπαγῆς στή θεωρία τοῦ Θεοῦ. Βλ. Ι ὑποσημ. 115β σελ. 162.

2. Ἡ λ. καθόταν χρησιμοποιεῖται μέ τήν μοναχική ἔννοια. Βλ. Ι ὑποσημ. 88 σελ. 125.

3. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ἀγάθωνα λέγων· Ποία ἀρετή ἐστι, πάτερ, ἐν ταῖς πολιτείαις ἔχουσα πλέον κάματον; Λέγει αὐτῷ· Συγχώρησόν μοι· λογίζομαι ὅτι οὐκ ἔστιν ἕτερος κάματος ὡς τὸ εὔξασθαι τῷ Θεῷ. Καὶ πᾶσαν δὲ πολιτείαν ἣν ἂν μετέλθῃ ἄνθρωπος ἐγκαρτερῶν ἐν αὐτῇ κτᾶται ἀνάπαυσιν. Τὸ δὲ εὔξασθαι, ἕως ἐσχάτης ἀναπνοῆς ἀγῶνος χρῄζει. Ἐπειδὴ πάντοτε, ὅταν θέλῃ εὔξασθαι ἄνθρωπος τῷ Θεῷ, βούλονται οἱ ἐχθροὶ ἐκκόψαι αὐτόν· οἴδασι γὰρ ὅτι οὐδαμόθεν ἐμποδίζονται εἰ μὴ ἀπὸ τοῦ εὔξασθαι. Καὶ διὰ τοῦτο ἀγῶνος μεγάλου ἕως τέλους χρῄζει.

4. Διηγήσατο ὁ ἀββᾶς Δουλᾶς, ὁ μαθητὴς τοῦ ἀββᾶ Βησσαρίωνος ὅτι· Ἦλθον εἰς τὸ κελλίον αὐτοῦ καὶ εὗρον αὐτὸν ἑστῶτα εἰς εὐχὴν καὶ αἱ χεῖρες αὐτοῦ ἐκτεταμέναι εἰς τὸν οὐρανόν· ἔμεινε δὲ ἐπὶ δεκατέσσαρας ἡμέρας τοῦτο ποιῶν· καὶ μετὰ τοῦτο ἐφώνησέ με καὶ εἶπέ μοι· Ἀκολούθει μοι. Καὶ ἐξελθόντες ἐπορεύθημεν εἰς τὴν ἔρημον καὶ διψήσας εἶπον· Ἀββᾶ, διψῶ. Καὶ λαβὼν ὁ Γέρων τὸ μηλωτάριόν μου, ἀπῆλθεν ὡσεὶ λίθου βολήν· καὶ ποιήσας εὐχήν, ἤνεγκέ μοι αὐτὸ μεστὸν ὕδατος. Περιπατοῦντες δὲ ἤλθομεν κατά τινος σπηλαίου. Καὶ εἰσελθόντες εὕρομέν τινα ἀδελφὸν καθεζόμενον καὶ ἐργαζόμενον σειρὰν καὶ μὴ ἀνανεύοντα πρὸς ἡμᾶς, μήτε ἀσπαζόμενον μήτε ὅλως θέλοντα συνᾶραι λόγον μεθ' ἡμῶν. Καὶ λέγει μοι ὁ Γέρων· Ἄγωμεν ἐντεῦθεν· τάχα οὐ πληροφορεῖται ὁ Γέρων λαλῆσαι ἡμῖν.

Καὶ ὡδεύσαμεν εἰς τὴν Λυκῶ, ἕως ἤλθομεν εἰς τὸν ἀββᾶν Ἰωάννην καὶ ἀσπασάμενοι αὐτὸν ἐποιήσαμεν εὐχήν. Εἶτα ἐκάθησε λαλεῖν περὶ τῆς θεωρίας ἧς εἶδε. Καὶ εἶπεν ὁ ἀββᾶς


3. Σειρά: Βλ. Ι ὑποσημ. 138 σελ. 202.

3. Ρώτησε ἀδελφός τόν ἀββᾶ Ἀγάθωνα: «Πάτερ, ποιά ἀρετή εἶναι στήν ἀσκητική ζωή πού ἔχει μεγαλύτερο κόπο;» Καί τοῦ λέει: «Συγχώρεσέ με· νομίζω πώς δέν ὑπάρχει ἄλλος κόπος σάν τήν προσευχή πρός τόν Θεό. Ὅποιον τρόπο ἀσκήσεως κι ἄν ἐφαρμόσει ὁ ἄνθρωπος, μένοντας καρτερικά σ' αὐτόν θά βρεῖ ἀνάπαυση. Ἐνῶ γιά τήν προσευχή μέχρι τήν τελευταία μας ἀναπνοή χρειάζεται ἀγώνας. Ἐπειδή πάντοτε, ὅταν θέλει ὁ ἄνθρωπος νά προσευχηθεῖ, ἐπιδίωξη τῶν δαιμόνων εἶναι νά τόν ἐμποδίσουν· γιατί γνωρίζουν καλά ὅτι τίποτε ἄλλο δέν τούς ἀνακόπτει, παρά μόνο ἡ προσευχή. Καί γι' αὐτό χρειάζεται μεγάλος ἀγώνας ὥς τό τέλος».

4. Διηγήθηκε ὁ ἀββᾶς Δουλᾶς, ὁ μαθητής τοῦ ἀββᾶ Βησσαρίωνα, τά ἑξῆς: Πῆγα στό κελί του καί τόν βρῆκα σέ στάση προσευχῆς μέ τά χέρια ὑψωμένα στόν οὐρανό· καί ἔμεινε στή στάση αὐτή δεκατέσσερες ἡμέρες. Κατόπιν μέ φώναξε καί μοῦ εἶπε: «Ἀκολούθα με».

Βγήκαμε λοιπόν καί βαδίζαμε στήν ἔρημο. Κάποια στιγμή δίψασα καί εἶπα: «Ἀββᾶ, διψῶ». Πῆρε ἀμέσως ὁ Γέροντας τήν προβιά μου καί ἀπομακρύνθηκε σέ ἀπόσταση πετροβολιᾶς. Ἐκεῖ ἔκανε προσευχή καί μοῦ τήν ἔφερε γεμάτη νερό. Καθώς βαδίζαμε κατόπιν, φθάσαμε ἀπέναντι ἀπό κάποια σπηλιά. Μπήκαμε μέσα καί βρήκαμε ἕναν ἀδελφό καθισμένο πού δούλευε τή σειρά[2] καί δέν σήκωσε τά μάτια νά μᾶς δεῖ, οὔτε μᾶς χαιρέτησε καί γενικά δέν ἔκανε καμία κίνηση νά ἐπικοινωνήσει μαζί μας. Καί ὁ Γέροντας μοῦ εἶπε: «Ἄς φύγουμε. Ἴσως δέν ἔχει πληροφορία ὁ Γέροντας γιά νά μᾶς μιλήσει».

Συνεχίσαμε τόν δρόμο μας γιά τήν Λυκώ καί φθάσαμε στόν ἀββᾶ Ἰωάννη*. Τόν ἀσπασθήκαμε, κάναμε τήν καθιερωμένη προσευχή καί ὕστερα κάθισε καί μᾶς μίλησε γιά τό ὅραμα πού εἶδε. Καί ὁ ἀββᾶς Βησσαρίων* τόν ἐνημέρωσε ὅτι



Ὁ ναός τῆς Ἀναστάσεως στήν Ἰερουσαλήμ

Βησσαρίων ὅτι ἀπόφασις ἐδόθη, ἵνα καθαιρεθῇ τὰ ἱερά. Ἐγένετο δὲ οὕτω καὶ καθῃρέθησαν.

Ἐν δὲ τῷ ὑποστρέφειν ἡμᾶς, ἤλθομεν πάλιν κατὰ τοῦ σπηλαίου, ὅπου εἴδομεν τὸν ἀδελφόν, καὶ λέγει μοι ὁ Γέρων· Εἰσέλθωμεν ἰδεῖν αὐτόν. Καὶ εἰσελθόντες εὕρομεν αὐτὸν τελειωθέντα καὶ λέγει μοι· Δεῦρο ἀδελφέ, συστείλωμεν τὸ σῶμα αὐτοῦ· εἰς γὰρ τοῦτο αὐτὸ ἔπεμψεν ἡμᾶς ὁ Θεὸς ὧδε. Συστελλόντων δὲ ἡμῶν εἰς τὸ θάψαι αὐτό, εὕρομεν ὅτι γυνὴ ἦν τῇ φύσει. Καὶ ἐθαύμασεν ὁ Γέρων καὶ εἶπεν· Ἴδε πῶς καὶ γυναῖκες καταπαλαίουσι τὸν Σατανᾶν, καὶ ἡμεῖς ἐν ταῖς πόλεσιν ἀσχημονοῦμεν. Καὶ δοξάσαντες τὸν Θεόν, τὸν ὑπερασπιστὴν τῶν ἀγαπώντων αὐτόν, ἀνεχωρήσαμεν ἐκεῖθεν.

5. Ἐδηλώθη τῷ μακαρίῳ Ἐπιφανίῳ, τῷ ἐπισκόπῳ Κύπρου, παρὰ τοῦ ἀββᾶ τῆς μονῆς ἧς εἶχεν ἐν Παλαιστίνῃ ὅτι· Εὐχαῖς σου οὐκ ἠμελήσαμεν τοῦ κανόνος ἡμῶν, ἀλλὰ μετὰ σπουδῆς καὶ τὴν τρίτην καὶ τὴν ἕκτην καὶ τὴν ἐνάτην ἐπιτελοῦμεν. Ὁ δὲ καταγνοὺς αὐτοῦ, ἐδήλωσεν αὐτῷ λέγων, ὅτι· Φανεροί ἐστε ἀμελοῦντες τὰς ἄλλας ὥρας τῆς ἡμέρας ἀργοῦντες ἀπὸ τῆς εὐχῆς. Δεῖ γὰρ τὸν ἀληθῆ μοναχὸν ἀδιαλείπτως ἔχειν τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν ἐν τῇ καρδίᾳ αὐτοῦ.

6. Ὁ αὐτὸς ἔλεγεν ὅτι Δαβὶδ ὁ προφήτης ἐν ἀωρίᾳ ηὔχετο, μεσονύκτιον ἐξηγείρετο, πρὸ τοῦ ὄρθρου παρίστατο, πρω-

4. Ὁ ἀββᾶς Ἰωάννης κάνει λόγο γιά τή θεϊκή ὀπτασία πού εἶχε, προφητική προφανῶς γιά τά εἰδωλολατρικά ἱερά, καί ὁ ἀββᾶς Βησσαρίων τόν πληροφορεῖ ὅτι ἐκδόθηκε ἀπόφαση γιά τήν καθαίρεση τῶν ἱερῶν. Ὅπως γνωρίζουμε ὁ ἀββᾶς Βησσαρίων εἶχε ἐνθαρρύνει τήν καθαίρεσή τους.

βγῆκε ἀπόφαση νά γκρεμισθοῦν οἱ εἰδωλολατρικοί ναοί. Καί ἔγινε ἔτσι· οἱ ναοί γκρεμίσθηκαν[4].

Στήν ἐπιστροφή μας φθάσαμε πάλι στήν περιοχή τῆς σπηλιᾶς, ὅπου εἴδαμε τόν ἀδελφό, καί μοῦ λέει ὁ Γέροντας: «Ἄς μποῦμε νά τόν δοῦμε». Μπήκαμε καί τόν βρήκαμε νεκρό, καί μοῦ λέει ὁ Γέροντας: «Ἔλα, ἀδελφέ, νά τακτοποιήσουμε τό σῶμα του· γι' αὐτό ἀκριβῶς μᾶς ἔστειλε ἐδῶ ὁ Θεός». Καί καθώς τό ἑτοιμάζαμε γιά τήν ταφή, διαπιστώσαμε ὅτι ἦταν γυναίκα.

Θαύμασε ὁ Γέροντας καί εἶπε: «Δές πῶς καί οἱ γυναῖκες κατατροπώνουν τόν Σατανᾶ, καί ἐμεῖς κάνουμε στίς πόλεις πράγματα πού μᾶς ντροπιάζουν».

Δοξολογήσαμε τόν Θεό πού προστατεύει ἐκείνους πού τόν ἀγαποῦν καί φύγαμε.

5. Δήλωσε στόν μακαριστό Ἐπιφάνιο*, τόν ἐπίσκοπο τῆς Κύπρου, ὁ ἀββᾶς τῆς μονῆς πού εἶχε στήν Παλαιστίνη, τό ἑξῆς: «Μέ τίς εὐχές σου δέν παραμελήσαμε τόν κανόνα μας, ἀλλά μέ ζῆλο κάνουμε καί τήν τρίτη καί τήν ἕκτη καί τήν ἐνάτη ὥρα». Κι ἐκεῖνος ἐλέγχοντάς τον τοῦ δήλωσε: «Γίνεται φανερό ἀπό τά λόγια σας ὅτι εἶστε ἀμελεῖς, ἀφοῦ τίς ὑπόλοιπες ὧρες τῆς ἡμέρας ἀπέχετε ἀπό τήν προσευχή. Γιατί ὁ πραγματικός μοναχός πρέπει ἀκατάπαυστα νά ἔχει στήν καρδιά του τήν προσευχή καί τήν ψαλμωδία»[5].

6. Ὁ ἴδιος ἔλεγε ὅτι ὁ προφήτης Δαβίδ προσευχόταν πάρωρα[6]· τά μεσάνυχτα σηκωνόταν[7], πρίν ξημερώσει στεκόταν πάλι γιά προσευχή, τά πρωινά παρακαλοῦσε, μεσημέρι

5. Πρβλ. Α' Θεσ. 5, 17.

6. Ἐκτός κανονικῆς ὥρας, ἀργά. Βλ. Ψαλμ. 118, 147-8.

7. Ψαλμ. 118, 62.

ίας ἐδέετο, ἑσπέρας καὶ μεσημβρίας ἱκέτευε. Καὶ διὰ τοῦτο ἔλεγεν· Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε.

7. Εἶπεν ὁ ἀββᾶς Εὐάγριος· Μέγα ἐστὶν τὸ ἀπερισπάστως προσεύχεσθαι, μεῖζον δὲ τὸ ψάλλειν ἀπερισπάστως.

8. Εἶπε πάλιν· Ὅταν ἀθυμῇς προσεύχου, καθὼς γέγραπται. Προσεύχου δὲ μετὰ φόβου καὶ τρόμου νηφαλέως καὶ ἐγρηγορότως· οὕτω γὰρ προσεύχεσθαι δεῖ, μάλιστα διὰ τοὺς κακοτρόπους καὶ κακοσχόλους τοὺς ἐπηρεάζειν ἡμᾶς θέλοντας ἐν τούτῳ ἀοράτους ἐχθρούς.

9. Εἶπε πάλιν· Ὅταν λογισμὸς ἐπιστῇ τῇ καρδίᾳ πολέμιος μὴ ἄλλα ἀντ' ἄλλων δι' εὐχῆς ἐπιζήτει. Κατὰ δὲ τοῦ πολεμίου τὸ ξίφος τῶν δακρύων ἀκόνα.

10. Ἦλθέ ποτε ὁ ἀββᾶς Μωυσῆς ἀντλῆσαι ὕδωρ καὶ εὗρε

8. Ψαλμ. 54, 18.

9. Ψαλμ. 118, 164. Ὁ ἀρ. ἑπτά, πού ἔχει τό κείμενο, στούς Ἑβραίους δήλωνε τό πολλάκις (πολλές φορές). Στήν μοναχική παράδοση ἐκλαμβάνεται ὁ ἀριθ. ἑπτά καί στήν κυριολεξία ὡς πρός τίς ἀκολουθίες τοῦ ἡμερονυκτίου. Βλ. *Ὡρολόγιον Μέγα*, Ἐκδ. «Ἀστήρ», Ἀθῆναι 1984, σελ. ιε΄.

10. Σχετικά μέ τόν Εὐάγριο ὁ ὁποῖος καταδικάσθηκε ἀπό τήν Ε΄ Οἰκ. Σύνοδο (553) γιά τά ὠριγενιστικά του φρονήματα βλ. *Μ. Γεροντικόν* τόμ. Α΄ σελ. 448.

11. Περισπασμός τήν ὥρα τῆς προσευχῆς εἶναι ἡ ὀλίσθηση τοῦ νοῦ σέ ποικίλους λογισμούς ἐκτός τῶν νοημάτων τῆς προσευχῆς. Στήν "πεπτωκυῖα" φύση τοῦ ἀνθρώπου εἶναι ἀναπόφευκτος ὁ περισπασμός, ἐκτός ἐάν ἡ χάρη τοῦ Θεοῦ ἐπιτελέσει τό ἔργο αὐτό στήν ψυχή του. Ὅμως μέ τόν ἀγώνα γιά νήψη περιστέλλει ἀφενός τήν ἀχαλίνωτη φαντασία, καί ἀφετέρου ἐπαναφέρει τόν νοῦ στήν τάξη τῆς προσευχῆς. Αὐτό εἶναι χρέος του ὅσες φορές κι ἄν ὀλισθήσει ὁ νοῦς.

Ὁ ἅγιος Μακάριος ὁ Αἰγύπτιος ἀναφερόμενος στήν ἀνάγκη νά βιάζουμε τόν ἑαυτό μας «εἰς τὸ ἀγαθὸν καὶ μὴ θελούσης τῆς καρδίας», συνιστᾶ καί γιά τήν προσευχή «βιάζεσθαι (χρή) ἑαυτὸν εἰς τὴν εὐχὴν μὴ ἔχοντα εὐχὴν πνευματικήν. Καὶ οὕτως ὁ Θεὸς θεωρῶν τὸν οὕτως ἀγωνιζόμενον... δίδωσιν εὐχὴν ἀληθινὴν Πνεύματος...» (Ὁμιλία 19, 3).

12. Ἀθυμία: κακοκεφιά, ὀλιγοψυχία, ἀδημονία, λύπη, ἀπελπισία.

13. Πρβλ. Ψαλμ. 141, 2.

καί σούρουπο ἱκέτευε[8]. Καί γι' αὐτό ἔλεγε: «Πολλές φορές στή διάρκεια τῆς μέρας σέ ὕμνησα»[9].

7. Εἶπε ὁ ἀββᾶς Εὐάγριος[10]: «Εἶναι μεγάλη ὑπόθεση νά προσεύχεται ὁ ἄνθρωπος χωρίς νά περισπᾶται καί μεγαλύτερη εἶναι νά ψάλλει χωρίς νά περισπᾶται[11]».

8. Εἶπε ἐπίσης: «Ὅταν ἔχεις ἀθυμία[12], νά προσεύχεσαι, ὅπως λέει ἡ Γραφή[13]. Καί νά προσεύχεσαι μέ πολύ δέος καί βαθειά συναίσθηση τῆς μεγαλειότητος τοῦ Θεοῦ, μέ νηφαλιότητα καί ἐγρήγορση. Γιατί ἔτσι πρέπει νά προσευχόμαστε, προπαντός ἐξαιτίας τῶν ἀοράτων ἐχθρῶν μας, τῶν μοχθηρῶν καί πονηρῶν, πού θέλουν νά μᾶς ἐνοχλοῦν κατά τήν ὥρα τῆς προσευχῆς».

9. Εἶπε πάλι: «Ὅταν ἐμφανισθεῖ στήν καρδιά σου λογισμός πού σέ καταπολεμεῖ, μή ζητᾶς στήν προσευχή σου ἄλλα ἀντ' ἄλλων, ἀλλά ἀκόνιζε ἐναντίον τοῦ ἐχθροῦ τό ξίφος τῶν δακρύων».

10. Πῆγε κάποτε ὁ ἀββᾶς Μωυσῆς* νά πάρει νερό καί

τὸν ἀββᾶν Ζαχαρίαν εὐχόμενον ἐπὶ τοῦ λάκκου καὶ τὸ πνεῦμα τοῦ Θεοῦ καθήμενον ἐπάνω αὐτοῦ.

11. Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας ὅτι ὁ ἀββᾶς Ἰσίδωρος ὁ πρεσβύτερος τοῦ Πηλουσίου, γενομένης ἀγάπης καὶ τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ ἐσθιόντων καὶ συλλαλούντων ἀλλήλοις, ἐπιτιμήσας αὐτοῖς εἶπε· Σιωπᾶτε, ἀδελφοί, οἶδα ἐγὼ ἀδελφὸν ἐσθίοντα μεθ' ἡμῶν καὶ πίνοντα ποτήρια ὅσα ἡμεῖς καὶ ἡ εὐχὴ αὐτοῦ ἀναβαίνει ἐνώπιον τοῦ Θεοῦ ὡς πῦρ.

12. Παρέβαλεν ὁ ἀββᾶς Λὼτ τῷ ἀββᾷ Ἰωσὴφ καὶ λέγει αὐτῷ· Ἀββᾶ, κατὰ τὴν δύναμίν μου ποιῶ τὴν μικράν μου σύναξιν καὶ τὴν μικρὰν νηστείαν μου καὶ τὴν εὐχὴν καὶ τὴν μελέτην καὶ τὴν ἡσυχίαν, καὶ τὸ κατὰ δύναμίν μου καθαρεύω τοῖς λογισμοῖς. Τί οὖν ἔχω ποιῆσαι λοιπόν; Ἀναστὰς οὖν ὁ Γέρων ἥπλωσε τὰς χεῖρας εἰς τὸν οὐρανόν, καὶ γεγόνασιν οἱ δάκτυλοι αὐτοῦ ὡς δέκα λαμπάδες πυρὸς καὶ λέγει αὐτῷ· Εἰ θέλεις, γενοῦ ὅλος πῦρ.

13. Ἔλεγεν ὁ ἀββᾶς Ἰάκωβος ὅτι τις τῶν Γερόντων εἶπεν· Ὅτε ἤμην νεώτερος ἐν τῇ ἐρήμῳ μένων, εἶχον πλησίον παῖδα ἰδίᾳ σχολάζοντα. Καὶ ἐπισκοπὴν ποιούμενος εἶδον αὐτὸ εὐχόμενον καὶ ἀξιοῦντα τὸν Θεόν, ἵνα εἰρηνεύσῃ μετὰ τῶν θηρίων· καὶ μετὰ τὴν εὐχήν, οὔσης πλησίον ὑαίνης καὶ θηλαζούσης τὰ ἑαυτῆς παιδία, ὑπέθηκεν ὁ παῖς ἑαυτὸν καὶ ἤρξατο θηλάζειν μετ' αὐτῶν. Ἄλλοτε εἶδον αὐτὸν εὐχόμενον καὶ ἀξιοῦντα τὸν Κύριον ὅτι· Δός μοι χάρισμα τῷ πυρὶ φιλιᾶσαι. Καὶ ποιήσας πυρὰν ἐν μέσῳ ταύτης γόνατα ἔκλινε προσευχόμενος τῷ Δεσπότῃ.

---

14. Πρόκειται γιά τόν νεαρό Ζαχαρία, τόν γιό τοῦ Καρίωνα, ὁ ὁποῖος εἶχε ραγδαία πνευματική πρόοδο, προικισμένος ἰδιαίτερα μέ τό χάρισμα τῆς προσευχῆς. Βλ. *Μ. Γεροντικόν* τόμ. Α' σελ. 448.

βρῆκε τόν ἀββᾶ Ζαχαρία[14] νά προσεύχεται πάνω στή δεξαμενή καί τό Πνεῦμα τοῦ Θεοῦ νά κάθεται ἐπάνω του.

11. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας* ὅτι ὁ ἀββᾶς Ἰσίδωρος*, ὁ πρεσβύτερος τοῦ Πηλουσίου[15], ὅταν εἶχαν κοινή τράπεζα στήν ἐκκλησία καί οἱ ἀδελφοί ἔτρωγαν καί συζητοῦσαν, τούς ἤλεγξε καί εἶπε: «Σωπᾶστε, ἀδελφοί, γνωρίζω ἀδελφό πού τρώει μαζί μας καί πίνει ὅσα ποτήρια πίνουμε κι ἐμεῖς, καί ἡ προσευχή του ἀνεβαίνει στόν Θεό σάν φωτιά».

12. Ἐπισκέφθηκε ὁ ἀββᾶς Λώτ τόν ἀββᾶ Ἰωσήφ καί τοῦ λέει: «Ἀββᾶ, ὅσο μπορῶ κάνω τή λίγη μου ἀκολουθία καί τή μικρή μου νηστεία, τήν προσευχή, τή μελέτη, τήν ἡσυχία καί ὅσο μοῦ εἶναι δυνατό διατηρῶ καθαρό τόν ἑαυτό μου ὡς πρός τούς λογισμούς. Τί μοῦ ὑπολείπεται νά κάνω;»

Σηκώθηκε τότε ὁ Γέροντας, ὕψωσε τά χέρια στόν οὐρανό καί τά δάκτυλά του ἔγιναν σάν δέκα λαμπάδες ἀπό φλόγα, καί τοῦ λέει: «Ἄν τό θέλεις, γίνε ὅλος μιά φλόγα».

13. Ἔλεγε ὁ ἀββᾶς Ἰάκωβος ὅτι ἕνας Γέροντας εἶπε: «Ὅταν ἤμουν νέος καί ἔμενα στήν ἔρημο, εἶχα ἐκεῖ κοντά ἕνα παλικαράκι πού ἔκανε κατιδίαν τήν ἀσκητική του ζωή. Κάποια μέρα πού παραφύλαξα, τόν εἶδα νά προσεύχεται καί νά ζητάει ἀπό τόν Θεό νά ἔχει εἰρηνικές σχέσεις μέ τά θηρία. Ἐκεῖ κοντά ἦταν μιά ὕαινα πού θήλαζε τά βρέφη της, καί τό παλικάρι μετά τήν προσευχή πῆγε καί ξάπλωσε καί ἄρχισε νά θηλάζει μαζί τους.

Ξύπνησα καί εἶπα: «Καί ἄν ἀκόμη χρειασθεῖ νά πεθάνω, δέν φεύγω ἀπό τήν πύλη του, ἐάν δέν τόν συναντήσω». Πῆγα πάλι λοιπόν ἔξω ἀπό τήν πύλη καί καθώς ἔβγαινε, φώναξα. Καί τρέχει κατ᾽ ἐπάνω μου ὁ θυρωρός καί μ᾽ ἀρχίζει στό ξύλο, ἕως ὅτου ἔπεσα κατά γῆς ἐξαντλημένος. Ἔχασα πιά τό θάρρος μου καί εἶπα: «Ἄς φύγω στή Σκήτη καί ἐάν θέλει ὁ Θεός, θά σώσει καί τόν Εὐλόγιο».

Πῆγα νά ζητήσω πλοῖο καί βρέθηκε ἕνα ἀλεξανδρινό. Μόλις ἀνέβηκα σ᾽ αὐτό, κάθησα ἀποκαμωμένος καί μέ πῆρε ὁ ὕπνος· ὁπότε βλέπω τόν ἑαυτό μου στόν ναό τῆς Ἀναστάσεως καί τό Παιδί ἐκεῖνο καθισμένο ἐπάνω στήν Πέτρα μέ κοίταζε ἀπειλητικά, καί τό φοβήθηκα τόσο πού ἔτρεμα σάν

μειν με ὡς φύλλον καὶ μὴ δύνασθαι ἀνοῖξαι τὸ στόμα· ἀπελιθώθη γὰρ ἡ καρδία μου· καὶ ἔλεγέ μοι· Οὐχ ὑπάγεις πληροῖς τὴν ἐγγύην; Καὶ κελεύει δύο τῶν παρισταμένων αὐτῷ καὶ κρεμῶσί με ὀπισθάγγονα, καὶ ἔλεγέ μοι· Μὴ ὑπὲρ τὴν δύναμίν σου ἐγγυῶ καὶ μὴ ἀντίλεγε Θεῷ. Καὶ οὐκ ἠδυνάμην ἀνοῖξαι τὸ στόμα μου κρεμάμενος.

Καὶ ἰδοὺ φωνὴ λέγουσα· Ἡ Αὐγούστα προέρχεται· καὶ ἰδὼν αὐτὴν ἔλαβον θάρσος. Καὶ προσπεσὼν λέγω αὐτῇ λεπτῇ φωνῇ· Ἐλέησόν με, Δέσποινα τοῦ κόσμου. Καὶ λέγει μοι· Τί πάλιν θέλεις; Καὶ λέγω αὐτῇ· Περὶ τῆς ἐγγύης Εὐλογίου κρέμαμαι. Καὶ λέγει μοι· Ἐγὼ παρακαλῶ ὑπὲρ σοῦ. Καὶ βλέπω ὅτι ἀπῆλθε καὶ κατεφίλησε τοὺς πόδας τοῦ μειρακίου. Καὶ λέγει μοι τὸ μειράκιον· Μηκέτι ποιήσῃς τὸ πρᾶγμα τοῦτο. Καὶ λέγω· Οὐχί, Δέσποτα· ἐγὼ γὰρ παρεκάλεσα, ἵνα χρήσιμος γένηται καὶ μὴ ἀχρήσιμος. Καὶ εἶπον· Ἥμαρτον, Δέσποτα, συγχώρησόν μοι. Καὶ κελεύει καὶ λύουσί με, καὶ λέγει μοι· Ὕπαγε εἰς τὸ κελλίον σου· καὶ πῶς ἐγὼ φέρω τὸν Εὐλόγιον εἰς τὴν πρώτην τάξιν αὐτοῦ, μὴ μάθῃς. Καὶ διυπνισθείς, ἐχάρην χαρὰν μεγάλην ἀπαλλαγεὶς τῆς ἐγγύης καὶ ἔπλευσα εὐχαριστῶν τῷ Θεῷ.

Μετὰ δὲ τρεῖς μῆνας, ἀκούω ὅτι ἐτελεύτησεν Ἰουστῖνος ὁ βασιλεὺς καὶ βασιλεύει Ἰουστινιανός. Εἶτα μετ᾽ ὀλίγον χρόνον ἀνταίρουσιν αὐτῷ Ὑπάτιος καὶ Δεξοκράτης καὶ Πόμπιος καὶ αὐτὸς Εὐλόγιος ὁ ἔπαρχος. Καὶ οἱ μὲν τρεῖς ἀπεκεφαλίσθησαν καὶ διηρπάγη πάντα τὰ αὐτῶν. Ὁ δὲ Εὐλόγιος ἔφυγε νυκτὸς ἀπὸ Κωνσταντινουπόλεως. Καὶ κελεύει Ἰουστινιανός, ἵνα ὅπου εὑρεθῇ ὁ Εὐλόγιος ἀποθάνῃ. Τότε φεύγει καὶ ἔρχεται εἰς τὸ χωρίον αὐτοῦ. Καὶ ἀλλάσσει τὰ ἱμάτια αὐτοῦ ὡς τὰ τῶν χωριακῶν.

18. Ἰουστινιανός ὁ Α' (527-565) διαδέχθηκε στόν θρόνο τόν θεῖο του Ἰουστίνο Α'.

φύλλο καί δέν μποροῦσα νά ἀνοίξω τό στόμα μου· γιατί εἶχε παγώσει τό αἷμα μου. Καί μοῦ εἶπε: «Δέν θά πᾶς νά πληρώσεις τήν ἐγγύηση;» Διατάζει τότε δυό ἀπό τούς ἀνθρώπους του καί μέ κρεμοῦν ὀπισθάγκονα, καί μοῦ ἔλεγε: «Νά μή βάζεις ἐγγύηση μεγαλύτερη ἀπό τή δύναμή σου καί νά μήν ἀντιλέγεις στόν Θεό». Κι ἐγώ κρεμασμένος δέν μποροῦσα νά ἀνοίξω τό στόμα μου.

Καί νά, μιά φωνή πού ἔλεγε: «Περνάει ἡ Αὐγούστα»· βλέποντάς την πῆρα θάρρος, ἔπεσα στά πόδια της καί τῆς εἶπα μέ ἀδύναμη φωνή: «Σπλαχνίσου με, Δέσποινα τοῦ κόσμου». «Τί θέλεις πάλι;» μ᾽ ἐρωτᾶ. «Γιά τήν ἐγγύηση τοῦ Εὐλογίου —ἀπαντῶ— εἶμαι κρεμασμένος». Καί μοῦ λέει: «Ἐγώ θά παρακαλέσω γιά χάρη σου». Καί τήν βλέπω, πῆγε καί καταφίλησε τά πόδια τοῦ Παιδιοῦ. Μοῦ λέει τότε τό Παιδί: «Μήν ξανακάνεις αὐτό τό πράγμα». «Ὄχι, Δέσποτα —τοῦ ἀπαντῶ— ἐγώ παρακάλεσα γιά νά γίνει χρήσιμος καί ὄχι ἄχρηστος». Καί πρόσθεσα: «Ἥμαρτον, Δέσποτα, συγχώρεσέ με». Διατάζει τότε καί μέ λύνουν. «Πήγαινε στό κελί σου —μοῦ λέει— καί τό πῶς θά ἐπαναφέρω τόν Εὐλόγιο στήν πρώτη του κατάσταση, μήν ἐρευνᾶς νά τό μάθεις». Ξύπνησα τότε καί ἔνιωσα μεγάλη χαρά, γιατί ἀπαλλάχθηκα ἀπό τήν ἐγγύηση, καί συνέχισα τό ταξίδι μου εὐχαριστώντας τόν Θεό.

Μετά ἀπό τρεῖς μῆνες μαθαίνω ὅτι πέθανε ὁ Ἰουστίνος ὁ βασιλιάς καί ἀνέβηκε στόν θρόνο ὁ Ἰουστινιανός[18]. Δέν πέρασε πολύς καιρός καί ἐπαναστάτησαν ἐναντίον τοῦ Ἰουστινιανοῦ ὁ Ὑπάτιος, ὁ Δεξοκράτης, ὁ Πόμπιος καί ὁ ἴδιος ὁ Εὐλόγιος ὁ ἔπαρχος. Οἱ τρεῖς πρῶτοι ἀποκεφαλίσθηκαν καί ὅλη ἡ περιουσία τους λεηλατήθηκε· ὁ Εὐλόγιος ὅμως ἔφυγε νύχτα ἀπό τήν Κωνσταντινούπολη. Καί βγάζει διαταγή ὁ Ἰουστινιανός ὅπου βρεθεῖ ὁ Εὐλόγιος νά ἐκτελεσθεῖ. Διέφυγε ὅμως ἐκεῖνος καί πῆγε στό χωριό του. Ἀλλάζει τά ἐνδύματά του καί ντύνεται ὅπως οἱ χωρικοί.

Καὶ συνήχθη τὸ ὅλον κτῆμα ἰδεῖν τὸν Εὐλόγιον καὶ λέγουσιν αὐτῷ· Καλῶς ἦλθες· ἠκούσαμεν ὅτι πατρίκιος ἐγένου. Καὶ λέγει αὐτοῖς· Ναί; Εἰ πατρίκιος ἐγενόμην, τὴν ὄψιν ὑμῶν ἔβλεπον; Οὐχί· ἀλλὰ ἄλλος Εὐλόγιος τῆς χώρας ταύτης ἐστίν· ἐγὼ γὰρ εἰς τοὺς ἁγίους τόπους ἤμην.

Καὶ ἔρχεται εἰς ἑαυτὸν καὶ λέγει· Ταπεινέ, Εὐλόγιε, ἔγειρε, λάβε τὸ λατόμιόν σου καὶ ὕπαγε κάμε· ὧδε γὰρ παλάτιον οὐκ ἔστι, μήποτε καὶ τὴν κεφαλήν σου ἀπολέσῃς. Καὶ λαβὼν τὸ λατομικὸν ἐργαλεῖον ἐξέβη εἰς τὴν πέτραν ὅπου τὰ χρήματα εὗρε, νομίζων εὑρεῖν ἄλλα. Καὶ κρούσας ἕως ὥρας ἕκτης οὐδὲν εὗρε καὶ ἤρξατο μιμνήσκεσθαι τὰ ὀψίκια, τὴν ἀπάτην, τὴν φαντασίαν καὶ τὰ ἐδέσματα. Καὶ πάλιν ἔλεγεν ἐν ἑαυτῷ· Ἔγειρε, ταπεινὲ Εὐλόγιε, κάμε· ὧδε Αἴγυπτός ἐστι. Καὶ κατὰ μικρὸν μικρὸν κατέστησεν αὐτὸν τὸ ἅγιον μειράκιον καὶ ἡ Δέσποινα ἡμῶν ἡ Θεοτόκος εἰς τὴν προτέραν τάξιν αὐτοῦ· οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τῶν πρώτων αὐτοῦ καμάτων.

Μετὰ δὲ ὀλίγον χρόνον ἀνέβην εἰς τὸ χωρίον ἐκεῖνο πωλῆσαι τὸ ἐργόχειρόν μου. Καὶ ἰδού, ἑσπέρας ἦλθε κατὰ τὸ πρῶτον ἔθος αὐτοῦ καὶ ἔλαβέ με. Καὶ ὡς εἶδον αὐτὸν ἐκ τοῦ κονιορτοῦ ἀνεστέναξα καὶ δακρύσας εἶπον· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν· σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ. Τὰ θαυμάσιά σου ἢ τὰ κρίματά σου τίς ἐξιχνιάσει; Ἐγὼ δὲ ὁ ἁμαρτωλὸς ἐπεχείρησα καὶ παρὰ βραχὺ παρῴκησε τῷ Ἅδῃ ἡ ψυχή μου.

---

19. Ἡ ἕκτη ὥρα ἡ βυζαντινή, πού ἔχει τό ἀρχ. κείμενο, ἀντιστοιχεῖ μέ τή σημερινή δωδεκάτη μεσημβρινή.

20. Ψαλμ. 10, 24. 21. Ψαλμ. 76, 14-15. 22. Ψαλμ. 112, 7.

23. Α΄ Βασ. 2, 7. 24. Πρβλ. Σοφ. Σειρ. 18, 6. 25. Ψαλμ. 93, 17.

Συγκεντρώθηκε τότε ὅλο τό χωριό νά δοῦν τόν Εὐλόγιο καί τοῦ λένε: «Καλῶς ἦλθες· ἀκούσαμε ὅτι ἔγινες πατρίκιος». «Ναί;», τούς λέει, «ἐάν γινόμουν πατρίκιος, θά ἔβλεπα τά πρόσωπά σας; Ὄχι, βέβαια· ἄλλος Εὐλόγιος ἦταν πού κατάγεται ἀπό τή χώρα αὐτή. Ἐγώ στούς Ἁγίους Τόπους ἤμουν».

Συνέρχεται κατόπιν καί λέει στόν ἑαυτό του: «Φτωχέ, Εὐλόγιε, σήκω πάρε τά λατομικά σου ἐργαλεῖα καί πήγαινε νά δουλέψεις· γιατί ἐδῶ δέν εἶναι τό παλάτι, μή τυχόν χάσεις καί τό κεφάλι σου». Καί παίρνοντας τά ἐργαλεῖα του βγῆκε πρός τήν πέτρα ὅπου εἶχε βρεῖ τά χρήματα, μέ τήν ἐλπίδα νά βρεῖ κι ἄλλα. Ἄν καί χτυποῦσε μέχρι τό μεσημέρι[19], δέν βρῆκε τίποτε· καί ἄρχισε νά θυμᾶται τίς ἐπίσημες συνοδεῖες, τά ἀπατηλά πράγματα, τήν πολυτέλεια καί τά φαγητά. Καί ἐπανέλαβε μέσα του: «Σήκω, φτωχέ Εὐλόγιε, κόπιασε· ἐδῶ εἶναι Αἴγυπτος». Ἔτσι λίγο λίγο τόν ἀποκατέστησε τό ἅγιο Παιδί καί ἡ Δέσποινά μας Θεοτόκος στόν προηγούμενο τρόπο τῆς ζωῆς του. Γιατί ὁ Θεός δέν εἶναι ἄδικος νά λησμονήσει τούς προηγουμένους κόπους του.

Πέρασε λίγος καιρός καί πῆγα στό χωριό ἐκεῖνο νά πουλήσω τό ἐργόχειρό μου. Καί, νά, τό βραδάκι ἦλθε, σύμφωνα μέ τήν παλιά συνήθεια, καί μέ πῆρε. Σάν τόν εἶδα σκονισμένο ἀπ᾽ τή δουλειά, ἀναστέναξα καί εἶπα μέ δάκρυα στά μάτια: «Πόσο μεγάλα καί θαυμαστά εἶναι τά ἔργα σου, Κύριε! τά πάντα μέ σοφία τά δημιούργησες[20]. Ποιός ἄλλος Θεός εἶναι μεγάλος, ὅπως ὁ Θεός μας; Σύ εἶσαι ὁ μόνος Θεός πού τά ἔργα σου εἶναι καταπληκτικά[21]. Ἐσύ πού σηκώνεις τόν πτωχό τόν πεσμένο στή γῆ καί ἀνυψώνεις τόν πένητα ἀπό τήν κοπριά τῆς ἀθλιότητος[22]. Ὁ Κύριος εἶναι πού δίνει τή φτώχεια καί τόν πλοῦτο. Αὐτός ταπεινώνει καί αὐτός ἀνυψώνει τόν ἄνθρωπο[23]. Ποιός μπορεῖ νά ἐξιχνιάσει τά θαυμαστά ἔργα σου ἤ τά κρίματά σου[24]; Ἐγώ ὅμως ὁ ἁμαρτωλός τό ἐπεχείρησα καί λίγο ἔλειψε νά πάει στόν Ἅδη ἡ ψυχή μου[25]».

Καὶ λαβών με ἔβαλεν ὕδωρ καὶ ἔνιψε τοὺς πόδας μου, ὁμοίως δὲ καὶ τῶν ἄλλων ξένων κατὰ τὸ ἔθος. Καὶ παρέθηκεν ἡμῖν τράπεζαν. Καὶ μετὰ τὸ γεύσασθαι ἡμᾶς, λέγω αὐτῷ· Πῶς ἔχεις, ἀββᾶ Εὐλόγιε; Ὁ δὲ λέγει μοι· Εὖξαι ὑπὲρ ἐμοῦ, κύρι ἀββᾶ, ὅτι ταπεινός εἰμι, μὴ ἔχων κατὰ χεῖρας τίποτε. Λέγω αὐτῷ· Εἴθε, καὶ ἃ εἶχες, μὴ εἶχες. Λέγει μοι· Διατί, κύρι ἀββᾶ, μὴ τί ποτέ σε ἐσκανδάλισα; Λέγω αὐτῷ· Τί γὰρ οὐκ ἐσκανδάλισές με; Τότε ἀνεθέμην αὐτῷ ἅπαντα τὰ γενόμενα. Καὶ κλαυσάντων ἡμῶν ἀμφοτέρων, λέγει μοι· Εὖξαι, κύρι ἀββᾶ, ἵνα πέμψῃ ὁ Θεὸς τὴν χρείαν καὶ ἀπὸ τοῦ νῦν διορθοῦμαι. Καὶ λέγω αὐτῷ· Ὄντως, τέκνον, μὴ προσδοκήσῃς παρὰ τοῦ Χριστοῦ πιστευθῆναι ἄλλο τίποτε, ὅσον εἶ ἐν τῷ κόσμῳ τούτῳ, εἰ μὴ τὸ κεράτιον τοῦτο τοῦ καμάτου σου. Καὶ ἰδοὺ τοσοῦτον χρόνον ἐχορήγησεν αὐτῷ ὁ Θεὸς δύναμιν καταλύειν τὸ κεράτιον τοῦ χειρεργίου αὐτοῦ. Ἰδοὺ οὖν εἶπόν σοι καὶ πόθεν γνωρίζω αὐτόν, τέκνον. Καὶ λοιπὸν σὺ μὴ δευτερώσῃς ταῦτά τινι.

Ταῦτα ἐθάρρησεν ὁ ἀββᾶς Δανιὴλ τῷ μαθητῇ αὐτοῦ μετὰ τὸ ἀναλῦσαι αὐτὸν ἀπὸ Θηβαΐδος. Θαυμᾶσαι δέ ἐστι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, πῶς δι᾽ ὀλίγων ὕψωσεν τὸν Εὐλόγιον καὶ πάλιν ἐταπείνωσε πρὸς τὸ συμφέρον. Εὐξώμεθα οὖν καὶ ἡμεῖς ταπεινωθῆναι, ἵνα ἐν τῇ φοβερᾷ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εὕρωμεν ἔλεος ἐνώπιον τῆς δόξης αὐτοῦ.

5. Εἶπεν ὁ μαθητὴς τοῦ ἀββᾶ Θεοδώρου ὅτι ἦλθέ ποτέ τις πωλῶν κρόμμυα καὶ ἐγέμισέ μοι κρατῆρα. Καὶ λέγει ὁ Γέρων· Γέμισον τὸν κρατῆρα σῖτον καὶ δὸς αὐτῷ. Ἦσαν δὲ δύο

26. Πρόκειται γιά τόν ἀββᾶ Θεόδωρο τῆς Φέρμης. Ἡ Φέρμη εἶναι βουνό στά βόρεια τῆς Νιτρίας, ὅπου ἀσκήτευαν πολλοί μοναχοί.

Μέ πῆρε λοιπόν στό σπίτι, ἔβαλε νερό καί μοῦ ἔπλυνε τά πόδια, τό ἴδιο ἔκανε καί στούς ἄλλους ξένους, ὅπως συνήθιζε. Ἔστρωσε τραπέζι καί ἀφοῦ φάγαμε, τοῦ λέω: «Πῶς εἶσαι, γέρο-Εὐλόγιε;» «Εὐχήσου γιά μένα, Γέροντά μου —ἀπαντᾶ— γιατί εἶμαι ἕνας φτωχός, πού δέν ἔχει τίποτε στά χέρια του». «Μακάρι —τοῦ λέω— καί ὅσα εἶχες νά μήν τά εἶχες». «Γιατί, Γέροντά μου —ρωτάει— μήπως καμιά φορά σέ σκανδάλισα;» «Καί σέ τί δέν μέ σκανδάλισες;» τοῦ εἶπα. Καί τοῦ ἐξιστόρησα τότε ὅλα ὅσα ἔγιναν. Κλάψαμε καί οἱ δυό, καί μοῦ εἶπε: «Εὐχήσου, Γέροντά μου, νά μοῦ στείλει ὁ Θεός τά ἀπαραίτητα καί ἀπό δῶ καί πέρα θά διορθωθῶ». «Πράγματι, τέκνο μου —πρόσθεσα— νά μήν περιμένεις ἀπό τόν Χριστό νά σοῦ ἐμπιστευθεῖ, ὅσο εἶσαι σ᾽ αὐτόν τόν κόσμο, τίποτε ἄλλο ἐκτός ἀπό τό νόμισμα αὐτό τοῦ κόπου σου». Καί νά πού τόσον καιρό τοῦ δίνει ὁ Θεός τή δύναμη νά κερδίζει τό νόμισμα ἀπό τή δουλειά τῶν χεριῶν του. Νά λοιπόν σοῦ εἶπα, παιδί μου, καί πῶς τόν γνωρίζω αὐτόν τόν ἄνθρωπο. Ἀλλά νά ᾽χεις τόν νοῦ σου, μήν τά πεῖς σέ κανέναν».

Αὐτά τά ἐμπιστεύθηκε ὁ ἀββᾶς Δανιήλ στόν μαθητή του, ἀφοῦ ἐπέστρεψε ἀπό τή Θηβαΐδα. Εἶναι νά θαυμάζει κανείς τή φιλανθρωπία τοῦ Θεοῦ, πῶς γιά λίγο ἀνέβασε στά ὕψη τόν Εὐλόγιο καί πάλι τόν ταπείνωσε γιά τό συμφέρον του. Ἄς εὐχόμαστε κι ἐμεῖς νά ταπεινωθοῦμε, ὥστε τή φοβερή ἡμέρα τῆς ἔνδοξης παρουσίας τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νά βροῦμε ἔλεος ἐνώπιόν του.

5. Εἶπε ὁ μαθητής τοῦ ἀββᾶ Θεοδώρου[26] ὅτι ἦλθε κάποτε κάποιος πού πουλοῦσε κρεμμύδια καί μοῦ γέμισε ἕνα πήλινο δοχεῖο. Καί λέει ὁ Γέροντας: «Γέμισε τό δοχεῖο σιτάρι καί δῶσε του». Ὑπῆρχαν δύο σωροί ἀπό σιτάρι· ὁ ἕνας

βουνοὶ σίτου· εἷς καθαρὸς καὶ εἷς ἀκάθαρτος. Ἐγέμισα δὲ αὐτὸν ἐκ τοῦ ἀκαθάρτου. Καὶ προσέσχε μοι ὁ Γέρων μετὰ ἕξεως καὶ λύπης. Καὶ ἀπὸ τοῦ φόβου ἔπεσον καὶ ἔκλασα τὸν κρατῆρα. Καὶ ἔβαλον αὐτῷ μετάνοιαν, καὶ λέγει μοι· Ἐγείρου, οὐκ ἔχεις σὺ πρᾶγμα, ἀλλ' ἐγὼ ἥμαρτον ὅτι εἶπόν σοι. Καὶ εἰσελθὼν ὁ Γέρων ἐγέμισε τὸν κόλπον αὐτοῦ σῖτον καθαρὸν καὶ ἔδωκεν αὐτῷ μετὰ τῶν κρομμύων.

6. Ἔλεγον δὲ περὶ αὐτοῦ ὅτι, ὡς ἠρημώθη ἡ Σκῆτις, ἦλθε μεῖναι εἰς Φέρμην. Καὶ γηράσας ἠσθένησε. Προσέφερον οὖν αὐτῷ ἐδέσματά τινα. Καὶ ἃ ἔφερεν ὁ πρῶτος, ἐδίδου τῷ δευτέρῳ. Καὶ οὕτω κατὰ τὴν τάξιν, ἃ ἐλάμβανε παρὰ τοῦ ἑνὸς ἐδίδου τῷ ἄλλῳ. Εἰς τὴν ὥραν δὲ τοῦ γεύσασθαι, ἃ ἔφερεν ὁ ἐρχόμενος, ἐκεῖνα ἤσθιεν.

7. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ ὅτι τὸν κόπον αὐτοῦ ὃν ἐποίει εἰς τὸ θέρος, ἐλάμβανε καὶ ἔφερεν εἰς Σκῆτιν λέγων· Αἱ ἐμαὶ χῆραι καὶ ὀρφανοὶ εἰς Σκῆτίν εἰσιν.

8. Ἀπῆλθόν τινες τῶν Πατέρων πρὸς τὸν ἀββᾶν Ἰωσὴφ εἰς Πανεφώ, ἵνα ἐρωτήσωσιν αὐτὸν περὶ τῆς ἀπαντήσεως τῶν ἀδελφῶν τῶν ξενιζομένων πρὸς αὐτούς, εἰ χρὴ συγκαταβαίνειν καὶ παρρησιάζεσθαι πρὸς αὐτούς. Καὶ πρὸ τοῦ ἐρωτηθῆναι αὐτόν, εἶπεν ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Κατανόησον ὃ μέλλω ποιεῖν σήμερον καὶ ὑπόμεινον.

Καὶ ἔθηκεν ὁ Γέρων δύο ἐμβρίμια, ἓν ἐκ δεξιῶν καὶ ἓν ἐξ ἀριστερῶν, καὶ εἶπε· Καθίσατε· καὶ ἐκάθισαν. Καὶ εἰσῆλθεν εἰς

---

27. Πανεφώ ἤ Πανέφυσις: ἀρχαία πόλη τῆς Κάτω Αἰγύπτου. Σήμερα ὀνο-

ἀπό καθαρισμένο σιτάρι καί ὁ ἄλλος ἀπό ἀκαθάριστο. Καί τό γέμισα ἀπό τό ἀκαθάριστο. Ὁ Γέροντας μέ κοίταξε ἐπίμονα καί θλιμμένα. Καί ἀπό τήν ταραχή μου ἔπεσα καί ἔσπασα τό δοχεῖο. Τοῦ ἔβαλα ἀμέσως μετάνοια, καί μοῦ λέει: «Σήκω πάνω, δέν ἔχεις εὐθύνη ἐσύ· ἐγώ ἔσφαλα πού σοῦ τό εἶπα». Καί μπαίνει μέσα ὁ Γέροντας, γεμίζει τήν ἀγκαλιά του μέ σιτάρι καθαρό καί τοῦ τό δίνει μαζί μέ τά κρεμμύδια.

6. Ἔλεγαν γι' αὐτόν ὅτι μόλις ἐρημώθηκε ἡ Σκήτη, πῆγε νά μείνει στή Φέρμη. Τόν βρῆκαν τά γηρατειά καί ἀρρώστησε· τοῦ πρόσφεραν λοιπόν κάποια φαγητά. Ἀλλά αὐτά πού τοῦ ἔφερνε ὁ πρῶτος, τά ἔδινε στόν δεύτερο. Καί ἔτσι μέ τή σειρά, αὐτά πού ἔπαιρνε ἀπό τόν ἕναν, τά ἔδινε στόν ἑπόμενο. Καί μόνο τήν ὥρα πού ἦταν νά φάει, ὅ,τι τοῦ ἔφερνε αὐτός πού ἐρχόταν, ἐκεῖνο ἔτρωγε.


7. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰωάννη* τόν Κολοβό ὅτι ὅσα ἔβγαζε ἐργαζόμενος στό θέρος, τά ἔπαιρνε καί τά ἔφερνε στή Σκήτη λέγοντας: «Οἱ δικές μου χῆρες καί τά ὀρφανά βρίσκονται στή Σκήτη».

8. Πῆγαν κάποιοι Πατέρες στόν ἀββᾶ Ἰωσήφ στήν Πανεφώ[27], γιά νά τόν ρωτήσουν πῶς νά φέρονται στούς ἀδελφούς πού ἔρχονται νά φιλοξενηθοῦν· ἄν δηλαδή πρέπει νά γίνεται συγκατάβαση καί νά τούς φέρονται μέ ἄνεση. Καί πρίν τόν ρωτήσουν, εἶπε ὁ Γέροντας στόν μαθητή του: «Πρόσεξε καλά αὐτό πού πρόκειται νά κάνω σήμερα καί μή μιλᾶς».

Ἔβαλε λοιπόν ὁ Γέροντας δυό μαξιλάρια, ἕνα ἀπό τά δεξιά καί ἕνα ἀπό τά ἀριστερά, καί εἶπε: «Καθῆστε» καί κά-

---

μάζεται Μεντζάλα ἐλ Χαγίτ. Βλ. χάρτη σελ. 8-9.



Ἡ περίφημη Μονή τοῦ Στουδίου, πού τήν ἵδρυσε ὁ πατρίκιος Στούδιος κατά τά μέσα τοῦ 5ου αἰ.

Στίς ἀντίξοες περιστάσεις τῆς ἐκκλησιαστικῆς ζωῆς ἀποδείχθηκε προμαχώνας τῆς Ὀρθοδοξίας.

τὴν κέλλαν αὐτὸς καὶ ἐφόρεσεν ἱμάτια ἐπαιτικά· καὶ ἐξελθὼν ἐπέρασεν ἐν μέσῳ αὐτῶν. Καὶ πάλιν εἰσελθὼν ἐφόρεσε τὰ ἴδια ἱμάτια. Καὶ ἐξελθὼν πάλιν ἐκάθισεν ἐν μέσῳ αὐτῶν. Αὐτοὶ δὲ ἐξέστησαν ἐπὶ τῷ ἔργῳ τοῦ Γέροντος. Καὶ εἶπεν αὐτοῖς· Κατενοήσατε ὃ ἐποίησα; Καὶ εἶπον· Ναί. Λέγει αὐτοῖς· Μὴ ἠλλάγην ἀπὸ τοῦ ἀτίμου φορέματος; Λέγουσιν· Οὔ. Καὶ λέγει αὐτοῖς· Εἰ οὖν αὐτὸς ἐγώ εἰμι ἐν ἀμφοτέροις, ὡς τὸ πρῶτον οὐκ ἤλλαξέ με, οὕτως οὐδὲ τὸ δεύτερον ἔβλαψέ με. Οὕτως οὖν ὀφείλομεν ποιεῖν εἰς τὴν ὑποδοχὴν τῶν ξένων ἀδελφῶν, κατὰ τὸ ἅγιον Εὐαγγέλιον· Δότε γάρ, φησί, τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Ὅταν οὖν ἐστι παρουσία ἀδελφῶν, μετὰ παρρησίας δεξώμεθα αὐτούς, ὅτε δὲ κατὰ μόνας ἐσμέν, χρείαν ἔχομεν τοῦ πένθους, ἵνα παραμείνῃ ἡμῖν.

Οἱ δὲ ἀκούσαντες ἐθαύμασαν, ὅτι καὶ τὰ ἐν τῇ καρδίᾳ αὐτῶν εἶπεν αὐτοῖς, προτοῦ ἐρωτήσουσιν αὐτόν, καὶ ἐδόξασαν τὸν Θεόν.

9. Διηγήσατο ὁ ἀββᾶς Κασσιανὸς ὅτι· Παρεβάλομεν ἀπὸ Παλαιστίνης εἰς Αἴγυπτόν τινι τῶν Πατέρων. Καὶ φιλοξενήσας ἡμᾶς, ἠρωτήθη παρ᾽ ἡμῶν τίνος ἕνεκεν ἐν τῷ καιρῷ τῆς ὑποδοχῆς τῶν ξένων ἀδελφῶν τὸν κανόνα τῆς νηστείας ἡμῶν, ὡς ἐν Παλαιστίνῃ παρελάβομεν, οὐ φυλάττομεν; Καὶ ἀπεκρίθη λέγων· Ἡ νηστεία πάντοτε μετ᾽ ἐμοῦ ἐστιν. Ὑμᾶς δὲ κατέχειν πάντοτε μεθ᾽ ἑαυτοῦ οὐ δύναμαι. Καὶ ἡ μὲν νηστεία καὶ χρήσιμόν ἐστι πρᾶγμα καὶ ἀναγκαῖον, τῆς ἡμετέρας δ᾽ ἐστὶ προαιρέσεως. Τὴν δὲ τῆς ἀγάπης πλήρωσιν ἐξ ἀνάγκης ἀπαιτεῖ ὁ τοῦ Θεοῦ νόμος. Ὑμᾶς οὖν δεχόμενος καὶ ἐν ὑμῖν τὸν Χρι-

28. Ματθ. 22, 21.

θησαν. Μπῆκε κατόπιν στό κελί του καί ντύθηκε σάν ζητιάνος· βγῆκε σέ λίγο καί πέρασε ἀπό ἀνάμεσά τους. Καί πάλι μπῆκε στό κελί καί φόρεσε τά δικά του ἐνδύματα.

Βγῆκε πάλι καί κάθησε ἀνάμεσά τους. Αὐτοί ἀπόρησαν γι᾽ αὐτό πού ἔκανε ὁ Γέροντας. Καί τούς ρωτᾶ: «Προσέξατε αὐτό πού ἔκανα;» «Ναί» τοῦ εἶπαν. «Μήπως ἔγινα ἄλλος —ξαναρωτᾶ— μέ τήν ἐξευτελιστική ἐνδυμασία;» «Ὄχι» ἀπαντοῦν. Καί τούς λέει: «Ἐάν λοιπόν εἶμαι ἐγώ ὁ ἴδιος καί μέ τίς δυό ἐνδυμασίες, ὅπως ἡ πρώτη δέν μέ ἄλλαξε, ἔτσι καί ἡ δεύτερη δέν μέ ἔβλαψε. Αὐτό λοιπόν ὀφείλουμε νά κάνουμε, ὅταν ὑποδεχόμαστε τούς ξένους ἀδελφούς, σύμφωνα μέ τό ἱερό Εὐαγγέλιο πού λέει: Δῶστε στόν Καίσαρα ὅ,τι ἀνήκει στόν Καίσαρα, καί στόν Θεό ὅ,τι ἀνήκει στόν Θεό[28]. Ὅταν λοιπόν εἶναι παρόντες ἀδελφοί, ἄς τούς δεχόμαστε θαρρετά καί ἄνετα· ὅταν ὅμως εἴμαστε μόνοι, μᾶς χρειάζεται τό πένθος, γιά νά παραμείνει μέσα μας».

Τ᾽ ἄκουσαν οἱ παρόντες καί θαύμασαν, γιατί τούς εἶπε κι αὐτά πού εἶχαν στήν καρδιά τους, προτοῦ τόν ρωτήσουν καί δοξολόγησαν τόν Θεό.

9. Διηγήθηκε ὁ ἀββᾶς Κασσιανός*: «Ξεκινήσαμε ἀπό τήν Παλαιστίνη καί πήγαμε στήν Αἴγυπτο, σέ κάποιον ἀπό τούς Πατέρες. Ἀφοῦ μᾶς φιλοξένησε, τοῦ κάναμε τήν ἐρώτηση γιά ποιόν λόγο τόν καιρό πού φιλοξενοῦμε ξένους ἀδελφούς, δέν τηροῦμε τόν κανόνα τῆς νηστείας μας, ὅπως τόν παραλάβαμε στήν Παλαιστίνη.

Καί ἡ ἀπόκρισή του: Τή νηστεία πάντα τήν ἔχω. Ἐσᾶς ὅμως νά σᾶς κρατῶ πάντα μαζί μου, δέν μπορῶ. Ἡ νηστεία εἶναι καί χρήσιμη καί ἀπαραίτητη, ἀλλά ἐξαρτᾶται ἀπό τή δική μας προαίρεση. Ἐνῶ τήν ἐκπλήρωση τῆς ἀγάπης τήν ἀπαιτεῖ ὁ νόμος τοῦ Θεοῦ καί τήν ἐπιβάλλει. Τήν ὥρα λοιπόν πού δέχομαι ἐσᾶς καί στό πρόσωπό σας δέχομαι τόν Χριστό,

στόν, χρεωστῶ μετὰ πάσης σπουδῆς θεραπεῦσαι. Ἐπὰν δὲ ὑμᾶς προπέμψω, τὸν κανόνα τῆς νηστείας δύναμαι ἀνακτήσασθαι. Οὐ δύνανται γὰρ οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ' ὅσον χρόνον ὁ νυμφίος μετ' αὐτῶν ἐστιν. Ὅταν δὲ ἀρθῇ ἀπ' αὐτῶν, τότε μετ' ἐξουσίας νηστεύσουσιν.

10. Εἶπε πάλιν ὅτι· Παρεβάλομεν ἑτέρῳ Γέροντι, καὶ ἐποίησεν ἡμᾶς γεύσασθαι. Προετρέπετο δὲ ἡμῖν κορεσθεῖσιν ἔτι μεταλαβεῖν τροφῆς. Ἐμοῦ δὲ εἰρηκότος μηκέτι δύνασθαι, ἀπεκρίθη· Ἐγὼ ἑξάκις παραγενομένων ἀδελφῶν, τράπεζαν ἔθηκα. Καὶ προτρεπόμενος ἑνὶ ἑκάστῳ αὐτῶν συνήσθιον καὶ ἀκμὴν πεινῶ. Τοῦτο δὲ σὺ ἅπαξ φαγών, οὕτως ἐκορέσθης, ὥστε μὴ δύνασθαι;

11. Ἐδόθη ποτὲ εἰς Σκῆτιν ἐντολὴ ὅτι· Νηστεύσατε τὴν ἑβδομάδα ταύτην. Καὶ κατ' εὐκαιρίαν παρέβαλον ἀδελφοὶ ἀπ' Αἰγύπτου τῷ ἀββᾷ Μωυσῇ, καὶ ἐποίησεν αὐτοῖς μικρὸν ἕψημα. Καὶ εἶδον οἱ γείτονες τὸν καπνὸν καὶ εἶπον τοῖς κληρικοῖς· Ἰδοὺ Μωυσῆς κατέλυσε τὴν ἐντολὴν καὶ ἕψημα παρ' ἑαυτῷ ἐποίησεν. Οἱ δὲ εἶπον· Ὅτε ἔρχεται, ἡμεῖς λαλοῦμεν αὐτῷ.

Τοῦ δὲ Σαββάτου γενομένου οἱ κληρικοὶ ἰδόντες τὴν μεγάλην πολιτείαν τοῦ ἀββᾶ Μωυσέως, ἔλεγον αὐτῷ ἔμπροσθεν τοῦ λαοῦ· Ὦ ἀββᾶ Μωυσῆ, τὴν ἐντολὴν τῶν ἀνθρώπων ἔλυσας καὶ τὴν τοῦ Θεοῦ ἐφύλαξας.

12. Ἀδελφὸς εἶδε τὸν ἀββᾶν Νισθερῶον φοροῦντα δύο κολόβια καὶ εἶπεν αὐτῷ· Ἐὰν πτωχὸς ἔλθῃ καὶ αἰτήσῃ σε ἱμά-

29. Πρβλ. Μάρκ. 2, 19-20.

ὀφείλω νά σᾶς ὑπηρετήσω μέ κάθε τρόπο. Κι ὅταν θά σᾶς ξεπροβοδίσω, τόν κανόνα τῆς νηστείας μπορῶ νά τόν ἔχω πάλι. Ἄλλωστε δέν μποροῦν οἱ φίλοι τοῦ γαμπροῦ νά νηστεύουν ὅσο καιρό εἶναι αὐτός μαζί τους. Ὅταν ὅμως τόν πάρουν ἀπό κοντά τους, τότε ἔχουν τή δυνατότητα νά νηστέψουν[29]».

10. Εἶπε ἐπίσης: «Ἐπισκεφθήκαμε ἄλλον Γέροντα καί μᾶς ἔβαλε νά φᾶμε. Καί ἐνῶ εἴχαμε χορτάσει, μᾶς προέτρεπε νά φᾶμε κι ἄλλο. Κι ὅταν ἐγώ εἶπα ὅτι δέν μποροῦμε ἄλλο πιά, ἀποκρίθηκε: Ἐγώ ἕξι φορές, καθώς ἔρχονταν ἀδελφοί, ἔβαλα τραπέζι. Καί προτρέποντας τόν καθένα ἀπ' αὐτούς, ἔτρωγα κι ἐγώ μαζί τους καί ἀκόμη πεινῶ. Καί σύ μιά φορά ἔφαγες φαγητό καί χόρτασες τόσο, ὥστε νά μή μπορεῖς νά φᾶς ἄλλο;»

11. Δόθηκε κάποτε στή Σκήτη ἐντολή: «Νά νηστέψετε τήν ἑβδομάδα αὐτή». Καί συνέπεσε τίς μέρες ἐκεῖνες νά ἐπισκεφθοῦν ἀδελφοί ἀπό τήν Αἴγυπτο τόν ἀββᾶ Μωυσῆ*, ὁ ὁποῖος τούς ἔκανε λίγο μαγειρεμένο φαγητό. Εἶδαν οἱ γείτονες τόν καπνό καί τό ἀνέφεραν στούς κληρικούς: «Νά, ὁ Μωυσῆς κατέλυσε τήν ἐντολή, γιατί μαγείρεψε φαγητό». Κι ἐκεῖνοι εἶπαν: «Ὅταν ἔλθει, θά τοῦ μιλήσουμε».

Σάν ἔφθασε τό Σάββατο, οἱ κληρικοί βλέποντας τή θαυμαστή ἀσκητική ζωή τοῦ ἀββᾶ Μωυσῆ, εἶπαν ἐνώπιον ὅλων τῶν μοναχῶν: «Ὦ ἀββᾶ Μωυσῆ, κατάργησες τήν ἐντολή τῶν ἀνθρώπων καί τήρησες τήν ἐντολή τοῦ Θεοῦ».

12. Κάποιος ἀδελφός εἶδε τόν ἀββᾶ Νισθερῶο νά φοράει δυό κολόβια[30] καί τοῦ λέει: «Ἐάν ἔλθει ἕνας φτωχός καί

30. Κολόβιο ἀποκαλεῖται τό μοναχικό ἐπανωφόρι, μακρύ ἤ κοντό, πού δέν ἔχει μανίκια.

τιον, ποῖον δίδως αὐτῷ; Καὶ ἀποκριθεὶς εἶπεν· Τὸ κάλλιον. Καὶ λέγει ὁ ἀδελφός· Καὶ ἐὰν ἄλλος αἰτήσῃ σε, τί παρέχεις αὐτῷ; Καὶ λέγει ὁ Γέρων· Τὸ ἥμισυ τοῦ ἄλλου. Καὶ λέγει ὁ ἀδελφός· Καὶ ἐὰν ἄλλος αἰτήσῃ σε, τί δίδως αὐτῷ; Ὁ δὲ ἔφη· Κόπτω τὸ λοιπὸν καὶ δίδωμι αὐτῷ τὸ ἥμισυ, καὶ τὸ λοιπὸν ζώννυμαι.

Καὶ πάλιν λέγει· Εἰ δὲ καὶ τοῦτο ζητήσει τις παρὰ σοῦ τί ποιεῖς; Λέγει ὁ Γέρων· Παρέχω αὐτῷ τὸ λοιπὸν καὶ πορευθεὶς κάθημαι εἰς ἕνα τόπον, ἕως οὗ ὁ Θεὸς πέμψῃ καὶ σκεπάσῃ με· οὐ ζητῶ γὰρ παρ᾿ ἄλλου τινός.

13. Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Ποιμένι· Ἐὰν δῶ τῷ ἀδελφῷ μου μικρὸν ἄρτον ἢ ἕτερόν τι, οἱ δαίμονες μολύνουσιν αὐτὸ ὡς κατὰ ἀνθρωπαρεσκίαν γινόμενα. Λέγει ὁ Γέρων· Εἰ καὶ κατὰ ἀνθρωπαρεσκίαν γίνεται, ἀλλ᾿ ἡμεῖς τὴν χρείαν δῶμεν τῷ ἀδελφῷ.

Εἶπε δὲ αὐτῷ καὶ παραβολὴν τοιαύτην· Δύο ἄνθρωποι ἦσαν γεωργοὶ ἐν μιᾷ πόλει οἰκοῦντες. Καὶ ὁ εἷς μὲν ἐξ αὐτῶν σπείρας ἐποίησε μικρὸν ἀκάθαρτα. Ὁ δὲ ἄλλος ἀμελήσας τοῦ σπεῖραι ἐποίησεν ὅλως οὐδέν. Λιμοῦ δὲ γενομένου τίς ἐκ τῶν δύο εὑρίσκει ζῆσαι; Ἀπεκρίθη ὁ ἀδελφός· Ὁ ποιήσας τὰ ὀλίγα καὶ ἀκάθαρτα. Λέγει ὁ Γέρων· Οὕτως οὖν καὶ ἡμεῖς, σπείρωμεν ὀλίγα εἰ καὶ ἀκάθαρτα, ἵνα μὴ τῷ λιμῷ ἀποθάνωμεν.

14. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ποιμένι εἰς τὰς δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς. Καὶ ἐξεῖπε τοὺς λογισμοὺς αὐτοῦ καὶ τυχὼν ἀναπαύσεως λέγει αὐτῷ· Παρὰ βραχὺ κατεσχέθην ἂν παραγενέσθαι ὧδε σήμερον. Λέγει αὐτῷ ὁ Γέρων· Διατί; Λέ-

σοῦ ζητήσει ἕνα ροῦχο, ποιό θά τοῦ δώσεις;» «Τό καλύτερο» ἀποκρίθηκε. «Καί ἄν ἄλλος σοῦ ζητήσει —ρωτάει ὁ ἀδελφός— τί θά τοῦ προσφέρεις;» Ὁ Γέροντας ἀπαντᾶ «Τό μισό τοῦ ἄλλου». «Καί ἄν ἕνας τρίτος σοῦ ζητήσει —συνεχίζει ὁ ἀδελφός— τί θά τοῦ δώσεις;» «Θά κόψω τό ὑπόλοιπο, θά τοῦ δώσω τό μισό καί ἐκεῖνο πού θά μείνει, θά τό ζωσθῶ ἐγώ».

Καί πάλι τοῦ λέει: «Ἄν κι αὐτό σοῦ τό ζητήσει κάποιος, τί θά κάνεις;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Θά τοῦ δώσω τό ὑπόλοιπο καί θά πάω νά μείνω σ᾿ ἕνα μέρος, ἕως ὅτου στείλει ὁ Θεός καί μέ σκεπάσει· δέν θά ζητήσω βέβαια ἀπό κάποιον ἄλλο».

13. Ἀδελφός εἶπε στόν ἀββᾶ Ποιμένα*: «Ἐάν δώσω στόν ἀδελφό μου λίγο ψωμί ἤ κάτι ἄλλο, οἱ δαίμονες μολύνουν τήν πράξη αὐτή σάν νά γίνεται ἀπό ἀνθρωπαρέσκεια». Ἀπαντᾶ ὁ Γέροντας: «Κι ἄν ἀκόμη γίνεται ἀπό ἀνθρωπαρέσκεια, ἐμεῖς θά δώσουμε στόν ἀδελφό ὅ,τι χρειάζεται».

Καί τοῦ εἶπε τήν ἑξῆς παραβολή: «Δυό ἄνθρωποι ἦσαν γεωργοί καί κατοικοῦσαν στήν ἴδια πόλη. Ὁ ἕνας ἀπ᾿ αὐτούς ἔσπειρε καί εἶχε λίγη σοδειά καί ἀκάθαρτη. Ὁ ἄλλος ἀμέλησε καί δέν ἔσπειρε, γι᾿ αὐτό δέν εἶχε καθόλου σοδειά. Ἄν ἔπεφτε πείνα, ποιός ἀπό τούς δυό θά εἶχε νά ζήσει;» «Αὐτός πού ἔβγαλε τή λίγη καί ἀκάθαρτη σοδειά» ἀποκρίθηκε ὁ ἀδελφός. «Ἔτσι λοιπόν κι ἐμεῖς —λέει ὁ Γέροντας— ἄς σπέρνουμε λίγα, ἔστω καί ἀκάθαρτα, γιά νά μήν πεθάνουμε ἀπό τήν πείνα».

14. Ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Ποιμένα μετά ἀπό τίς δυό πρῶτες ἑβδομάδες τῆς Σαρακοστῆς. Ἐξαγόρευσε τούς λογισμούς του καί καθώς ἀναπαύθηκε ἡ ψυχή του τοῦ λέει: «Παρά λίγο θά ἐμπόδιζα τόν ἑαυτό μου νά ἔρθει σήμερα ἐδῶ». «Γιατί;» τόν ρωτᾶ ὁ Γέροντας. «Σκέφθηκα —τοῦ λέει

γει αὐτῷ ὁ ἀδελφός· Εἶπον μήποτε διὰ τὴν τεσσαρακοστὴν οὐκ ἀνοίγετέ μοι. Λέγει ὁ ἀββᾶς Ποιμήν· Ἡμεῖς οὐκ ἐμάθομεν κλείειν τὴν ξυλίνην θύραν, ἀλλὰ μᾶλλον τὴν τῆς γλώσσης θύραν κλείομεν.

15. Ἠρώτησεν ὁ ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης τὸν ἀββᾶν Παμβώ· Εἰπέ μοι ῥῆμα. Καὶ μετὰ πολλοῦ κόπου ὁ Γέρων εἶπεν αὐτῷ· Θεόδωρε, ὕπαγε ἔχε τὸ ἔλεός σου ἐπὶ πάντας· τὸ γὰρ ἔλεος εὗρε παρρησίαν ἐνώπιον τοῦ Θεοῦ.

16. Εἶπεν ἡ ἀμμᾶς Σάρρα ὅτι καλόν ἐστι καὶ δι᾽ ἀνθρώπους ποιῆσαι ἐλεημοσύνην· εἰ γὰρ καὶ διὰ τὸ ἀρέσαι ἀνθρώποις γίνεται, ἀλλ᾽ ἔρχεται πάλιν εἰς τὸ κατὰ Θεὸν ἀρέσαι.

17. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σεραπίωνος ὅτι ἐν Ἀλεξανδρείᾳ ὑπήντησε ῥιγῶντι πτωχῷ, καὶ στὰς καθ᾽ ἑαυτὸν ἐλογίζετο· Πῶς ἐγὼ ὁ δοκῶν ἀσκητὴς εἶναι χιτῶνα φορῶ, καὶ οὗτος ὁ πτωχός, μᾶλλον δὲ ὁ Χριστός, ἀπὸ ῥίγους ἀποθνῄσκει; Φύσει ἐὰν ἀφήσω αὐτὸν ἀποθανεῖν, ὡς φονεὺς κρίνομαι ἐν ἡμέρᾳ τῆς Κρίσεως. Καὶ ἀποδυσάμενος ὡς καλὸς ἀθλητὴς δέδωκε τὸ ἱμάτιον ὃ ἐφόρει τῷ πτωχῷ καὶ ἐκάθητο ἔχων ἐν τῇ μάλῃ αὐτοῦ τὸ μικρὸν εὐαγγέλιον, ὅπερ ἀεὶ ἐβάσταζε. Παρερχόμενος οὖν ὁ λεγόμενος ἐπὶ τῆς εἰρήνης, ὡς εἶδεν αὐτὸν γυμνόν, λέγει πρὸς αὐτόν· Ἀββᾶ Σεραπίων, τίς σε ἀπέδυσεν; Καὶ ἐξενεγκὼν τὸ μικρὸν εὐαγγέλιον λέγει πρὸς αὐτόν· Οὗτός με ἀπέδυσε.

Καὶ ἀναστὰς ἐκεῖθεν ὑπαντᾷ ἄλλῳ τινὶ ὑπὸ ἑτέρου κρα-

---

31. Ἡ ἔννοια παρρησία ἐδῶ χρησιμοποιεῖται μέ τήν καλή της ἔννοια. Βλ. Ι ὑποσημ. 7 σελ. 24.

ὁ ἀδελφός— μήν τυχόν δέν μοῦ ἀνοίξετε, ἐπειδή εἶναι ἡ περίοδος τῆς Σαρακοστῆς». Καί ὁ ἀββᾶς Ποιμήν ἀποκρίνεται: «Ἐμεῖς δέν μάθαμε νά κλείνουμε τήν ξύλινη θύρα, ἀλλά μᾶλλον τή θύρα τῆς γλώσσας».

15. Παρακάλεσε ὁ ἀββᾶς Θεόδωρος* τῆς Φέρμης τόν ἀββᾶ Παμβώ*: «Πές μου ἕναν λόγο». Καί μέ πολλή δυσκολία ὁ Γέροντας τοῦ εἶπε: «Θεόδωρε, πήγαινε καί νά 'σαι σπλαχνικός πρός ὅλους. Γιατί ἡ εὐσπλαχνία βρίσκει πάντα παρρησία[31] ἐνώπιον τοῦ Θεοῦ».

16. Εἶπε ἡ ἀμμᾶς Σάρρα ὅτι καλό εἶναι νά κάνει κανείς ἐλεημοσύνη ἔστω καί γιά τά μάτια τῶν ἀνθρώπων. Γιατί καί ἀπό ἀνθρωπαρέσκεια ἄν γίνεται, φθάνει κατόπιν νά γίνεται γιά ν᾽ ἀρέσει στόν Θεό[32].

17. Ἔλεγαν γιά τόν ἀββᾶ Σεραπίωνα ὅτι στήν Ἀλεξάνδρεια συνάντησε ἕναν φτωχό πού ἔτρεμε ἀπό τό κρύο· στάθηκε τήν ὥρα ἐκείνη καί συλλογίσθηκε: «Πῶς ἐγώ πού ἔχω τήν ἰδέα ὅτι εἶμαι ἀσκητής φορῶ χιτώνα, καί αὐτός ὁ φτωχός —καλύτερα ὁ Χριστός— πεθαίνει ἀπό τό κρύο; Σίγουρα ἄν τόν ἀφήσω καί πεθάνει, θά κριθῶ τήν ἡμέρα τῆς Κρίσεως ὡς φονιάς». Καί ξεντύθηκε ὡς καλός ἀθλητής καί ἔδωσε τό ροῦχο πού φοροῦσε στόν φτωχό· καί καθόταν ἔχοντας στή μασχάλη του τό μικρό εὐαγγέλιο, πού τό κρατοῦσε πάντοτε. Περνώντας ἀπό κεῖ αὐτός πού ἀποκαλεῖται ὁ ἐπί τῆς τάξεως, σάν τόν εἶδε γυμνό, τοῦ λέει: «Ἀββᾶ Σεραπίων, ποιός σέ ξέντυσε;» Βγάζει ὁ ἀββᾶς τό μικρό εὐαγγέλιο καί τοῦ λέει: «Αὐτός μέ ξέντυσε».

Σηκώνεται κατόπιν ἀπό κεῖ καί ἀνταμώνει κάποιον

---

32. Πρβλ. ἀπόφθ. 13.

τουμένῳ διὰ χρέος καὶ μὴ ἔχοντι δοῦναι. Πωλήσας οὖν τὸ μικρὸν εὐαγγέλιον ὁ ἀθάνατος Σεραπίων δέδωκεν εἰς τὸ χρέος τοῦ διαζομένου ἀνθρώπου. Καὶ εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ γυμνός.

Ὡς οὖν εἶδεν αὐτὸν ὁ μαθητὴς αὐτοῦ γυμνόν, λέγει αὐτῷ· Ἀββᾶ, ποῦ τὸ μικρὸν κολόβιον; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Προέπεμψα αὐτό, τέκνον, ὅπου χρήζομεν αὐτό. Λέγει πρὸς αὐτὸν ὁ ἀδελφός· Ποῦ τὸ μικρὸν εὐαγγέλιον; Ἀπεκρίθη ὁ Γέρων· Φύσει, τέκνον, αὐτὸν τὸν λέγοντά μοι καθ' ἡμέραν πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, αὐτὸν ἐπώλησα καὶ ἔδωκα πτωχοῖς, ἵνα ἐν ἡμέρᾳ Κρίσεως εὕρωμεν περισσοτέραν παρρησίαν πρὸς αὐτόν.

18. Ἠρώτησεν ὁ ἀββᾶς Τιμόθεος ὁ πρεσβύτερος τὸν ἀββᾶν Ποιμένα λέγων· Ἔστι γυνή τις ἐν Αὐγύπτῳ ἥτις πορνεύει καὶ τὸν μισθὸν αὐτῆς δίδωσιν ἐλεημοσύνην. Καὶ εἶπεν ὁ ἀββᾶς Ποιμήν· Οὐ μένει ἐν τῇ πορνείᾳ· φαίνεται γὰρ ἐν αὐτῇ καρπὸς πίστεως. Ἐγένετο δὲ ἐλθεῖν τὴν μητέρα τοῦ πρεσβυτέρου Τιμοθέου πρὸς αὐτόν, καὶ ἠρώτησεν αὐτὴν λέγων· Ἐκείνη ἡ γυνὴ ἔμεινε πορνεύουσα; Ἡ δὲ λέγει· Ναί, καὶ προσέθηκε τοὺς ἐραστάς, πλὴν καὶ τὴν ἐλεημοσύνην. Καὶ ἀνήγγειλεν ὁ ἀββᾶς Τιμόθεος τῷ ἀββᾷ Ποιμένι. Ὁ δὲ εἶπεν· Οὐ μένει ἐν τῇ πορνείᾳ.

Ἐλθοῦσα δὲ πάλιν ἡ μήτηρ τοῦ ἀββᾶ Τιμοθέου εἶπεν αὐτῷ· Οἶδας ὅτι ἡ πόρνη ἐκείνη ἐζήτει ἐλθεῖν μετ' ἐμοῦ, ἵνα εὔξησθε ὑπὲρ αὐτῆς; Ὁ δὲ ἀνήγγειλε τῷ ἀββᾷ Ποιμένι καὶ λέγει αὐτῷ ἐκεῖνος· Μᾶλλον σὺ ἄπελθε καὶ σύντυχον αὐτῇ. Ὁ δὲ ἀπῆλθε κατὰ τὸν λόγον τοῦ Γέροντος καὶ αὐτὴ ἰδοῦσα αὐτὸν καὶ ἀκούσασα παρ' αὐτοῦ τὸν λόγον τοῦ Θεοῦ κατηνύγη καὶ ἔκλαυσε καὶ εἶπεν αὐτῷ· Ἐγὼ ἀπὸ τῆς σήμερον κολλῶμαι τῷ Θεῷ καὶ οὐ προσθήσω ἔτι τοῦ πορνεύειν. Καὶ

πού κρατοῦνταν γιά χρέος ἀπό ἄλλον, γιατί δέν εἶχε νά τοῦ τό ἐξοφλήσει. Πουλάει λοιπόν ὁ ἀθάνατος Σεραπίων τό μικρό εὐαγγέλιο καί δίνει τό χρέος τοῦ ἀνθρώπου πού βρισκόταν σέ δύσκολη θέση. Καί ἐπέστρεψε στό κελί του γυμνός. Σάν τόν εἶδε ὁ μαθητής του γυμνό, τοῦ λέει: «Ἀββᾶ, ποῦ εἶναι τό κοντό σου κολόβιο;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Τό 'στειλα, παιδί μου, ἐκεῖ ὅπου θά τό χρειασθοῦμε». «Καί τό μικρό εὐαγγέλιο —ρωτᾶ ὁ ἀδελφός— ποῦ εἶναι;» Κι ὁ Γέροντας ἀποκρίνεται: «Νά, παιδί μου, αὐτόν πού μοῦ 'λεγε καθημερινά, πούλησε ὅ,τι ἔχεις καί δῶσε τα στούς φτωχούς, αὐτόν πούλησα καί ἔδωσα σέ φτωχούς, ὥστε τήν ἡμέρα τῆς Κρίσεως νά βροῦμε μεγαλύτερη παρρησία ἐνώπιόν του».

18. Ὁ ἀββᾶς Τιμόθεος ὁ πρεσβύτερος εἶπε στόν ἀββᾶ Ποιμένα: «Εἶναι μιά γυναίκα στήν Αἴγυπτο, ἡ ὁποία πορνεύει καί τόν μισθό της τόν δίνει ἐλεημοσύνη». Καί ὁ ἀββᾶς Ποιμήν εἶπε: «Δέν θά συνεχίσει τήν πορνεία· γιατί διαφαίνεται σ' αὐτήν καρπός πίστεως». Συνέβη τότε νά ἐπισκεφθεῖ τόν πρεσβύτερο Τιμόθεο ἡ μητέρα του· τή ρωτάει λοιπόν: «Ἐκείνη ἡ γυναίκα συνεχίζει νά πορνεύει;» «Ναί —ἀπαντᾶ— μάλιστα αὔξησε τούς ἐραστές, ἀλλά καί τήν ἐλεημοσύνη». Πάει ὁ ἀββᾶς Τιμόθεος καί τό ἀναφέρει στόν ἀββᾶ Ποιμένα. Κι ἐκεῖνος εἶπε: «Δέν θά παραμείνει στήν πορνεία».

Ἦλθε πάλι ἡ μητέρα τοῦ ἀββᾶ Τιμοθέου καί τοῦ λέει: «Ξέρεις ὅτι ἡ πόρνη ἐκείνη ζητοῦσε νά ρθεῖ μαζί μου, γιά νά προσευχηθεῖτε γι' αὐτήν;» Ὁ Τιμόθεος εἶπε τή νέα πληροφορία στόν ἀββᾶ Ποιμένα κι ἐκεῖνος τοῦ συνέστησε λέγοντας: «Προτιμότερο εἶναι ἐσύ νά πᾶς καί νά τή συναντήσεις». Πράγματι πῆγε, σύμφωνα μέ τήν ὑπόδειξη τοῦ Γέροντα, καί αὐτή ὅταν τόν εἶδε καί ἄκουσε ἀπ' αὐτόν τόν λόγο τοῦ Θεοῦ, ἦλθε σέ κατάνυξη, ἔκλαψε καί τοῦ εἶπε: «Ἀπό σήμερα ἀφοσιώνομαι στόν Θεό· δέν θά συνεχίσω πιά τήν πορνεία». Καί

εὐθέως εἰσελθοῦσα εἰς μοναστήριον εὐηρέστησε τῷ Θεῷ.

19. Ἔλεγε Γέρων ὅτι ἦν τις ἀποταξάμενος ἀπὸ τοῦ κόσμου γυναῖκα ἔχων, ὁμοίως καὶ θυγατέρα κατηχουμένην, πλὴν χριστιανήν. Ἐμέρισεν οὖν τὰ πράγματα αὐτοῦ εἰς τρία μέρη. Τελευτησάσης δὲ ἐν τῷ μεταξὺ τῆς θυγατρὸς κατηχουμένης, ἀντίλυτρον ἔδωκε τοῖς πτωχοῖς τὸ μέρος αὐτῆς ὁ πατήρ, ἔτι δὲ καὶ τὸ τῆς γυναικὸς αὐτοῦ καὶ τὸ ἑαυτοῦ. Οὐκ ἐπαύετο δὲ παρακαλῶν τὸν Θεὸν περὶ αὐτῆς. Ἦλθεν οὖν αὐτῷ φωνὴ προσευχομένῳ ὅτι ἐβαπτίσθη ἡ θυγάτηρ σου, μὴ ἀθύμει. Ὁ δὲ ἠπίστησε. Λέγει οὖν αὐτῷ πάλιν ἡ ἀόρατος φωνή· Ὄρυξον εἰς τὸ μνημεῖον αὐτῆς, ἐὰν εὕρῃς αὐτήν. Ὁ δὲ πορευθεὶς ἐπὶ τὸν τάφον, ὤρυξε καὶ οὐχ εὗρεν αὐτήν. Μετετέθη γὰρ μετὰ τῶν πιστῶν.

20. Ἔλεγέ τις τῶν Πατέρων ὅτι ἦν τις μαγιστριανὸς πεμφθεὶς εἰς ἀπόκρισιν βασιλικήν. Καὶ ἐν τῇ ὁδῷ εὗρε νεκρὸν πτωχὸν κείμενον γυμνόν. Καὶ σπλαγχνισθεὶς λέγει τῷ παιδὶ αὐτοῦ· Λάβε τὸν ἵππον καὶ πρόελθε μικρόν. Καὶ κατελθὼν ἀπεδύσατο ἓν τῶν λινουδίων αὐτοῦ καὶ ἐπέθηκε τῷ κειμένῳ νεκρῷ καὶ ἀπῆλθε.

Πάλιν δὲ μεθ' ἡμέρας ἀπεστάλη ὁ αὐτὸς μαγιστριανὸς εἰς ἀπόκρισιν. Συνέβη δὲ ἐξελθόντος αὐτοῦ ἀπὸ τῆς πόλεως, ἔπεσεν ἀπὸ τοῦ ἵππου καὶ ἐκλάσθη ὁ ποὺς αὐτοῦ. Καὶ ἀποστρέφει αὐτὸν ὁ παῖς αὐτοῦ εἰς τὸν οἶκον αὐτοῦ, καὶ οἱ ἰατροὶ ἐπεμελοῦντο αὐτοῦ. Μετὰ δὲ πέντε ἡμέρας ἐμελανίασεν ὁ ποὺς αὐτοῦ. Καὶ ἰδόντες οἱ ἰατροὶ μελανωθέντα τὸν πόδα αὐτοῦ ἔνευσαν πρὸς ἀλλήλους ὅτι κοπῆναι ὀφείλει ὁ ποὺς

33. Οἱ μαγιστριανοί ἦσαν δημόσιοι λειτουργοί ἀνήκοντες στήν ὑπηρεσία τοῦ μαγίστρου, ἀξιωματούχου τῆς αὐτοκρατορικῆς αὐλῆς μέ πολλές δικαιοδοσίες. Βλ. καί *Μ. Γεροντικόν* τόμ. Β' σελ. 241.

εὐθύς μπῆκε σέ μοναστήρι καί ἔγινε εὐάρεστη στόν Θεό μέ τή ζωή της.

19. Ἔλεγε ἕνας Γέροντας ὅτι ἦταν κάποιος ὁ ὁποῖος ἐγκατέλειψε τόν κόσμο καί εἶχε σύζυγο καί θυγατέρα ἡ ὁποία ἦταν στήν τάξη τῶν Κατηχουμένων, ἀλλά χριστιανή στό φρόνημα. Μοίρασε λοιπόν τά ὑπάρχοντά του σέ τρία μέρη. Ἐν τῷ μεταξύ πέθανε ἡ θυγατέρα ἐνῷ ἦταν κατηχουμένη, καί ὁ πατέρας της τό δικό της τό μερτικό τό ἔδωσε στούς φτωχούς σάν ἀντίλυτρο, ἀλλά ἐπιπλέον καί τῆς γυναίκας του καί τό δικό του. Καί δέν ἔπαυε νά παρακαλεῖ τόν Θεό γιά τήν ψυχή της. Καθώς λοιπόν προσευχόταν τοῦ ἦλθε μιά φωνή: «Βαφτίσθηκε ἡ θυγατέρα σου, μή στενοχωρεῖσαι». Αὐτός δέν τό πίστεψε. Τοῦ λέει πάλι ἡ ἀόρατη φωνή: «Σκάψε τό μνῆμα της, ἄν τή βρεῖς». Πῆγε ὁ πατέρας στόν τάφο, ἔσκαψε ἀλλά δέν τή βρῆκε. Εἶχε μετατεθεῖ στήν τάξη τῶν πιστῶν.

20. Ἔλεγε ἕνας ἀπό τούς Πατέρες ὅτι κάποιος μαγιστριανός[33] ἐστάλη νά διεκπεραιώσει μιά ἐντολή βασιλική. Στό δρόμο πηγαίνοντας βρῆκε ἕναν νεκρό κατά γῆς γυμνό. Τόν πόνεσε καί λέει στόν ὑπηρέτη του: «Πάρε τό ἄλογο καί προχώρα λίγο». Κατέβηκε ὁ ἴδιος, ἔβγαλε ἕνα ἀπό τά λινά ροῦχα πού φοροῦσε, τό ἔβαλε πάνω στόν νεκρό καί ἔφυγε.

Μετά ἀπό κάποιες μέρες πάλι ἐστάλη ὁ ἴδιος μαγιστριανός γιά ὑπηρεσία. Καί συνέβη βγαίνοντας ἀπό τήν πόλη νά πέσει ἀπό τό ἄλογο καί ἔσπασε τό πόδι του. Τόν γύρισε ὁ ὑπηρέτης του πίσω στό σπίτι του καί οἱ γιατροί ἄρχισαν νά τόν φροντίζουν. Ἀλλά μετά ἀπό πέντε μέρες τό πόδι του μελάνιασε. Σάν εἶδαν οἱ γιατροί μελανιασμένο τό πόδι του, συνεννοήθηκαν μέ νεύματα ὅτι πρέπει νά κοπεῖ τό πόδι,

αὐτοῦ, ἐπεὶ σήπει ὅλον τὸ σῶμα καὶ ἀποθνήσκει ὁ ἄνθρωπος. Καὶ λέγουσιν αὐτῷ· Ἐρχόμεθα πρωὶ καὶ θεραπεύομέν σε. Ὁ δὲ ἀσθενῶν νεύει τῷ παιδὶ αὐτοῦ ἐξελθεῖν ὀπίσω τῶν ἰατρῶν καὶ μαθεῖν παρ' αὐτῶν τί βούλονται. Καὶ λέγουσιν αὐτῷ· Ὁ ποὺς τοῦ κυρίου σου ἐμελανίασεν καί, ἐὰν μὴ κοπῇ, ἀπόλλυται ὁ ἄνθρωπος. Ἐρχόμεθα πρωὶ καὶ ὃ θέλει ὁ Θεὸς ποιοῦμεν. Καὶ εἰσέρχεται ὁ δοῦλος κλαίων πρὸς τὸν δεσπότην αὐτοῦ καὶ λέγων ὅτι τάδε βουλεύονται περὶ σοῦ. Ὁ δὲ ἀκούσας ἐλυπήθη καὶ ἀπὸ πολλῆς ἀθυμίας οὐκ ἐκοιμήθη. Ἦν δὲ ἡ κανδήλα φαίνουσα.

Περὶ δὲ τὰ μέσα νυκτὸς ὁρᾷ ἄνθρωπον κατερχόμενον διὰ τῆς θυρίδος καὶ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγοντα αὐτῷ· Τί κλαίεις; Τί λυπεῖ σε; Ὁ δὲ λέγει· Κύριε, οὐ θέλεις ἵνα κλαύσω καὶ λυπηθῶ, ὅτι ἐκλάσθην καὶ τάδε βουλεύονται οἱ ἰατροὶ περὶ ἐμοῦ; Καὶ λέγει αὐτῷ ὁ φανείς· Δεῖξόν μου τὸν πόδα σου. Καὶ ἀλείφει αὐτὸν καὶ λέγει· Ἀνάστα ἄρτι καὶ περιπάτει. Καὶ λέγει ὁ ἀσθενῶν· Κέκλασται ὁ πούς μου καὶ οὐ δύναμαι. Καὶ λέγει αὐτῷ· Ἐπιστηρίχθητι ἐπ' ἐμέ. Καὶ ἐπιστηριχθεὶς περιεπάτησε χωλεύων. Καὶ λέγει αὐτῷ ὁ φανείς· Ἀκμὴν χωλαίνεις; Θὲς ἑαυτὸν πάλιν. Καὶ δῆθεν πάλιν ἀλείφει αὐτὸν ἐξισῶν τοὺς πόδας αὐτοῦ. Καὶ λέγει αὐτῷ· Ἔγειρε ἄρτι καὶ περιπάτει. Καὶ ἀναστὰς περιεπάτησεν ὑγιῶς. Καὶ λέγει· Θὲς ἑαυτόν, ἀναπαύθητι. Καὶ εἶπεν αὐτῷ τινας λόγους περὶ ἐλεημοσύνης, ὅτι εἶπεν ὁ Κύριος· Μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται καὶ ἀνίλεως ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεος καὶ ὅσα τοιαῦτα. Καὶ λέγει αὐτῷ· Σῴζου. Καὶ εἶπεν ὁ μαγιστριανός· Ὑπάγεις; Καὶ λέγει αὐτῷ· Ναί, καὶ τί θέλεις ἐξ ὅτου ὑγίανας; Λέγει

34. Ματθ. 5, 7. 35. Ἰακ. 2, 13.

γιατί θά σαπίσει ὅλο τό σῶμα καί θά πεθάνει ὁ ἄνθρωπος. Τοῦ λένε λοιπόν: «Θά ρθοῦμε τό πρωί καί θά σοῦ κάνουμε τή θεραπεία». Ὡστόσο ὁ ἀσθενής ἔκανε νεῦμα στόν ὑπηρέτη του νά βγεῖ πίσω ἀπό τούς γιατρούς καί νά μάθει τί σκέφτονται νά κάνουν. Καί αὐτοί τοῦ εἶπαν: «Τό πόδι τοῦ κυρίου σου μελάνιασε καί, ἄν δέν κοπεῖ, θά χάσει τή ζωή του ὁ ἄνθρωπος. Θά ρθοῦμε τό πρωί καί ἐκεῖνο πού θέλει ὁ Θεός θά κάνουμε».

Μπαίνει μέσα ὁ δοῦλος κλαίοντας καί λέει στόν κύριό του «τό καί τό σκέπτονται γιά σένα». Λυπήθηκε ἐκεῖνος σάν τ' ἄκουσε, καί ἀπό τήν πολλή του στενοχώρια δέν τόν ἔπιασε ὕπνος. Ἡ κανδήλα του ὅμως ἔφεγγε.

Κατά τά μεσάνυχτα βλέπει ἕναν ἄνθρωπο νά κατεβαίνει ἀπό τό παράθυρο, τόν πλησιάζει καί τοῦ λέει: «Γιατί κλαῖς; Τί σέ στενοχωρεῖ;» «Κύριε —ἀπαντᾶ ἐκεῖνος— νά μήν κλάψω καί νά μή λυπηθῶ πού ἔσπασε τό πόδι μου καί σκέφτονται τό καί τό οἱ γιατροί γιά μένα;» «Δεῖξε μου τό πόδι σου» λέει ὁ ἐμφανισθείς. Τό ἀλείφει καί λέει: «Σήκω τώρα καί περπάτα». «Μά, εἶναι σπασμένο τό πόδι μου —λέει ὁ ἄρρωστος— καί δέν μπορῶ». «Στηρίξου σέ μένα» ἐπιμένει ὁ ξένος. Πράγματι στηρίχθηκε καί περπάτησε κουτσαίνοντας. Ἀλλά ὁ ἐμφανισθείς τοῦ λέει: «Ἀκόμη κουτσαίνεις; Ξάπλωσε πάλι». Καί τάχα σιάζοντας τά πόδια του ἀλείφει πάλι τό σπασμένο καί τοῦ λέει: «Σήκω τώρα καί περπάτα». Σηκώθηκε λοιπόν καί περπάτησε ὅπως ἕνας ὑγιής. «Ξάπλωσε —τοῦ λέει κατόπιν— καί ἀναπαύσου». Καί τοῦ μίλησε λίγο γιά τήν ἐλεημοσύνη, ὅτι εἶπε ὁ Κύριος «Μακάριοι ὅσοι δείχνουν ἔλεος στούς ἄλλους, γιατί σ' αὐτούς θά δείξει ὁ Θεός τό ἔλεός του»[34]· ἐπίσης «στήν τελική κρίση δέν θά ὑπάρχει ἔλεος γι' αὐτόν πού δέν ἔδειξε εὐσπλαχνία»[35], καί ὅσα ἄλλα παρόμοια. Καί τοῦ λέει «Περαστικά». «Φεύγεις;» κάνει ὁ μαγιστριανός. «Ναί· —τοῦ ἀπαντᾶ— τί ζητᾶς ἄλλο, ἀφοῦ ἔγινες καλά;»

αὐτῷ ὁ μαγιστριανός· Τὸν Θεὸν τὸν πέμψαντά σε, εἰπέ μοι τίς εἶ. Λέγει αὐτῷ· Βλέψον εἰς ἐμέ· ἐπιγινώσκεις τοῦτο τὸ ὀθόνιον ἀκριβῶς; Λέγει αὐτῷ· Ναί, κύριε, ἐμόν ἐστι. Καὶ λέγει αὐτῷ· Ἐγώ εἰμι ὃν εἶδες νεκρὸν ἐρριμμένον ἐν τῇ ὁδῷ καὶ ἔρριψάς μοι τὸ λινούδιον. Καὶ ἀπέστειλέ με ὁ Θεὸς ἰάσασθαί σε. Εὐχαρίστει οὖν διὰ παντὸς τῷ Θεῷ. Καὶ ἀνῆλθε πάλιν δι' ἧς κατῆλθε θυρίδος. Καὶ ὑγιάνας, τὸν αἴτιον παντὸς ἀγαθοῦ ἐδόξαζε Θεόν.

21. Ἄλλος τις μαγιστριανὸς ὑποστρέφων ἐπὶ Κωνσταντινούπολιν ἀπὸ Παλαιστίνης ἀπαντᾷ τινι εἰς τὰ μέρη Τύρου πολυβλέποντι κατὰ τὴν ὁδόν, μηδένα ἔχοντι ὁδηγόν, ὅστις τῆς φωνοβολίας τῶν ἱπποκόμων ἀκούσας ἐπλαγίασεν παρὰ τὴν ὁδὸν μικρὸν καὶ ἐκτείνας τὰς χεῖρας, ἐλεεινὰ καὶ πτωχὰ ἐλάλει, ἐρρανιζόμενος παρ' αὐτῶν ἐλεημοσύνην. Ὁ δὲ περιφρονήσας παρῆλθεν αὐτόν. Καὶ ἀπὸ ὀλίγου διαστήματος μεταμεληθεὶς ἔστησε τὸν ἵππον καὶ λαβὼν τὸ κερμοφυλάκιον αὐτοῦ ἐξήνεγκεν ἓν τριμήσιον καὶ ἐπανέλυσε πρὸς τὸν πτωχὸν δι' ἑαυτοῦ καὶ παρέσχεν αὐτῷ τὸ τριμήσιον. Δεξάμενος δὲ ἐκεῖνος ηὔξατο αὐτὸν λέγων· Πιστεύω εἰς τὸν Θεὸν ὅτι ῥύσεταί σε ἡ ἐντολὴ αὐτοῦ ἀπὸ πειρασμοῦ. Ἐδέξατο οὖν ὁ μαγιστριανὸς τὴν εὐχὴν μετὰ πληροφορίας.

Καὶ ἀπελθὼν ἐν τῇ πόλει εὗρεν ἐκεῖ τὸν ἄρχοντα καί τινας παμμαχαρίους παρακαλοῦντας πλοϊσθῆναι ὑπ' αὐτοῦ καὶ ἀκοντιζομένους. Οἱ οὖν παμμαχάριοι ἰδόντες τὸν μαγιστριανὸν παρεκάλουν αὐτὸν αἰτῆσαι τὸν ἄρχοντα δοῦναι

36. Βλ. ὑποσημ. 7 σελ. 385.

37. Ἡ λ. τοῦ ἀρχαίου κειμένου: παμμαχάριοι, σημαίνει τούς παγκρατιαστές. Αὐτοί διαγωνίζονταν στό παγκράτιο, τό ὁποῖο ἦταν μιά πλήρης ἄσκηση τῶν Ἑλλήνων νέων στήν ἀρχαιότητα, πού περιελάμβανε καί τήν πάλη καί τήν πυγμαχία.

«(Σέ ὁρκίζω) στόν Θεό πού σ' ἔστειλε —παρακαλεῖ ὁ μαγιστριανός— πές μου ποιός εἶσαι;» «Κοίταξέ με —τοῦ λέει— ἀναγνωρίζεις αὐτό τό λινό ὕφασμα;» «Ναί, κύριε, δικό μου εἶναι» ἀποκρίνεται. «Ἔ, —τοῦ λέει— ἐγώ εἶμαι ὁ νεκρός ὁ πεταμένος πού εἶδες πάνω στό δρόμο καί ἔριξες ἐπάνω μου τό ροῦχο αὐτό. Μ' ἔστειλε ὁ Θεός νά σέ γιατρέψω. Νά εὐχαριστεῖς λοιπόν σ' ὅλη σου τή ζωή τόν Θεό». Καί ἔφυγε πάλι ἀπό τό παράθυρο πού μπῆκε. Ἔτσι γερός πιά δόξαζε τόν Θεό πού δίνει ὅλα τά ἀγαθά.

21. Κάποιος ἄλλος μαγιστριανός ἐπιστρέφοντας ἀπό τήν Παλαιστίνη στήν Κωνσταντινούπολη συνάντησε στά μέρη τῆς Τύρου ἕναν τυφλό πάνω στόν δρόμο, πού δέν εἶχε κανέναν συνοδό. Αὐτός ἀκούγοντας τόν θόρυβο τῶν ἱππέων ξάπλωσε γιά λίγο στήν ἄκρη τοῦ δρόμου καί ἁπλώνοντας τά χέρια ἔλεγε λόγια λύπης καί μιζέριας γιά νά πετύχει ἀπ' αὐτούς κάποια ἐλεημοσύνη. Ὁ μαγιστριανός ὅμως τόν προσπέρασε περιφρονώντας τον.

Ἀφοῦ προχώρησε λίγο διάστημα, μετάνιωσε καί σταματάει τό ἄλογο. Πιάνει τήν κάσα πού εἶχε τά ψιλά χρήματα, βγάζει ἕνα τριμήσιο νόμισμα[36] καί ἐπιστρέφει στόν φτωχό μόνος του καί τοῦ δίνει τό νόμισμα. Παίρνοντάς το ἐκεῖνος τοῦ εὐχήθηκε λέγοντας: «Πιστεύω στόν Θεό ὅτι ἡ ἐντολή Του θά σέ γλυτώσει ἀπό πειρασμό». Ὁ μαγιστριανός δέχθηκε τήν εὐχή πιστεύοντάς την.

Ὅταν ἔφθασε στήν πόλη, βρῆκε ἐκεῖ τόν ἄρχοντα καί μερικούς παγκρατιαστές[37], πού παρακαλοῦσαν νά τούς διαθέσει καράβι καί νά ἀνοιχθοῦν στή θάλασσα. Οἱ παγκρατιαστές σάν εἶδαν τόν μαγιστριανό, ἄρχισαν νά τόν παρα-

αὐτοῖς πλοῖον, ἐφ' ᾧ ἐκδημῆσαι τῆς πόλεως. Καὶ πεισθεὶς τῇ αὐτῶν παρακλήσει γέγονε πρὸς τὸν ἄρχοντα καὶ εἶπεν αὐτῷ περὶ βερέδων, ἵνα αὐτῷ δῷ, ᾔτησε καὶ περὶ τῶν παμμαχαρίων.

Λέγει οὖν τοῖς παμμαχαρίοις ὁ ἄρχων χαριεντιζόμενος· Πείσατε τὸν μαγιστριανὸν συμπλεῦσαι ὑμῖν, καὶ ἀπολύω ὑμᾶς. Οἱ δὲ τοῦτο ἀκούσαντες ἔμειναν ἐπὶ πολὺ παρακαλοῦντες τὸν μαγιστριανὸν ἀνασχέσθαι συμπλεῦσαι αὐτοῖς. Καὶ δὴ συνθεμένου αὐτοῦ ἔδωκεν αὐτοῖς τὸ πλοῖον ὁ ἄρχων.

Ἔπλευσαν οὖν ἅμα ὅ τε μαγιστριανὸς καὶ οἱ παμμαχάριοι ἐπιτήδειον ἄνεμον λαχόντες. Συνέβη δὲ τὴν νύκτα τὸν μαγιστριανὸν ὀχληθέντα ὑπὸ τῆς γαστρὸς ἀναστῆναι πρὸς χρείαν. Καὶ γενόμενος εἰς τὸ πλάγιον τοῦ πλοίου ῥαπισθεὶς ὑπὸ τοῦ ἀρμένου ἔπεσεν εἰς τὴν θάλασσαν. Ἤκουσαν οὖν οἱ ναῦται τοῦ πτώματος αὐτοῦ καί, ἐπειδὴ νὺξ ἦν καὶ ἄνεμος ἐπιτήδειος, οὐκ ἠδυνήθησαν αὐτὸν ἀνασπᾶσαι. Ἐφέρετο οὖν ὁ μαγιστριανὸς ὑπὸ τῶν ὑδάτων νομίζων ἀποθνήσκειν. Ἀλλὰ τῇ ἑξῆς θελήσει τοῦ Θεοῦ εὑρέθη πλοῖον ἐρχόμενον. Καὶ ἰδόντες αὐτὸν οἱ τοῦ πλοίου ἀνήγαγον αὐτὸν καὶ εἰσῆλθεν ἐν τῇ πόλει ἐν ᾗ καὶ οἱ παμμαχάριοι ἀπῆλθον.

Οἱ δὲ ναῦται ἑκατέρων τῶν πλοίων ἐξελθόντες ἐν τῇ γῇ γεγόνασιν ἐν καπηλείῳ τινί. Καὶ συμβαίνει τινὰ τῶν ναυτῶν τοῦ πλοίου ἐξ οὗ ἔπεσεν ὁ μαγιστριανὸς ἐπιμνησθέντα αὐτοῦ, στενάξαι καὶ εἰπεῖν· Ἆρα τί γέγονε τῷ μαγιστριανῷ ἐκείνῳ; Καὶ τοῦτο ἀκούσαντες οἱ τοῦ ἑτέρου πλοίου ναῦται ἐπηρώτησαν περὶ ποίου μαγιστριανοῦ ἐστέναξε. Καὶ μαθόντες τὸ πρᾶγμα εἶπον αὐτῷ ὅτι ἡμεῖς ἐσώσαμεν αὐτὸν καὶ ἔχομεν μεθ' ἑαυτῶν. Καὶ γνόντες ἐκεῖνοι ἐχάρησαν καὶ ἐλθόντες ἔλαβον

38. Ἡ λ. βέρεδος τοῦ ἀρχαίου κειμένου ἔχει λατινική ρίζα (veredus) καί σημαίνει τόν ταχυδρομικό ἵππο.

καλοῦν νά ζητήσει αὐτός ἀπό τόν ἄρχοντα νά τούς δοθεῖ καράβι γιά νά φύγουν ἀπό τήν πόλη. Πείσθηκε στίς παρακλήσεις τους καί παρουσιάσθηκε στόν ἄρχοντα. Τοῦ ἔκανε λόγο γιά τούς ταχυδρομικούς ἵππους[38], γιά νά τοῦ δώσει δηλαδή, ζήτησε ἐπίσης καί (καράβι) γιά τούς παγκρατιαστές.

Καί ὁ ἄρχοντας χαριτολογώντας λέει στούς παγκρατιαστές: «Νά πείσετε τόν μαγιστριανό νά ταξιδεύσει μαζί σας καί σᾶς στέλνω». Σάν τ' ἄκουσαν ἐκεῖνοι, πολλή ὥρα παρακαλοῦσαν τόν μαγιστριανό νά δεχθεῖ νά πλεύσει μαζί τους. Τελικά τό ἀπεφάσισε καί ὁ ἄρχοντας τούς διέθεσε τό καράβι.

Ἔπλευσαν λοιπόν ἀντάμα ὁ μαγιστριανός καί οἱ παγκρατιαστές, μόλις πέτυχαν κατάλληλο ἄνεμο. Συνέβη ὅμως τή νύκτα νά ἐνοχληθεῖ ὁ μαγιστριανός ἀπό τήν κοιλιά καί σηκώθηκε γιά σωματική του ἀνάγκη. Σάν βρέθηκε στό πλαϊνό τοῦ καραβιοῦ, δέχθηκε ἕνα δυνατό ράπισμα ἀπό τά ἄρμενα τοῦ ἱστοῦ καί ἔπεσε στή θάλασσα. Ἄκουσαν βέβαια οἱ ναῦτες τό πέσιμό του, ἀλλά καθώς ἦταν νύκτα καί ὁ ἄνεμος κυβερνοῦσε τό καράβι, δέν κατόρθωσαν νά τόν πάρουν ἐπάνω. Παραδομένος πλέον στή φορά τῶν κυμάτων ὁ μαγιστριανός νόμιζε ὅτι ἦρθε τό τέλος του. Ἀλλά θέλησε ὁ Θεός καί σάν ξημέρωσε βρέθηκε νά ἔρχεται ἕνα καράβι. Μόλις τόν εἶδαν οἱ ναυτικοί, τόν ἀνέβασαν ἐπάνω καί ἦρθε στήν πόλη, στήν ὁποία πῆγαν καί οἱ παγκρατιαστές.

Οἱ ναῦτες καί τοῦ ἑνός καί τοῦ ἄλλου καραβιοῦ ὅταν βγῆκαν στή στεριά, βρέθηκαν σέ κάποιο μαγειρεῖο. Καί ἕνας ἀπό τούς ναῦτες τοῦ πλοίου, ἀπό τό ὁποῖο ἔπεσε ὁ μαγιστριανός, τόν θυμήθηκε καί ἀναστέναξε λέγοντας: «Ἄραγε τί νά ἔγινε μέ τόν μαγιστριανό ἐκεῖνον;» Ὅταν τ' ἄκουσαν αὐτό οἱ ναῦτες τοῦ ἄλλου πλοίου, ρώτησαν γιά ποιόν μαγιστριανό ἀναστέναξε. Καί μαθαίνοντας τήν ὑπόθεση τοῦ λένε «ἐμεῖς τόν σώσαμε καί τόν ἔχουμε μαζί μας». Μόλις τό 'μαθαν ἐκεῖνοι χαρούμενοι πῆγαν καί τόν παρέλαβαν.

αὐτόν. Καὶ διηγήσατο αὐτοῖς ὁ μαγιστριανὸς ὅτι ὁ πολυβλέπων, ᾧτινι ἔδωκα κατὰ τὴν ὁδὸν τὸ τριμήσιον, αὐτός με ἐβάστασε περιπατῶν ἐπὶ τὰ ὕδατα. Καὶ τοῦτο ἀκούσαντες ἐδόξασαν τὸν σωτῆρα Θεόν.

Ἐκ τούτου οὖν μανθάνομεν ὅτι ἡ ἐκ διαθέσεως ἐλεημοσύνη οὐκ ἀπόλλυται, ἀλλ' ἐν καιρῷ ἀνάγκης ἀμείβεται ὁ Θεὸς τὸν ἐλεήμονα. Κατὰ τὴν θείαν οὖν Γραφήν, μὴ ἀποσχώμεθα εὖ ποιεῖν ἐνδεεῖ, ἡνίκα ἡ χεὶρ ἡμῶν εὐπορεῖ.

22. Ἔλεγέ τις τῶν φιλοχρίστων, ἔχων τὸ χάρισμα τῆς ἐλεημοσύνης, ὅτι ὀφείλει ὁ παρέχων ἐλεημοσύνην ὡς αὐτὸς ἐκεῖνος λαμβάνων, οὕτω παρέχειν. Ἡ τοιαύτη ἐλεημοσύνη πλησιάζει πρὸς Θεόν.

23. Ἔλεγέ τις ὅτι ἐν Ἀλεξανδρείᾳ ἦν τις πλούσιος καὶ ἠσθένησε. Καὶ δειλιάσας τὸν θάνατον λαμβάνει τριάκοντα λίτρας χρυσίου καὶ παρέχει αὐτὸ τοῖς πτωχοῖς. Ἐγένετο δὲ αὐτῷ ὑγιᾶναι, καὶ ἤρξατο μεταμελεῖσθαι ἐφ' οἷς ἐποίησεν.

Εἶχε δέ τινα φίλον εὐλαβῆ καὶ ἐθάρρησεν αὐτῷ ὅτι μεταμεμέλημαι ἐφ' οἷς ἐποίησα. Ὁ δὲ εἶπεν αὐτῷ ὅτι· Ὤφειλες μᾶλλον χαίρειν τῷ Χριστῷ προσενέγκας αὐτά. Ὁ δὲ οὐκ ἐπείθετο. Λέγει οὖν αὐτῷ ἐκεῖνος· Ἰδοὺ αἱ τριάκοντα λίτραι· ἦν γὰρ πλούσιος καὶ αὐτός. Δεῦρο οὖν εἰς τὸν ἅγιον Μηνᾶν καὶ εἰπέ· Οὔκ εἰμι ἐγὼ ὁ ποιήσας τὴν ἐντολήν, ἀλλ' οὗτός ἐστι, καὶ λαβὲ αὐτάς.

39. Παροιμ. 3, 27-28.

40. Πρόκειται γιά τόν ναό τοῦ μεγαλομάρτυρα ἁγίου Μηνᾶ (ἡ μνήμη του 11 Νοεμβρίου), πού κτίσθηκε ἐπάνω στόν τάφο τοῦ μάρτυρα κοντά στήν Ἀλεξάνδρεια ἐπί τῆς ἀρχιερατείας τοῦ Μεγάλου Ἀθανασίου. Λόγω τῶν πολλῶν θαυμάτων πού ἐγίνοντο ἀπό τόν ἅγιο, κατέστη θρησκευτικό κέντρο ὅπου συνέρρεαν πλήθη προσκυνητῶν καί ἀπό ξένες χῶρες. Βλ. *Μ. Γεροντικόν* τόμ. Β'

Καί ὁ μαγιστριανός τούς διηγήθηκε ὅτι «ὁ τυφλός στόν ὁποῖο ἔδωσα τό τριμήσιο πάνω στόν δρόμο, ὁ ἴδιος μέ κρατοῦσε περπατώντας πάνω στή θάλασσα». Καί αὐτό μόλις τ' ἄκουσαν δόξασαν τόν Σωτήρα Θεό.

Ἀπ' αὐτό λοιπόν τό περιστατικό μαθαίνουμε ὅτι ἡ ἐλεημοσύνη πού γίνεται ἀπό διάθεση, δέν πάει χαμένη· σέ ὥρα ἀνάγκης ὁ Θεός ἀνταμείβει τόν ἐλεήμονα. Σύμφωνα μέ τήν ἁγία Γραφή λοιπόν «νά μήν ἀποφεύγουμε νά βοηθοῦμε τόν φτωχό, ὅταν τό χέρι μας ἔχει νά δώσει»[39].

22. Κάποιος φιλόχριστος, πού εἶχε τό χάρισμα τῆς ἐλεημοσύνης, ἔλεγε ὅτι αὐτός πού κάνει ἐλεημοσύνη, ὀφείλει νά τήν κάνει σάν νά εἶναι ὁ ἴδιος πού τήν παίρνει. Τέτοια ἐλεημοσύνη πλησιάζει πρός τόν Θεόν.

23. Διηγοῦνταν κάποιος ὅτι στήν Ἀλεξάνδρεια ζοῦσε ἕνας πλούσιος, ὁ ὁποῖος ἀρρώστησε· καί ἀπό φόβο μήπως πεθάνει, παίρνει τριάντα λίτρες χρυσό καί τίς μοιράζει στούς φτωχούς. Ὅμως συνέβη νά γίνει καλά καί ἄρχισε νά μετανιώνει γιά τήν προσφορά πού ἔκανε στούς φτωχούς.

Αὐτός εἶχε ἕνα φίλο, εὐλαβή ἄνθρωπο, πού τοῦ ἐμπιστεύθηκε ὅτι «μετάνιωσα γι' αὐτό πού ἔκανα». Κι ἐκεῖνος τοῦ λέει: «Μᾶλλον ἔπρεπε νά χαίρεσαι, γιατί στόν Χριστό τά πρόσφερες». Ἀλλά ἐκεῖνος παρέμενε ἀμετάπειστος. Τοῦ λέει λοιπόν ὁ φίλος: «Νά, οἱ τριάντα λίτρες χρυσοῦ εἶναι στή διάθεσή σου —ἦταν βέβαια πλούσιος καί ὁ ἴδιος— πήγαινε ὅμως στόν ἅγιο Μηνᾶ[40] καί πές του: Δέν εἶμαι ἐγώ πού ἔκανα τήν ἐλεημοσύνη, ἀλλά εἶναι αὐτός. Καί πάρε τες».

σελ. 110 ὑποσημ. 78. Στό ἀνωτέρω ἀπόφθεγμα γίνεται ὑπαινιγμός καί τῆς θαυμαστῆς ἐνέργειας τοῦ ἁγίου νά ἀποκαλύπτει τούς ἐνόχους ἀδικιῶν καί ἐγκληματικῶν πράξεων κατά τῶν συνανθρώπων τους.

Καὶ ὡς ἦλθον εἰς τὸν ἅγιον Μηνᾶν, εἶπεν οὕτω καὶ ἔλαβε τὰς τριάκοντα λίτρας. Καὶ ἐν τῷ ἐξέρχεσθαι αὐτὸν τὴν θύραν ἀπέθανε. Λέγουσιν οὖν οἱ κατ' αὐτὸν τῷ κυρίῳ τῶν νομισμάτων· Λάβε τὰ σά. Ὁ δὲ εἶπεν· Μὴ γένοιτό μοι παρὰ Κυρίου. Ἐξ ὅτου γὰρ δέδωκα αὐτὰ τῷ Χριστῷ, αὐτοῦ εἰσιν, ἀλλὰ δοθῶσι πτωχοῖς. Οἱ δὲ ἀκούσαντες τὰ γενόμενα ἐφοβήθησαν καὶ ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῇ προθέσει τοῦ ἀνδρός.

24. Γέρων τις ἐκαθέζετο μετὰ ἀδελφοῦ κοινόβιον. Ὁ δὲ Γέρων ἦν ἐλεήμων. Καὶ γενομένου λιμοῦ ἤρξαντό τινες ἔρχεσθαι εἰς τὴν θύραν αὐτοῦ λαβεῖν ἀγάπην. Ὁ δὲ Γέρων παρεῖχε πᾶσι τοῖς ἐρχομένοις ἀγάπην.

Ἰδὼν δὲ ὁ ἀδελφὸς τὸ γενόμενον λέγει τῷ Γέροντι· Δός μοι τὸ μέρος μου τῶν ἄρτων καὶ ὡς θέλεις σὺ ποίησον τὸ μέρος σου. Ὁ δὲ Γέρων ἐμέρισε τοὺς ἄρτους καὶ ἐποίει τὴν ἐλεημοσύνην ἐκ τοῦ μέρους αὐτοῦ. Πολλοὶ δὲ συνέτρεχον πρὸς τὸν Γέροντα ἀκούοντες ὅτι πᾶσι παρέχει. Ἰδὼν δὲ ὁ Θεὸς εὐλόγησε τοὺς ἄρτους αὐτοῦ.

Ὁ δὲ ἀδελφὸς καταφαγὼν τὰ ἑαυτοῦ ψωμία λέγει τῷ Γέροντι· Ἐπειδὴ ἄλλα μικρὰ ψωμία ἔχω, ἀββᾶ, λάβε με κοινόβιον. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ὡς θέλεις ποιῶ. Καὶ ἐκαθέσθησαν πάλιν κοινόβιον.

Γενομένης δὲ εὐθηνίας ἤρχοντο πάλιν οἱ χρῄζοντες λαβεῖν ἀγάπην. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν εἰσελθὼν ὁ ἀδελφὸς εἶδε τοὺς ἄρτους λείψαντας. Ἦλθεν οὖν πτωχὸς καὶ εἶπεν ὁ Γέρων τῷ ἀδελφῷ δοῦναι αὐτῷ ἀγάπην. Ὁ δὲ εἶπεν· Οὐκέτι ἔνι, πάτερ. Λέγει αὐτῷ ὁ Γέρων· Εἴσελθε καὶ ζήτησον. Ὁ δὲ ἀδελφὸς εἰσελθὼν εὗρε τὸ ἀρτοθέσιον πεπληρωμένον ἄρτων. Καὶ τοῦ-

Μόλις ἔφθασαν στόν ἅγιο Μηνᾶ, εἶπε ἔτσι καί πῆρε τίς τριάντα λίτρες. Ἀλλά καθώς ἔβγαινε ἀπό τήν πόρτα, πέθανε. Λένε τότε οἱ δικοί του ἄνθρωποι στόν κύριο τῶν χρημάτων: «Πάρε πίσω τά χρήματά σου». Κι ἐκεῖνος εἶπε: «Μήν τό ἐπιτρέψει αὐτό ὁ Κύριος. Ἀπό τή στιγμή πού τά ἔδωσα στόν Χριστό, δικά Του εἶναι· ἄς μοιρασθοῦν στούς φτωχούς».

Ὅσοι ἄκουσαν αὐτά πού συνέβησαν, φοβήθηκαν, καί γιά τήν καλή προαίρεση τοῦ ἀνδρός δόξαζαν τόν Θεό.

24. Ἕνας Γέροντας ζοῦσε μέ ἀδελφό κοινοβιακά. Καί ὁ Γέροντας αὐτός ἦταν ἐλεήμων. Συνέβη νά πέσει πείνα καί ἄρχισαν νά 'ρχονται μερικοί στήν πόρτα του νά πάρουν ἐλεημοσύνη. Καί ὁ Γέροντας ἔδινε ἐλεημοσύνη σέ ὅλους ὅσοι ἔρχονταν.

Ὁ ἀδελφός βλέποντας αὐτό πού γινόταν, λέει στόν Γέροντα: «Δῶσ' μου τό ψωμί πού μοῦ ἀνήκει, καί ἐσύ τό δικό σου κάνε το ὅ,τι θέλεις». Ὁ Γέροντας χώρισε τά ψωμιά καί ἔκανε τήν ἐλεημοσύνη ἀπό τά δικά του. Πολλοί κατέφευγαν στόν Γέροντα, καθώς ἄκουαν ὅτι δίνει σέ ὅλους. Βλέποντάς το αὐτό ὁ Θεός εὐλόγησε τά ψωμιά πού εἶχε.

Ὁ ἀδελφός ἀφοῦ ἔφαγε τά ψωμάκια του, λέει στόν Γέροντα: «Ἀββᾶ, ἐπειδή λίγα ἀκόμη ψωμάκια μοῦ ἔμειναν, ἄς ζήσουμε πάλι κοινοβιακά». «Ὅπως θέλεις, θά κάνω» τοῦ λέει ὁ Γέροντας· καί ἄρχισαν πάλι τήν κοινοβιακή ζωή.

Ἀκολούθηκε ἐποχή ἀφθονίας, ἀλλά ὅσοι εἶχαν ἀνάγκη πήγαιναν πάλι νά πάρουν ἐλεημοσύνη. Κάποια ἀπό τίς μέρες αὐτές μπαίνει ὁ ἀδελφός στό κελάρι καί βλέπει ὅτι εἶχαν τελειώσει τά ψωμιά. Ἦλθε λοιπόν ἕνας πτωχός καί εἶπε ὁ Γέροντας στόν ἀδελφό νά τοῦ δώσει ἐλεημοσύνη. Κι ἐκεῖνος τοῦ λέει: «Δέν ὑπάρχει ψωμί, πάτερ». Ὁ Γέροντας ἐπέμεινε: «Μπές μέσα καί ψάξε». Μπῆκε ὁ ἀδελφός καί βρῆκε τό πανέρι γεμάτο ψωμιά. Φοβήθηκε ὅταν τό εἶδε αὐτό, καί πῆρε

το ἑωρακὼς ἐφοβήθη καὶ λαβὼν ἔδωκε τῷ πτωχῷ. Καὶ γνοὺς τὴν πίστιν καὶ ἀρετὴν τοῦ Γέροντος ἐδόξασε τὸν Θεόν.

25. Εἶπε Γέρων ὅτι ἔστι τις πολλὰ ποιῶν καλά, καὶ ὁ πονηρὸς ἐμβάλλει αὐτῷ ἀκριβολογίαν εἰς ἐλάχιστον πρᾶγμα, ἵνα τὸν μισθὸν ἀπολέσῃ πάντων ὧν ἐργάζεται ἀγαθῶν.

Καθημένου γάρ μού ποτε ἐν Ὀξυρρύγχῳ παρὰ πρεσβυτέρῳ τινὶ ποιοῦντι ἐλεημοσύνας, ἦλθε χήρα αἰτοῦσα αὐτὸν μικρὸν σῖτον. Καὶ λέγει αὐτῇ· Φέρε ἱμάτιον καὶ μετρῶ σοι. Ἡ δὲ ἤνεγκε. Καὶ ἀκριβάσας τὸ ἱμάτιον τῇ χειρὶ εἶπεν ὅτι· Μέγα ἐστί. Καὶ κατῄσχυνε τὴν χήραν. Εἶπον οὖν αὐτῷ ἐγώ· Ἀββᾶ, πέπρακας τὸν σῖτον; Λέγει· Οὐχί, ἀλλὰ ἀγάπην δέδωκα αὐτόν. Εἶπον οὖν αὐτῷ· Εἰ οὖν τὸ ὅλον δέδωκας αὐτῇ ἀγάπην, πῶς εἰς τὸ μέτρον ἠκριβεύσω καὶ κατῄσχυνας τὴν χήραν;

26. Ἀδελφὸς παρέβαλεν ἀναχωρητῇ τινι καὶ ἐκβαίνων λέγει αὐτῷ· Συγχώρησόν μοι, ἀββᾶ, ὅτι κατήργησά σε ἐκ τοῦ κανόνος σου. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ὁ ἐμὸς κανών, εἰ ἀναπαύσω σε καὶ ἀποστείλω ἐν εἰρήνῃ.

27. Ἀναχωρητὴς ἐκάθητο ἐγγὺς κοινοβίου πολιτείας ποιῶν πολλάς. Καὶ συνέβη τινὰς παραβαλεῖν εἰς τὸ κοινόβιον, καὶ παρεβιάσαντο αὐτὸν παρ᾽ ὥραν φαγεῖν. Μετὰ ταῦτα λέγουσιν αὐτῷ οἱ ἀδελφοί· Ἄρτι οὐκ ἐθλίβης, ἀββᾶ; Ὁ δὲ ἔφη· Ἡ θλῖψις ἡ ἐμή ἐστιν, ἐὰν ποιήσω τὸ ἴδιον θέλημα.

41. Ὀξύρρυγχος: Ἀρχαία πόλη στό δυτικό ἄκρο τῆς κοιλάδας τοῦ Νείλου, γνωστή ἀπό τούς πολυαρίθμους παπύρους πού βρέθηκαν κατά τά τέλη τοῦ

ἀμέσως καί ἔδωσε στόν φτωχό. Συνειδητοποίησε τότε τήν πίστη καί τήν ἀρετή τοῦ Γέροντα καί δόξασε τόν Θεό.

25. Εἶπε Γέροντας ὅτι εἶναι δυνατό νά κάνει κανείς πολλά καλά, ἀλλά ὁ πονηρός τοῦ βάζει τήν τάση νά ἀκριβολογεῖ σέ ἀσήμαντα πράγματα, γιά νά χάσει τόν μισθό ἀπό ὅλες τίς ἀγαθοεργίες πού κάνει.

Ὅταν κάποτε ἔμενα στήν Ὀξύρρυγχο[41], κοντά σ᾽ ἕναν πρεσβύτερο πού ἔκανε πολλές ἐλεημοσύνες, ἦρθε μιά χήρα καί τοῦ ζήτησε λίγο σιτάρι. «Φέρε —τῆς λέει— ἕνα πανί νά σοῦ βάλω». Καί ἔφερε. Κι αὐτός ἀφοῦ ἐξέτασε λεπτομερῶς τίς διαστάσεις τοῦ ὑφάσματος, τῆς λέει: «Εἶναι μεγάλο» καί καταντρόπιασε τή χήρα.

Τόν ρώτησα κατόπιν ἐγώ: «Ἀββᾶ, πούλησες τό σιτάρι;» «Ὄχι βέβαια —ἀπάντησε—, τό ἔδωσα ἐλεημοσύνη». Καί τοῦ ᾽πα τότε: «Ἐφόσον ὅλη ἡ προσφορά σου ἦταν ἐλεημοσύνη, πῶς στήν ποσότητα τήρησες λεπτομερή ἀκρίβεια καί καταντρόπιασες τή χήρα;»

26. Ἀδελφός ἐπισκέφθηκε κάποιον ἀναχωρητή καί φεύγοντας τοῦ λέει: «Συγχώρεσέ με, ἀββᾶ, γιατί σέ ἐμπόδισα ἀπό τόν κανόνα σου». «Ὁ δικός μου κανόνας —ἀποκρίθηκε— εἶναι νά σέ ἀναπαύσω καί νά σέ στείλω εἰρηνικό».

27. Κάποιος ἀναχωρητής ἔμενε πολύ κοντά σέ κοινόβιο καί ἔκανε πολλή ἄσκηση. Συνέβη νά πᾶνε κάποιοι στό κοινόβιο καί πίεσαν κι αὐτόν νά φάει ἐκτός τῆς ὁρισμένης ὥρας του. Κατόπιν τόν ρώτησαν οἱ ἀδελφοί: «Τήν ὥρα ἐκείνη δέν στενοχωρήθηκες, ἀββᾶ;» Κι ἐκεῖνος εἶπε: «Ἡ στενοχώρια ἡ δική μου εἶναι, ἄν κάνω τό δικό μου θέλημα».

19ου καί ἀρχές τοῦ 20οῦ αἰ. Στή θέση τῆς ἀρχαίας πόλης βρίσκεται σήμερα τό χωριό ἀλ-Μπάχνασα.

28. Ἔλεγον περί τινος Γέροντος ὅτι ἐν Συρίᾳ παρὰ τὴν ὁδὸν τῆς ἐρήμου ἔμενε. Καὶ αὕτη ἦν ἡ ἐργασία αὐτοῦ· οἵαν ὥραν ἤρχετο μοναχὸς ἐκ τῆς ἐρήμου, ἀγαθῇ πεποιθήσει ἐποίει αὐτῷ ἀνάπαυσιν.

Ἦλθεν οὖν ποτέ τις ἀναχωρητὴς καὶ ἐποίησεν αὐτῷ ἀνάπαυσιν. Ὁ δὲ οὐκ ἠθέλησε λαβεῖν λέγων ὅτι ἐγὼ νηστεύω. Καὶ λυπηθεὶς εἶπεν αὐτῷ· Μὴ παρίδῃς τὸν παῖδά σου, δέομαί σου, καὶ παρέλθῃς με· ἀλλὰ δεῦρο εὐξώμεθα· καὶ ἰδοὺ δένδρον ἐστὶν ὧδε· ᾧτινι συγκαμφθῇ γονυπετοῦντι καὶ προσευχομένῳ, τούτῳ ἐξακολουθήσωμεν. Ἔκλινεν οὖν γόνυ ὁ ἀναχωρητὴς εἰς προσευχὴν καὶ οὐδὲν γέγονεν. Ἔκλινε δὲ καὶ ὁ ξενοδόχος καὶ εὐθέως ἔκλινε τὸ δένδρον μετ᾽ αὐτοῦ. Καὶ πληροφορηθέντες εὐχαρίστησαν τῷ Θεῷ.

29. Ἦν τις μοναχὸς ἔχων ἀδελφὸν κοσμικὸν πτωχόν· καὶ εἴ τι εἰργάζετο, παρεῖχεν αὐτῷ. Ὅσον δὲ παρεῖχεν αὐτῷ, τοσοῦτον ἐπτώχευεν. Ἀπελθὼν δὲ ὁ ἀδελφὸς ἀνήγγειλε Γέροντί τινι τὸ πρᾶγμα. Εἶπε δὲ αὐτῷ ὁ Γέρων· Εἰ θέλεις μου ἀκοῦσαι, μηκέτι δὸς αὐτῷ τίποτε ἀλλ᾽ εἰπὲ αὐτῷ: Ἀδελφέ, ὅτε εἶχον, παρεῖχόν σοι· καὶ σὺ οὖν ὅ,τι εὐοδοῦσαι ἐξ ὧν ἐργάζῃ, φέρε μοι. Καὶ εἴ τι ἂν ἐνέγκῃ, λάβε παρ᾽ αὐτοῦ καί, ὅπου οἶδας ξένους ἢ γέροντας, δὸς αὐτοῖς καὶ παρακάλεσον, ἵνα εὐχὴν ποιήσωσιν ὑπὲρ αὐτοῦ. Ἀπελθὼν δὲ ὁ ἀδελφὸς ἐποίησεν οὕτω. Καὶ ὡς ἦλθεν ὁ κοσμικὸς ἀδελφὸς αὐτοῦ, ἐλάλησεν αὐτῷ, καθὼς εἶπεν ὁ Γέρων, καὶ ἀπῆλθε λυπούμενος.

42. Πρβλ. Γεν. 18, 3.

43. Ξενοδόχοι ἀποκαλοῦνταν ὅσοι εἶχαν τό ἐκκλησιαστικό διακόνημα νά φροντίζουν γιά τήν προστασία τῶν φτωχῶν καί τήν φιλοξενία τῶν ξένων, ἀλλά καί κάθε πιστός πού ἔθετε τόν ἑαυτό του στό ἔργο αὐτό τῆς φιλανθρωπίας.

28. Ἔλεγαν γιά κάποιον Γέροντα ὅτι ἔμενε στή Συρία, δίπλα στό δρόμο πού ὁδηγοῦσε στήν ἔρημο. Καί ἡ ἐργασία πού ἔκανε ἦταν ἡ ἑξῆς: Ὅποια ὥρα ἐρχόταν μοναχός ἀπό τήν ἔρημο, τοῦ πρόσφερε φιλοξενία μέ ἀγαθή διάθεση καί πίστη.

Ἦρθε κάποτε ἕνας ἀναχωρητής καί τοῦ ᾿βαλε τραπέζι. Ἐκεῖνος ὅμως δέν θέλησε νά φάει λέγοντας «ἐγώ νηστεύω». Λυπήθηκε ὁ Γέροντας καί τοῦ εἶπε: «Μήν περιφρονήσεις τόν δοῦλο σου, σέ παρακαλῶ, καί μέ ἀγνοήσεις[42]. Ἔλα νά προσευχηθοῦμε. Νά, ὑπάρχει ἐδῶ ἕνα δένδρο· σ᾽ ὅποιον θά λυγίσει καθώς γονατισμένος θά προσεύχεται, αὐτοῦ τήν πρόταση νά ἐφαρμόσουμε».

Γονατίζει λοιπόν ὁ ἀναχωρητής καί προσεύχεται, ἀλλά δέν ἔγινε τίποτε. Γονατίζει καί ὁ ξενοδόχος[43] καί εὐθύς ἔγειρε τό δένδρο πρός τό μέρος του. Εὐχαρίστησαν τόν Θεό γιά τήν πληροφορία πού τούς ἔδωσε.

29. Ἦταν ἕνας μοναχός πού εἶχε ἀδελφό λαϊκό φτωχό. Καί ὅ,τι ἔβγαζε ἀπό τό ἐργόχειρό του, τοῦ ἔδινε. Ἀλλά ὅσο τοῦ ἔδινε, τόσο καί φτωχότερος γινόταν.

Πάει λοιπόν ὁ ἀδελφός καί ἀναφέρει σέ κάποιον Γέροντα τήν ὑπόθεση. Καί ὁ Γέροντας τοῦ εἶπε: «Ἄν θέλεις νά μ᾽ ἀκούσεις, μήν τοῦ δώσεις ἀπό δῶ καί πέρα τίποτε, ἀλλά πές του: Ἀδελφέ, ὅταν εἶχα σοῦ ἔδινα. Καί σύ λοιπόν ὅ,τι ἔχεις τήν εὐχαρίστηση νά ἐξοικονομεῖς ἀπό τά ἔσοδα ἐργασίας σου, φέρε μου. Καί ὅ,τι τυχόν φέρει, πάρε το ἀπ᾽ αὐτόν καί ὅπου ξέρεις ὅτι ὑπάρχουν ξένοι ἤ γέροντες (ὑπερήλικες), δῶσε τα σ᾽ αὐτούς καί παρακάλεσέ τους νά προσευχηθοῦν γι᾽ αὐτόν». Ὁ ἀδελφός ἔφυγε καί ἐνήργησε κατά τήν ὑπόδειξή του. Ὅταν δηλαδή ἦρθε ὁ ἀδερφός του ὁ λαϊκός, τοῦ μίλησε ὅπως τοῦ εἶπε ὁ Γέροντας, καί ἔφυγε λυπημένος.

Καὶ ἰδοὺ ἐν τῇ πρώτῃ ἡμέρᾳ λαβὼν ἐκ τοῦ κήπου αὐτοῦ λεπτολάχανα ἤνεγκεν αὐτῷ. Λαβὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ ἔδωκε τοῖς γέρουσι. Καὶ παρεκάλεσεν αὐτοὺς εὔξασθαι ὑπὲρ αὐτοῦ. Καὶ εὐλογηθεὶς ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ.

Ὁμοίως δὲ καὶ πάλιν ἤνεγκε λάχανα καὶ ἄρτους τρεῖς. Καὶ λαβὼν ὁ ἀδελφὸς αὐτοῦ ἐποίησεν ὡς τὸ πρῶτον. Καὶ εὐλογηθεὶς ἀπῆλθεν. Ἐλθὼν δὲ τὸ τρίτον ἤνεγκε πολλὰ ἀναλώματα καὶ οἶνον καὶ ἰχθύας. Καὶ ἰδὼν ὁ ἀδελφὸς αὐτοῦ ἐθαύμασε. Καὶ ἐκάλεσε πτωχοὺς καὶ ἀνέπαυσεν αὐτούς. Εἶπε δὲ τῷ ἀδελφῷ αὐτοῦ· Μὴ χρείαν ἔχεις ὀλίγου ἄρτου; Ὁ δὲ λέγει· Οὐχί, κύριε· ἡνίκα γὰρ ἐλάμβανον παρὰ σοῦ τίποτε, ὡς πῦρ εἰσήρχετο εἰς τὸν οἶκόν μου καὶ ἀνήλισκεν αὐτά. Ἐξ ὅτου δὲ οὐ λαμβάνω παρὰ σοῦ, ὁ Θεὸς εὐλογεῖ με.

Ἀπελθὼν οὖν ὁ ἀδελφὸς ἀνήγγειλε τῷ Γέροντι πάντα τὰ συμβάντα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οὐκ οἶδας ὅτι τὸ ἔργον τοῦ μοναχοῦ πῦρ ἐστι καί, ὅπου δ' ἂν εἰσέλθῃ, καίει; Τοῦτο δὲ μᾶλλον ὠφελεῖ αὐτόν, τοῦ ποιεῖν ἐκ τοῦ κόπου αὐτοῦ ἐλεημοσύνην καὶ λαμβάνειν εὐχὴν παρὰ τῶν ἁγίων. Καὶ οὕτως εὐλογεῖται.

30. Μοναχός τις Θηβαῖος ἔσχε χάρισμα διακονίας παρὰ τοῦ Θεοῦ, ἵνα ἑκάστῳ τῶν προσερχομένων οἰκονομῇ τὰ πρὸς τὴν χρείαν. Συνέβη δὲ αὐτῷ ποτε εἰς κώμην τινὰ διδόναι ἀγάπην· καὶ ἰδοὺ γυνή τις ἦλθε πρὸς αὐτὸν λαβεῖν ἀγάπην φοροῦσα παλαιά. Καὶ ἰδὼν αὐτὴν ὅτι παλαιὰ φορεῖ, ἐχάλασε τὴν χεῖρα αὐτοῦ τοῦ δοῦναι αὐτῇ πολλὰ καὶ συνεστάλη ἡ χεὶρ αὐτοῦ καὶ ἀνήνεγκεν ὀλίγα. Καὶ ἰδοὺ ἦλθεν ἄλλη πρὸς αὐτὸν φοροῦσα καλῶς. Καὶ ἰδὼν αὐτῆς τὰ ἱμάτια, ἐχάλασε δοῦναι αὐτῇ ὀλίγα καὶ ἡπλώθη ἡ χεὶρ αὐτοῦ καὶ ἀνήνεγκε πολλά.

Ἀλλά νά πού τήν πρώτη μέρα κιόλας ἔβγαλε ἀπό τόν κῆπο χορταρικά σπαρμένα καί τοῦ τά πῆγε. Ὁ ἀδελφός του τά πῆρε καί τά ἔδωσε στούς ὑπερήλικες καί τούς παρακάλεσε νά προσευχηθοῦν γι' αὐτόν. Εὐλογήθηκε ἔτσι (ὁ λαϊκός) καί γύρισε στό σπίτι του. Τό ἴδιο κι ἄλλη φορά ἔφερε χορταρικά καί τρία ψωμιά, τά ὁποῖα πῆρε ὁ ἀδελφός καί ἔκανε ὅ,τι καί τήν πρώτη φορά. Εὐλογήθηκε κι ἔφυγε. Ὅταν ἦρθε τρίτη φορά, ἔφερε πολλά φαγώσιμα, ἐπιπλέον κρασί καί ψάρια. Σάν τά εἶδε ὁ ἀδερφός του, ἔμεινε ἔκπληκτος. Κάλεσε ἀμέσως φτωχούς καί τούς ἔκανε τραπέζι.

Καί τόν ἀδελφό του ρώτησε: «Μήπως ἔχεις ἀνάγκη ἀπό λίγο ψωμί;» «Ὄχι, κύριέ μου —τοῦ λέει. Ὅσο καιρό ἔπαιρνα ἀπό σένα κάτι, σάν φωτιά ἔμπαινε στό σπίτι μου καί τά ἐξαφάνιζε. Ἀπό τότε πού δέν παίρνω ἀπό σένα, ὁ Θεός μέ εὐλογεῖ».

Πηγαίνει ὁ ἀδελφός καί ἀναφέρει στόν Γέροντα ὅλα ὅσα συνέβησαν, καί ὁ Γέροντας τοῦ λέει: «Δέν γνωρίζεις ὅτι ἡ ἐργασία τοῦ μοναχοῦ εἶναι φωτιά καί ὅπου τυχόν μπεῖ, καίει; Περισσότερο ὠφελεῖ τόν ἀδελφό σου νά κάνει ἐλεημοσύνη ἀπό τόν κόπο του καί νά παίρνει εὐχές ἀπό τούς ἁγίους. Μ' αὐτόν τόν τρόπο εὐλογεῖται».

30. Κάποιος μοναχός ἀπό τή Θηβαΐδα εἶχε τό χάρισμα τῆς διακονίας ἀπό τόν Θεό, ὥστε στόν καθένα πού ἐρχόταν τοῦ ἐξοικονομοῦσε τά ἀναγκαῖα. Κάποια φορά πού σέ μιά ἐπαρχιακή πόλη ἔδινε ἐλεημοσύνη, προσῆλθε μιά γυναίκα νά πάρει ἐλεημοσύνη ντυμένη παλιά ἐνδύματα. Βλέποντάς την ντυμένη μέ παλιά ἔβαλε τό χέρι του νά τῆς δώσει πολλά, ὅμως μαζεύθηκε τό χέρι καί ἔβγαλε λίγα. Καί νά ἔρχεται ἄλλη γιά ἐλεημοσύνη, πού ἦταν καλά ντυμένη. Βλέποντας τήν ἐνδυμασία της ἔβαλε τό χέρι νά τῆς δώσει λίγα, ἀλλά ἅπλωσε αὐτό καί ἔβγαλε πολλά. Ρώτησε κατόπιν νά μάθει

Καὶ ἠρώτησε περὶ ἀμφοτέρων. Καὶ εἶπον ὅτι ἡ τὰ καλὰ φοροῦσα ἀπὸ ἀξιολόγων οὖσα ἐπτώχευσε καὶ ὑπολήψεως χάριν ἐχρήσατο τὰ ἱμάτια· ἡ ἄλλη δὲ χάριν τοῦ λαβεῖν, ἐχρήσατο τὰ παλαιά.

31. Παρέβαλόν ποτε δύο ἀδελφοὶ πρός τινα Γέροντα· καὶ ἡ συνήθεια τοῦ Γέροντος ἦν μὴ ἐσθίειν καθ' ἡμέραν. Καὶ ὡς εἶδεν τοὺς ἀδελφούς, ἐχάρη καὶ εἶπεν ὅτι ἡ νηστεία μισθὸν ἔχει καὶ ὁ ἐσθίων πάλιν ἀγάπην δύο ἐντολὰς πληροῖ, ὅτι τὸ ἴδιον θέλημα ἀφῆκε καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ ἐπλήρωσεν ἀναπαύσας τοὺς ἀδελφούς.

32. Ἦν τις τῶν ἁγίων οἰκῶν ἐν Αἰγύπτῳ εἰς ἔρημον τόπον. Ἦν δὲ καὶ ἄλλος ἀπὸ μήκοθεν αὐτοῦ μανιχαῖος· καὶ αὐτὸς πρεσβύτερος τῶν λεγομένων παρ' αὐτοῖς πρεσβυτέρων. Καὶ ὡς ἀπῆλθε παραβαλεῖν τινι τῶν ὁμοφύλων αὐτοῦ, κατέλαβεν αὐτὸν ἑσπέρα, ὅπου ἦν ὁ ἅγιος ὁ ὀρθόδοξος. Καὶ ἐν ἀγωνίᾳ ἐγένετο καὶ ἐφοβεῖτο πρὸς αὐτὸν εἰσελθεῖν καὶ κοιμηθῆναι· ᾔδει γὰρ ὅτι γινώσκει ὅτι μανιχαῖός ἐστι, καὶ μήποτε οὐ δέξεται αὐτόν· πλὴν ἀναγκασθεὶς ἔκρουσε. Καὶ ἀνοίξας ὁ Γέρων καὶ γνωρίσας αὐτὸν ἐδέξατο αὐτὸν μετὰ χαρᾶς καὶ ἠνάγκασεν αὐτὸν εὔξασθαι. Καὶ ἀναπαύσας αὐτὸν ἐκοιμήθησαν.

---

44. Μανιχαϊσμός: Δυαρχική θρησκεία πού τήν ἵδρυσε ὁ Μάνης ἀπό τή Β. Βαβυλώνα κατά τόν 3ο αἰ. Τό περιεχόμενό της εἶναι ἕνα κράμα ἀπό στοιχεῖα τῶν μεγάλων θρησκευμάτων τῆς ἐποχῆς ἐκείνης: Ζωροαστρισμοῦ, Βουδδισμοῦ, καί πολλά στοιχεῖα ἀπό τόν Χριστιανισμό. Λόγω τῆς οἰκουμενικῆς νοοτροπίας τοῦ ἀρχηγοῦ της εἶχε εὐρεία διάδοση σέ πολλές χῶρες· σ' ὁλόκληρη τήν περσική αὐτοκρατορία μέ τόν ἴδιο προσωπικά, καί στήν Αἴγυπτο, Βακτριανή

καί γιά τίς δυό. Τοῦ εἶπαν ὅτι αὐτή πού φοροῦσε τά καλά, ἦταν ἀπό πλούσια οἰκογένεια πού ξέπεσε σέ φτώχεια καί χρησιμοποιεῖ τά ροῦχα αὐτά ἀπό ὑπόληψη. Ἡ ἄλλη χρησιμοποιεῖ τά παλιά, γιά νά πάρει.

31. Δυό ἀδελφοί ἐπισκέφθηκαν κάποτε ἕναν Γέροντα, ὁ ὁποῖος συνήθιζε νά μήν τρώει κάθε μέρα. Ὅταν ὅμως εἶδε τούς ἀδελφούς χάρηκε καί εἶπε ὅτι ἡ νηστεία ἔχει μισθό, ἀλλά ἐκεῖνος πού τρώει χάριν τῆς ἀγάπης ἐκπληρώνει δυό ἐντολές, μία γιατί παραιτεῖται ἀπό τό δικό του θέλημα καί ἄλλη γιατί ἐφαρμόζει τήν κατεξοχήν ἐντολή τοῦ Θεοῦ, ἀναπαύοντας τούς ἀδελφούς.

32. Κάποιος ἅγιος ἀσκητής κατοικοῦσε σέ ἔρημο τόπο τῆς Αἰγύπτου. Καί ἕνας ἄλλος, μανιχαῖος[44], ἔμενε σέ μεγάλη ἀπόσταση ἀπ' αὐτόν. Ἦταν μάλιστα αὐτός πρεσβύτερος, ἀπ' αὐτούς πού οἱ ἴδιοι ἀποκαλοῦν πρεσβυτέρους. Καί καθώς εἶχε πάει νά ἐπισκεφθεῖ κάποιον τῆς δικῆς τους ὁμάδος, τόν βρῆκε ἡ νύχτα, ἐκεῖ πού ἔμενε ὁ ἅγιος ὁ ὀρθόδοξος. Τόν ἔπιασε ἀγωνία, ἀλλά δείλιαζε νά πάει στόν ὀρθόδοξο νά κοιμηθεῖ ἐκεῖ, γιατί ἤξερε ὅτι γνωρίζει πού εἶναι μανιχαῖος καί μήν τυχόν δέν τόν δεχθεῖ. Ἀναγκασμένος ὅμως ἀπό τά πράγματα χτύπησε· καί μόλις ἄνοιξε ὁ Γέροντας, τόν γνώρισε καί τόν δέχθηκε μέ πολλή χαρά. Τόν ἔβαλε νά κάνει τήν προσευχή (ὅπως συνήθιζαν) καί ἀφοῦ τοῦ πρόσφερε τά τῆς φιλοξενίας, ἔπεσαν νά κοιμηθοῦν.

(σημ. Τουρκεστάν καί Β. Ἀφγανιστάν) καί ἀργότερα στήν Ἰνδία καί Κίνα μέ ἀπεσταλμένους του. Ὁ Μάνης θανατώθηκε (277) ἀπό τόν Βαράμ Α', βασιλιά τῆς Περσίας (274-277), ὡς ὕποπτος συνεργάτης τῶν ἐχθρῶν τῆς Περσίας.

Ὀπαδός τοῦ μανιχαϊσμοῦ ἦταν καί ὁ ἱερός Αὐγουστίνος. Ἀλλά μετά τή μεταστροφή του στόν Χριστό καταπολέμησε τήν πλάνη τοῦ Μανιχαϊσμοῦ.

Ὁ δὲ μανιχαῖος ἐν ἑαυτῷ γενόμενος τῇ νυκτὶ ἐλογίζετο θαυμάζων πῶς οὐδεμίαν ὑποψίαν ὁ Γέρων ἔλαβεν κατ᾿ αὐτοῦ. Καὶ λέγει· Οὗτος τοῦ Θεοῦ ἐστιν ὄντως. Καὶ ἐλθὼν προσέπεσε τοῖς ποσὶ αὐτοῦ λέγων· Ἐγὼ ὀρθόδοξός εἰμι ἀπὸ τῆς σήμερον. Καὶ οὕτως ἔμεινε μετ᾿ αὐτοῦ.

33. Ἀνήρ τις ἦν ἐν τῷ Ἰσραὴλ πλούσιος, πλουτήσας ἀπὸ πλεονεξιῶν καὶ συκοφαντιῶν καὶ ἀδικιῶν. Οὗτος εἰς ἑαυτὸν ἐλθὼν καὶ ἐννοήσας τὴν κρίσιν, προσελθὼν τῷ διδασκάλῳ ἔφη· Δέομαί σου, ὁ νοῦς μου αἰχμάλωτος γέγονεν εἰς τὰς γηίνας τοῦ βίου φροντίδας· θεράπευσόν με οὖν, ἵνα μὴ ἀπόλωμαι. Ὁ δὲ μετέδωκεν αὐτῷ τὴν Σοφίαν Σολομῶντος καὶ ἀναγνοὺς εὗρεν· Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. Καὶ πτύξας τὸ βιβλίον ἀπέδωκε τῷ διδασκάλῳ λέγων· Καὶ τίς πιστότερος τοῦ Θεοῦ, ὃς κεφάλαια καὶ τόκους ἀποδώσει μοι ἐμοῦ ἐλεοῦντος τοὺς πτωχούς;

Καὶ ἀπελθὼν πέπρακε πάντα καὶ ἀπέδωκε τοῖς πτωχοῖς, μηδὲν ἑαυτῷ ἐάσας πλὴν τέσσαρας χρυσίνους εἰς ἀμφίασιν τοῦ σώματος αὐτοῦ. Καὶ γέγονε πτωχὸς σφόδρα καὶ οὐδεὶς αὐτὸν ἠλέει. Ὕστερον δὲ λέγει ἐν ἑαυτῷ· Πορεύομαι εἰς Ἰερουσαλὴμ πρὸς Κύριον τὸν Θεόν μου καὶ διακρίνομαι αὐτῷ ὅτι ἐπλάνησέ με διασκορπίσαι τὰ ὑπάρχοντά μοι.

Πορευομένου δὲ αὐτοῦ εἰς Ἰερουσαλὴμ εἶδε δύο ἄνδρας

45. Παροιμ. 19, 17. Ἡ Σοφία τοῦ Σολομῶντος περιέχεται στά δυό του ἔργα: Στό ὁμώνυμο ἔργο: Σοφία Σολομῶντος καί στίς Παροιμίες. Οἱ Παροιμίες καί ἡ Σοφία τοῦ Σολομῶντος περιλαμβάνονται στά ὀκτώ βιβλία τῆς Π. Διαθήκης τά ὀνομαζόμενα σοφιολογικά καί γενικῶς ποιητικά, διδακτικά, ἠθικά, γιατί μιλοῦν περί σοφίας μέ τήν ἠθική καί θρησκευτική ἔννοια.

Τήν νύχτα ὁ μανιχαῖος καθώς ἦταν μόνος μέ τόν ἑαυτό του, σκεφτόταν καί ἀποροῦσε πῶς ὁ Γέροντας δέν ἔβαλε καθόλου κακό λογισμό ἐναντίον του· καί εἶπε: «Αὐτός εἶναι τοῦ Θεοῦ ἄνθρωπος ὄντως». Τό πρωί πῆγε καί ἔπεσε στά πόδια του λέγοντας: «Ἐγώ ἀπό σήμερα εἶμαι ὀρθόδοξος». Κι ἔτσι ἔμεινε μαζί του.

33. Μεταξύ τῶν Ἰσραηλιτῶν ἦταν κάποιος πλούσιος ἄνθρωπος, πού τά πλούτη του τά εἶχε μαζέψει μέ τήν ἀπληστία, τή συκοφαντία καί τήν ἀδικία. Κάποτε συνῆλθε αὐτός καί καθώς σκέφθηκε σοβαρά τήν Κρίση, πῆγε στόν διδάσκαλο τοῦ Νόμου καί εἶπε: «Σέ παρακαλῶ, ὁ νοῦς μου εἶναι αἰχμάλωτος στίς γήινες φροντίδες τοῦ κόσμου αὐτοῦ· γιάτρεψέ με γιά νά μή χαθῶ». Καί ἐκεῖνος τοῦ ᾽δωσε νά διαβάσει τή Σοφία τοῦ Σολομῶντος, ὅπου διαβάζοντας ἔφθασε στό χωρίο «Αὐτός πού ἐλεεῖ τόν φτωχό, δανείζει στόν Θεό»[45]. Τό κλείνει καί ἐπιστρέφει τό βιβλίο λέγοντας: «Καί ποιός εἶναι περισσότερο ἀξιόπιστος ἀπό τόν Θεό, ὁ ὁποῖος θά μοῦ ἐπιστρέψει καί κεφάλαια καί τόκους, ἄν ἐγώ ἐλεῶ τούς φτωχούς;»

Πάει λοιπόν, πουλάει ὅσα εἶχε καί τά δίνει στούς φτωχούς χωρίς νά κρατήσει τίποτε γιά τόν ἑαυτό του ἐκτός ἀπό τέσσερα χρυσά νομίσματα γιά τό ἀπαραίτητο ντύσιμο τοῦ σώματός του. Ἔτσι ἔγινε πάρα πολύ φτωχός καί κανείς δέν τοῦ ᾽δινε ἐλεημοσύνη. Μετά ἀπό κάποιον καιρό λέει μέσα του: «Θά πάω στά Ἱεροσόλυμα στόν Κύριο καί Θεό μου καί θά παραπονεθῶ, πού μέ παραπλάνησε νά σκορπίσω τήν περιουσία μου».

Καθώς πήγαινε στά Ἱεροσόλυμα, συνάντησε δυό ἄν-

Εἶναι τά ἑξῆς: Ἰώβ, Ψαλμοί, Παροιμίαι, Ἐκκλησιαστής, Ἆσμα ἀσμάτων, Σοφία Σολομῶντος, Σοφία Σειράχ καί Θρῆνοι.

μαχομένους πρὸς ἀλλήλους εὑρόντας λίθον ἀπολεσθέντα ἐκ τῆς διπλοΐδος Ἀαρὼν τοῦ ἀρχιερέως. Αὐτοὶ δὲ οὐκ ᾔδεισαν ποταπὸς ἦν ὁ λίθος. Λέγει αὐτοῖς· Τί μάχεσθε; Καὶ εἶπον· Λίθον εὕρομεν καὶ ἀγωνιοῦμεν ὁποῖός ἐστι. Καὶ εἶπεν αὐτοῖς· Δότε μοι αὐτὸν καὶ λάβετε τέσσαρα δηνάρια. Οἱ δὲ μετὰ χαρᾶς ἔδωκαν αὐτῷ τὸν λίθον.

Ἀπελθὼν οὖν εἰς Ἱερουσαλὴμ ἔδειξεν αὐτὸν χρυσοχόῳ. Ὁ δὲ ἰδὼν τὸν λίθον λέγει αὐτῷ· Ποῦ εὗρες τὸν λίθον τοῦτον; Ἰδοὺ τρία ἔτη σήμερον ἡ Ἱερουσαλὴμ ἀκαταστατεῖ διὰ τὸν λίθον τοῦτον. Ἀλλὰ ἀπελθὼν δὸς αὐτὸν τῷ ἀρχιερεῖ καὶ πλουτῆσαι ἔχεις.

Αὐτοῦ δὲ πορευομένου εἰς τὸ ἱερόν, ἄγγελος Κυρίου εἶπε τῷ ἀρχιερεῖ· Ἐλεύσεται ἄνθρωπος πρὸς σὲ ἔχων τὸν ἀπολεσθέντα λίθον· δὸς αὐτῷ χρυσίον καὶ ἀργύριον καὶ λίθους τιμίους, ὅσους ἂν βουληθείη. Καὶ μαστίξας τῷ ἀνθρώπῳ εἶπε: Μὴ δίσταζε ἐν τῇ καρδίᾳ σου μηδὲ ἀπίστει τῷ Θεῷ, ὅτι ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. Ἰδοὺ δέδωκέ σοι ἑπταπλασίονα ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον.

Τέλος τῆς πραγματείας ὅτι φιλοξενεῖν χρὴ καὶ ἐλεεῖν ἐν ἱλαρότητι.

46. Διπλοΐδα: Πρόκειται γιά τήν χρυσοκέντητη ἐπωμίδα τῶν ἀρχιερέων (ἐφώδ), πού ἀποτελεῖται ἀπό τό ἐμπρόσθιο τμῆμα καί τό ὀπίσθιο καί περισφίγγεται μέ διακοσμημένη ζώνη. Στό ἐμπρόσθιο τμῆμα καί ἐπί τοῦ στήθους εἶναι τοποθετημένη μιά τετράγωνη πλάκα πού φέρει (σέ τέσσερες σειρές) δώδεκα πολυτίμους καί χρυσοδέτους λίθους μέ τά ὀνόματα τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ. Οἱ πολύτιμοι αὐτοί λίθοι θεωροῦνταν καί πολύ ἱεροί. Ἐφώδ φοροῦσαν καί ἱερεῖς ἀλλά ἦταν ἁπλούστερα.

δρες πού φιλονικοῦσαν, γιατί εἶχαν βρεῖ ἕνα πολύτιμο πετράδι, πού εἶχε χαθεῖ ἀπό τή διπλοΐδα[46] τοῦ ἀρχιερέα Ἀαρών[47]. Αὐτοί ὅμως δέν γνώριζαν τήν προέλευση τοῦ λίθου. «Γιατί μαλώνετε;» τούς ρωτᾶ. «Βρήκαμε ἕνα πετράδι —τοῦ λένε— καί μαλώνουμε τί πετράδι νά 'ναι». «Δῶστε το σέ μένα —τούς λέει— καί πάρτε τέσσερα δηνάρια». Τόν ἔδωσαν τόν λίθο μετά χαρᾶς.

Ὅταν ἔφθασε στά Ἱεροσόλυμα τόν ἔδειξε σέ χρυσοχόο. Ὁ χρυσοχόος σάν τόν εἶδε τόν ρωτᾶ: «Ποῦ βρῆκες τόν λίθο αὐτό; Ἐδῶ καί τρία χρόνια ἡ Ἱερουσαλήμ εἶναι ἀνάστατη ἐξαιτίας τοῦ λίθου αὐτοῦ. Πήγαινε καί δῶσε τον στόν ἀρχιερέα καί θά πλουτήσεις».

Καθώς πήγαινε αὐτός στόν ναό, ἄγγελος Κυρίου εἶπε στόν ἀρχιερέα: «Θά ρθεῖ σέ σένα ἕνας ἄνθρωπος, πού ἔχει τόν χαμένο λίθο. Δῶσε του χρυσάφι καί ἀσήμι καί πολύτιμους λίθους, ὅσους θελήσει». Καί τόν "μαστίγωσε"[48] τόν ἄνθρωπο (ὁ ἄγγελος) λέγοντάς του: Μήν εἶναι διστακτική ἡ καρδιά σου καί μή χάνεις τήν ἐμπιστοσύνη σου στόν Θεό, ὅτι αὐτός πού ἐλεεῖ τόν φτωχό, δανείζει στόν Θεό. Νά πού σοῦ ἔχει δώσει πολλαπλάσια[49] στή ζωή ἐτούτη καί στόν μέλλοντα κόσμο αἰώνια ζωή.

Τέλος τῆς πραγματείας ὅτι πρέπει νά φιλοξενοῦμε καί νά ἐλεοῦμε μέ ἔκδηλη τήν καλή μας διάθεση.

47. Ἀαρών: Ὁ πρῶτος ἀρχιερεύς τῶν Ἑβραίων, πρεσβύτερος ἀδελφός τοῦ Μωυσέως καί τῆς Μαριάμ.

48. "μαστίγωσε": χρησιμοποιεῖται μέ μεταφορική ἔννοια· τόν ἤλεγξε γιά τήν ὀλιγοπιστία του μέ τόν λόγο του.


49. Πρβλ. ἀπόφθ. 2 σελ. 383.

Ἀπόσπασμα ἀπό τόν χειρόγραφο κώδικα Coislin 127 (12ος αἰ.)

ΚΕΦΑΛΑΙΟ
ΙΔ΄

«Ὁ ἔχων ὑπακοὴν ἀγαθὴν πασῶν τῶν ἐντολῶν τοῦ Θεοῦ πεπλήρωται».

(Ἀπόφθ. 15)




Περί ὑπακοῆς



Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος ὅτι ἡ ὑπακοὴ μετ' ἐγκρατείας ὑποτάσσει θηρία.

2. Εἶπεν ὁ ἀββᾶς Ἀρσένιος τῷ ἀββᾷ Ἀλεξάνδρῳ· Ὅταν ἀποσχίσῃς τὰ θαλλία σου, ἐλθὲ γεῦσαι μετ' ἐμοῦ. Ἐὰν δὲ ἔλθωσι ξένοι, φάγε μετ' αὐτῶν. Ὁ οὖν ἀββᾶς Ἀλέξανδρος ὁμαλῶς εἰργάζετο καὶ ἐπιεικῶς. Καὶ ὡς γέγονεν ἡ ὥρα, ἀκμὴν εἶχε θαλλία καὶ θέλων τηρῆσαι τὸν λόγον τοῦ Γέροντος ἀνέμεινε πληρῶσαι τὰ θαλλία. Ὁ ἀββᾶς οὖν Ἀρσένιος ὡς εἶδεν ὅτι ἐχρόνισεν, ἐγεύσατο λογισάμενος μήποτε ξένους ἔσχεν. Ὁ δὲ ἀββᾶς Ἀλέξανδρος, ὡς ἐγένετο ὀψέ, ἀπῆλθε. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ξένους ἔσχες; Λέγει· Οὐχί. Εἶπε δὲ αὐτῷ· Πῶς οὖν οὐκ ἦλθες; Καὶ λέγει ὅτι· Εἶπές μοι, ὅταν ἀποσχίσῃς τὰ θαλλία σου, ἐλθέ· καὶ τηρῶν τὸν λόγον σου οὐκ ἦλθον ἕως ἄρτι, ὅτι νῦν ἐπλήρωσα. Καὶ ἐθαύμασεν ὁ Γέρων τὴν ἀκρίβειαν αὐτοῦ. Καὶ λέγει αὐτῷ· Ταχύτερον κατάλυε, ἵνα καὶ τὴν σύναξίν σου βάλῃς καὶ τοῦ ὕδατός σου μεταλάβῃς· εἰ δὲ μή γε, ταχέως ἔχει τὸ σῶμά σου ἀσθενῆσαι.

3. Ἀδελφὸς ἦλθεν ἀπὸ Σκήτεως πρὸς τὸν ἀββᾶν Ἀμμοῦν. Καὶ λέγει αὐτῷ· Πέμπει με ὁ πατήρ μου εἰς διακονίαν, καὶ



Περὶ ὑπακοῆς



Ἶπε ὁ ἀββᾶς Ἀντώνιος*: Ἡ ὑπακοή πού συνοδεύεται μέ τήν ἐγκράτεια ὑποτάσσει θηρία.

2. Εἶπε ὁ ἀββᾶς Ἀρσένιος* στόν ἀββᾶ Ἀλέξανδρο: «Ὅταν σχίσεις τούς φοινικοβλαστούς σου, ἔλα νά φᾶμε μαζί. Ἄν ὅμως ἔλθουν ξένοι, φάγε μαζί τους». Ὁ ἀββᾶς λοιπόν Ἀλέξανδρος δούλευε μέ τάξη καί ἠρεμία. Ὅταν ἔφθασε ἡ ὥρα, εἶχε ἀκόμη νά σχίσει βλαστούς καί θέλοντας νά τηρήσει τόν λόγο τοῦ Γέροντα, παρέμεινε νά τούς τελειώσει. Ὁ ἀββᾶς Ἀρσένιος σάν εἶδε ὅτι ἄργησε, ἔφαγε, γιατί σκέφτηκε μήν εἶχε ξένους. Ὁ ἀββᾶς Ἀλέξανδρος ὅταν βράδιασε, πῆγε στό κελί. Τοῦ λέει λοιπόν ὁ Γέροντας: «Εἶχες ξένους;» «Ὄχι» ἀπάντησε. «Τί συνέβη λοιπόν καί δέν ἦλθες;» ξαναρωτᾶ. «Μοῦ εἶπες —ἀποκρίθηκε ἐκεῖνος— ὅταν σχίσεις τούς βλαστούς σου, νά ἔλθεις· καί κρατώντας τόν λόγο σου δέν ἦλθα μέχρι αὐτή τήν ὥρα, γιατί μόλις τελείωσα».

Θαύμασε ὁ Γέροντας τήν ἀκρίβειά του καί τόν συμβούλευσε: «Νά τρῶς νωρίτερα, γιά νά κάνεις καί τήν ἀκολουθία σου καί νά πιεῖς τό νερό σου. Ἀλλιῶς, γρήγορα θά ἐξασθενήσει τό σῶμα σου».

3. Ἕνας ἀδελφός ἀπό τή Σκήτη πῆγε στόν ἀββᾶ Ἀμμοῦν* καί τοῦ εἶπε: «Ὁ Γέροντάς μου μέ στέλνει γιά δια-

φοβοῦμαι τὴν πορνείαν. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Οἵαν ὥραν ἔρχεται πειρασμός, εἰπέ· Ὁ Θεὸς τῶν δυνάμεων, εὐχαῖς τοῦ πατρός μου ἐξελοῦ με.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἀποσταλεὶς παρὰ τοῦ πατρὸς αὐτοῦ ἀνελθεῖν εἰς Αἴγυπτον διακονίας ἕνεκεν, παρέβαλε τῷ κατὰ συνήθειαν αὐτῷ χορηγοῦντι τὴν χρείαν καὶ αὐτὸν μὲν ἔσω οὐχ εὗρεν, ἡ δὲ θυγάτηρ αὐτοῦ παρθένος οὖσα ἔκλεισε τὴν θύραν ἐπάνω τοῦ ἀδελφοῦ. Ὁ δὲ νοήσας φωνῇ μεγάλῃ εἶπεν· Ὁ Θεὸς τοῦ πατρός μου, ἐξελοῦ με. Καὶ εὐθέως εὑρέθη εἰς τὴν ὁδὸν τῆς Σκήτεως.

4. Παρέβαλεν ὁ ἀββᾶς Ἀβραὰμ τῷ ἀββᾷ Ἄρει. Καὶ καθημένων αὐτῶν ἦλθεν ἀδελφὸς πρὸς τὸν Γέροντα καὶ λέγει αὐτῷ· Εἰπέ μοι τί ποιήσω, ἵνα σωθῶ. Ὁ δὲ λέγει αὐτῷ· Ὕπαγε ποίησον τὸν ἐνιαυτὸν τοῦτον κατ' ὀψὲ ἐσθίων ἄρτον καὶ ἅλας. Καὶ δεῦρο πάλιν καὶ λαλῶ σοι. Καὶ ἀπελθὼν ἐποίησεν οὕτω. Πληρωθέντος δὲ τοῦ ἐνιαυτοῦ ἦλθε πάλιν ὁ ἀδελφὸς πρὸς τὸν ἀββᾶν Ἄρη. Εὐκαίρησε δὲ καὶ τότε ὁ ἀββᾶς Ἀβραὰμ ἐκεῖ. Καὶ εἶπε πάλιν ὁ Γέρων τῷ ἀδελφῷ· Ὕπαγε νήστευσον καὶ τοῦτον τὸν ἐνιαυτὸν δύο δύο.

Καὶ ὡς ἀπῆλθεν ὁ ἀδελφός, λέγει ὁ ἀββᾶς Ἀβραὰμ τῷ ἀββᾷ Ἄρει· Διατί ὅλοις τοῖς ἀδελφοῖς μετὰ ζυγοῦ ἐλαφροῦ λαλεῖς, καὶ τῷ ἀδελφῷ τούτῳ φορτία βαρέα ἐπιτίθης; Λέγει αὐτῷ ὁ Γέρων· Οἱ ἀδελφοὶ καθὼς ἔρχονται ζητοῦντες, οὕτω καὶ ὑπάγουσιν. Οὗτος δὲ διὰ τὸν Θεὸν ἔρχεται ἀκοῦσαι λόγον, ἐργάτης γάρ ἐστι, καὶ εἴ τι ἂν εἴπω αὐτῷ μετὰ σπουδῆς ποιεῖ. Διὰ τοῦτο κἀγὼ λαλῶ αὐτῷ τὸν λόγον τοῦ Θεοῦ.

κονία καί φοβοῦμαι τόν πειρασμό τῆς πορνείας». Καί ὁ Γέροντας τοῦ λέει: «Ὅποια ὥρα παρουσιασθεῖ πειρασμός, πές: Θεέ τῶν δυνάμεων, μέ τίς εὐχές τοῦ πατέρα μου γλύτωσέ με».

Κάποια μέρα λοιπόν τόν ἔστειλε ὁ Γέροντάς του νά πάει στήν Αἴγυπτο γιά μιά διακονία, καί πῆγε, ὅπως συνήθιζε, σ' αὐτόν πού τοῦ προμήθευε ὅ,τι χρειαζόταν. Αὐτός ἀπουσίαζε ἀπό τό σπίτι του καί ἡ κόρη του, πού ἦταν ἀνύπαντρη, ἔκλεισε τή θύρα, μόλις μπῆκε ὁ ἀδελφός. Αὐτός κατάλαβε καί μέ φωνή δυνατή εἶπε: «Θεέ τοῦ πατέρα μου, γλύτωσέ με». Καί εὐθύς βρέθηκε στόν δρόμο τῆς Σκήτης.

4. Πῆγε ὁ ἀββᾶς Ἀβραάμ στόν ἀββᾶ Ἄρη. Καθώς κάθονταν αὐτοί, πλησίασε ἕνας ἀδελφός τόν Γέροντα καί τοῦ λέει: «Πές μου τί νά κάνω γιά νά σωθῶ;» Κι ἐκεῖνος τοῦ λέει: «Πήγαινε καί πέρασε τόν χρόνο αὐτό τρώγοντας τό βράδυ ψωμί καί ἁλάτι. Ἔλα πάλι ἐδῶ καί θά σοῦ πῶ». Ἔφυγε καί ἔκανε ὅπως τοῦ ὑπέδειξε. Ὅταν συμπληρώθηκε ὁ χρόνος, ἦλθε πάλι ὁ ἀδελφός στόν ἀββᾶ Ἄρη. Συνέπεσε καί τότε νά εἶναι ὁ ἀββᾶς Ἀβραάμ ἐκεῖ. Ὁ Γέροντας λοιπόν εἶπε πάλι στόν ἀδελφό: «Πήγαινε καί νήστεψε αὐτόν τόν χρόνο δυό-δυό[1]».

Ὁ ἀδελφός ἔφυγε καί λέει ὁ ἀββᾶς Ἀβραάμ στόν ἀββᾶ Ἄρη: «Γιατί σ' ὅλους τούς ἀδελφούς, συμβουλεύοντάς τους, δέν τούς ἐπιβάλλεις βαρύ ζυγό, ἐνῶ αὐτόν τόν ἀδελφό τόν φορτώνεις βαρύ φορτίο;» «Οἱ ἀδελφοί —ἀποκρίθηκε ὁ Γέροντας— ἀνάλογα τί ἔρχονται καί ζητοῦν, αὐτό παίρνουν καί φεύγουν. Ἐνῶ αὐτός ἔρχεται νά ἀκούσει λόγο γιά νά εὐαρεστήσει στόν Θεό, γιατί εἶναι ἀγωνιστής. Καί ὅ,τι τοῦ πῶ, μέ ζῆλο τό κάνει. Γι' αὐτό καί ἐγώ τοῦ λέω αὐτό πού θά ἤθελε ὁ Θεός ἀπ' αὐτόν».

1. Δυό-δυό: Βλ. Ι ὑποσημ. 73 σελ. 108.

5. Ἔλεγέ τις τῶν Γερόντων ὅτι ὁ ἅγιος Βασίλειος ἐν κοινοβίῳ παραβαλών, μετὰ τὴν πρέπουσαν διδασκαλίαν, λέγει τῷ ἡγουμένῳ· Ἔχεις ἀδελφὸν ὧδε τῶν σῳζομένων; Ὁ δὲ λέγει αὐτῷ· Πάντες δοῦλοί σού εἰσι καὶ σπουδάζουσι σωθῆναι, δέσποτα. Πάλιν λέγει αὐτῷ· Ἔχεις ἐν ἀληθείᾳ τινὰ ἔχοντα ὑπακοήν; Ὁ δὲ ἤνεγκεν αὐτῷ ἕνα ἀδελφόν. Καὶ ἐχρήσατο αὐτὸν εἰς τὸ ἄριστον ὁ ἅγιος Βασίλειος. Μετὰ δὲ τὸ γεύσασθαι ἔδωκεν αὐτῷ νίψασθαι. Καὶ λέγει αὐτῷ ὁ ἅγιος Βασίλειος· Δεῦρο κἀγὼ δώσω σοι νίψασθαι. Ὁ δὲ κατεδέξατο αὐτοῦ τοῦ ἁγίου καταχέοντος τὸ ὕδωρ. Καὶ λέγει αὐτῷ· Ὅταν εἰσέρχομαι εἰς τὸ ἱερατεῖον, δεῦρο ἵνα ποιήσω σε διάκονον.

Καὶ τούτου γενομένου ἐποίησεν αὐτὸν πρεσβύτερον καὶ ἔλαβεν αὐτὸν μεθ' ἑαυτοῦ εἰς τὸ ἐπισκοπεῖον διὰ τὴν ὑπακοὴν αὐτοῦ.

6. Ἔλεγεν ὁ ἀββᾶς Ἡσαΐας πρὸς τοὺς ἐρχομένους καὶ ὑποτασσομένους Πατράσιν ἁγίοις ὅτι ἡ πρώτη βαφὴ οὐκ ἀποβάλλει ὡς ἐπὶ πορφύρας, καὶ ὅτι ὥσπερ οἱ κλάδοι οἱ ἁπαλοὶ εὐχερῶς μεταστρέφονται καὶ κάμπτονται, οὕτω καὶ οἱ ἀρχάριοι ὄντες ἐν ὑποταγῇ.

7. Διηγήσαντο περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ ὅτι ἀναχωρήσας πρὸς Θηβαῖον Γέροντα εἰς Σκῆτιν ἐκάθητο ἐν τῇ ἐρήμῳ. Λαβὼν δὲ ὁ ἀββᾶς αὐτοῦ ξύλον ξηρὸν ἐφύτευσε. Καὶ εἶπεν αὐτῷ· Καθ' ἡμέραν πότιζε τοῦτο λαγήνιον ὕδατος, ἕως καρπὸν ποιήσει. Ἦν δὲ μακρὰν ἀπ' αὐτοῦ τὸ ὕδωρ, ὡς ἀπὸ ὀψὲ ἀπελθεῖν καὶ ἐλθεῖν πρωί. Μετὰ δὲ τρία ἔτη ἔζησε καὶ

2. Πορφύρα: Εἶναι βαθυκόκκινη χρωστική οὐσία ἀνεξίτηλη, γνωστή ἀπό τήν ἀρχαιότητα, πού ἐξάγεται ἀπό τούς ἀδένες τῶν ὁμωνύμων κογχυλίων. Πορφύρα ἐπίσης ὀνομάσθηκαν τά πολυτελῆ ἐπίσημα ἐνδύματα βασιλέων καί αὐτοκρατόρων ἀπό τήν ἀρχαιότητα, ἀκόμη καί στό Βυζάντιο, πού βάφονταν μέ τήν πολύτιμη αὐτή βαφική ὕλη.

5. Ἔλεγε ἕνας ἀπό τούς Γέροντες ὅτι ὁ ἅγιος Βασίλειος* ἐπισκέφθηκε κάποιο κοινόβιο καί μετά τήν καθιερωμένη διδασκαλία λέει στόν ἡγούμενο: «Ἔχεις ἐδῶ κανένα ἀδελφό πού βαδίζει τόν δρόμο τῆς σωτηρίας;» «Ὅλοι δοῦλοι σου εἶναι, δέσποτα, καί μέ ζῆλο προσπαθοῦν νά σωθοῦν». Τόν ξαναρωτᾶ: «Ἔχεις κανέναν πού νά κάνει ἀληθινή ὑπακοή;» Κι ἐκεῖνος πῆγε καί τοῦ ἔφερε ἕναν ἀδελφό, τόν ὁποῖο ὁ ἅγιος Βασίλειος τόν ἔβαλε νά ὑπηρετεῖ στήν τράπεζα τήν ὥρα τοῦ φαγητοῦ. Ἀφοῦ ἔφαγαν, ὁ ἀδελφός ἔδωσε στόν ἅγιο νά νιφθεῖ. Ἔπειτα τοῦ λέει ὁ ἅγιος Βασίλειος: «Ἔλα τώρα καί ἐγώ νά σοῦ δώσω νά νιφθεῖς». Κι ἐκεῖνος δέχθηκε ἀπό τόν ἴδιο τόν ἅγιο νά τοῦ χύνει νερό. Καί ἔπειτα τοῦ εἶπε: «Ὅταν μπῶ στό ἱερό, ἔλα νά σέ κάνω διάκονο». Πράγματι ἔγινε διάκονος, μετά τόν ἔκανε πρεσβύτερο καί τόν πῆρε μαζί του στήν ἐπισκοπή χάρις στήν ὑπακοή του.

6. Ὁ ἀββᾶς Ἡσαΐας* πρός αὐτούς πού πήγαιναν καί ὑποτάσσονταν σέ ἁγίους Πατέρες, ἔλεγε: «Ἡ πρώτη βαφή δέν ἐξαλείφεται, ὅπως συμβαίνει μέ τήν πορφύρα[2]. Ἐπίσης ὅπως τά τρυφερά κλαδιά μέ εὐκολία ἀλλάζουν προσανατολισμό καί λυγίζουν, ἔτσι συμβαίνει καί μέ τούς ἀρχαρίους πού μπαίνουν σέ ὑπακοή».

7. Διηγοῦνταν γιά τόν ἀββᾶ Ἰωάννη* τόν Κολοβό ὅτι πῆγε σ' ἕναν Θηβαῖο Γέροντα ἀναχωρητή στή Σκήτη καί μόναζε ἐκεῖ στήν ἔρημο. Ὁ ἀββᾶς του λοιπόν πῆρε ἕνα ξερό ξύλο, τό φύτεψε καί τοῦ εἶπε: «Νά τό ποτίζεις αὐτό κάθε μέρα ἕνα λαγήνι νερό, ἕως ὅτου κάνει καρπό». Καί τό νερό ἦταν τόσο μακριά ἀπό κεῖ πού ἔμενε, ὥστε ἔπρεπε νά ξεκινάει ἀπό βραδύς καί νά ἐπιστρέφει τό πρωί.

καρπὸν ἐποίησε. Καὶ λαβὼν ὁ Γέρων τὸν καρπὸν αὐτοῦ ἤνεγκεν εἰς τὴν ἐκκλησίαν λέγων τοῖς ἀδελφοῖς· Λάβετε, φάγετε καρπὸν ὑπακοῆς.

8. Ἔλεγον περὶ Ἰωάννου τοῦ μαθητοῦ τοῦ ἀββᾶ Παύλου ὅτι εἶχε μεγάλην ὑπακοήν. Ἦν δὲ ἔν τινι τόπῳ μνημεῖα καὶ ᾤκει ὕαινα ἐκεῖ. Ὁ δὲ Γέρων εἶδεν περὶ τὸν τόπον βόλβιτα καὶ λέγει τῷ Ἰωάννῃ ἀπελθεῖν καὶ ἐνεγκεῖν αὐτά. Ὁ δὲ εἶπε· Τί ποιήσω, ἀββᾶ, διὰ τὴν ὕαιναν; Ὁ δὲ Γέρων χαριεντιζόμενος εἶπεν· Ἐὰν ἔλθῃ ἐπάνω σου, δῆσον αὐτὴν καὶ φέρε ὧδε.

Ἀπῆλθεν οὖν ὁ ἀδελφὸς ἐκεῖ ὀψέ. Καὶ ἰδοὺ ἦλθεν ἡ ὕαινα ἐπάνω αὐτοῦ. Ὁ δὲ κατὰ τὸν λόγον τοῦ Γέροντος ὥρμησε κρατῆσαι αὐτήν. Καὶ ἔφυγεν ἡ ὕαινα. Καὶ διώκων αὐτὴν ἔλεγεν· Ὁ ἀββᾶς μου εἶπεν, ἵνα σὲ δεσμήσω. Καὶ κρατήσας αὐτὴν ἔδησεν. Ἐθλίβετο δὲ ὁ Γέρων καὶ ἐκάθητο περιμένων αὐτόν. Καὶ ἰδοὺ ἦλθεν ἔχων τὴν ὕαιναν δεδεμένην. Καὶ ἰδὼν ὁ Γέρων ἐθαύμασε. Καὶ θέλων ταπεινῶσαι αὐτὸν ἔτυψεν αὐτὸν λέγων· Σαλέ, κύνα σαλὸν ἤνεγκάς μοι ὧδε; Ἔλυσε δὲ αὐτὴν εὐθὺς ὁ Γέρων καὶ ἀπέλυσεν ἀπελθεῖν.

9. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ ὅτι εἶχε μαθητὴν ὀνόματι Μᾶρκον. Ἦν δὲ ἔχων ὑπακοὴν μεγάλην. Καὶ ἦν καλλιγράφος. Ἠγάπα δὲ αὐτὸν ὁ Γέρων διὰ τὴν ὑπακοὴν αὐτοῦ. Εἶχε δὲ καὶ ἄλλους ἕνδεκα μαθητάς, καὶ ἐθλίβοντο ὅτι ἠγάπα αὐτὸν ὑπὲρ αὐτούς. Καὶ ἀκούσαντες οἱ Γέροντες ἐλυποῦντο. Ἦλθον δὲ ἐν μιᾷ πρὸς αὐτὸν οἱ Γέροντες καὶ ἐνεκάλουν αὐτῷ.

Καί μετά τρία χρόνια πέταξε βλαστούς καί ἔκανε καρπό. Πῆρε τότε ὁ Γέροντας τόν καρπό του καί τόν ἔφερε στήν ἐκκλησία λέγοντας στούς ἀδελφούς: «Λάβετε, φάγετε καρπόν ὑπακοῆς».

8. Ἔλεγαν γιά τόν Ἰωάννη, τόν μαθητή τοῦ ἀββᾶ Παύλου, ὅτι εἶχε μεγάλη ὑπακοή. Σέ κάποιο μέρος ἐκεῖ ὑπῆρχαν μνήματα, ὅπου κατοικοῦσε καί μιά ὕαινα. Καί ὁ Γέροντας εἶχε δεῖ γύρω ἐκεῖ κοπριές (βοδιῶν). Λέει λοιπόν στόν Ἰωάννη νά πάει καί νά τίς φέρει. Καί ὁ Ἰωάννης εἶπε: «Τί θά κάνω, ἀββᾶ, μέ τήν ὕαινα πού εἶναι ἐκεῖ;» Καί ὁ Γέροντας χαριτολογώντας εἶπε: «Ἄν δεῖς ὅτι ἔρχεται καταπάνω σου, νά τή δέσεις καί νά τή φέρεις ἐδῶ».

Πῆγε λοιπόν ἐκεῖ ὁ ἀδελφός τό βραδάκι. Καί νάτην ἡ ὕαινα ἐρχόταν καταπάνω του. Κι ἐκεῖνος, σύμφωνα μέ ὅ,τι τοῦ εἶπε ὁ Γέροντας, ὅρμησε νά τήν πιάσει, ἀλλά ἔφυγε ἡ ὕαινα. Καί καθώς τήν κυνηγοῦσε, ἔλεγε: «Ὁ ἀββᾶς μου μοῦ εἶπε νά σέ πιάσω». Πράγματι τήν συνέλαβε καί τήν ἔδεσε.

Ὁ Γέροντας ὅμως καθόταν ἀνήσυχος καί τόν περίμενε. Καί νά, καταφθάνει κρατώντας τήν ὕαινα δεμένη. Ὁ Γέροντας τόν εἶδε καί ἀπόρησε, ἀλλά θέλοντας νά τόν ταπεινώσει, τόν κτύπησε λέγοντας: «Ἀνόητε, σκυλί τρελό μοῦ κουβάλησες ἐδῶ;» Τήν ἔλυσε εὐθύς ὁ Γέροντας καί τήν ἄφησε νά φύγει.

9. Ἔλεγαν γιά τόν ἀββᾶ Σιλουανό* ὅτι εἶχε ἕναν μαθητή, πού τόν ἔλεγαν Μάρκο. Αὐτός εἶχε μεγάλη ὑπακοή καί ἦταν καλλιγράφος. Ὁ Γέροντας τόν ἀγαποῦσε ἰδιαίτερα γιά τήν ὑπακοή του. Εἶχε καί ἄλλους ἕνδεκα μαθητές, οἱ ὁποῖοι στενοχωροῦνταν, γιατί αὐτόν τόν ἀγαποῦσε παραπάνω ἀπ᾽ αὐτούς.

Τό ἔμαθαν οἱ Γέροντες καί λυπήθηκαν. Πῆγαν λοιπόν κάποια μέρα καί ἄρχισαν νά τόν ἐλέγχουν. Τούς πῆρε μαζί

Λαβὼν δὲ αὐτοὺς ἐξῆλθε καὶ ἔκρουσε κατὰ κελλίον λέγων· Ὁ δεῖνα, ἀδελφέ, δεῦρο ὅτι χρῄζω σε. Καὶ οὐδεὶς ἐξ αὐτῶν ἠκολούθησεν αὐτῷ εὐθύς. Καὶ ἐλθὼν ἐπὶ τὴν κέλλαν Μάρκου ἔκρουσε λέγων· Μᾶρκε. Ὁ δὲ ἀκούσας τῆς φωνῆς τοῦ Γέροντος εὐθὺς ἐπήδησεν ἔξω. Καὶ ἔπεμψεν αὐτὸν εἰς διακονίαν.

Καὶ λέγει τοῖς Γέρουσι· Ποῦ εἰσιν οἱ λοιποὶ ἀδελφοί, Πατέρες; Καὶ εἰσελθὼν εἰς τὴν κέλλαν αὐτοῦ ἐψηλάφησε τὸ ἐργόχειρον αὐτοῦ. Καὶ εὗρεν ὅτι ἔβαλε χεῖρα ποιῆσαι τὸ ο καὶ ἀκούσας τοῦ Γέροντος οὐκ ἔστρεψε τόν κάλαμον πληρῶσαι αὐτό. Λέγουσιν οὖν οἱ Γέροντες· Ὄντως, ὃν σὺ ἀγαπᾷς, ἀββᾶ, καὶ ἡμεῖς αὐτὸν ἀγαπῶμεν, ὅτι καὶ ὁ Θεὸς αὐτὸν ἀγαπᾷ.

10. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ ὅτι ποτὲ περιπατῶν ἐν τῇ Σκήτει μετὰ τῶν Γερόντων καὶ θέλων αὐτοῖς τὴν ὑπακοὴν τοῦ μαθητοῦ αὐτοῦ ὑποδεῖξαι, καὶ δι' ὃ αὐτὸν ἀγαπᾷ, θεωρήσας μικρὸν σύαγρον λέγει αὐτῷ· Θεωρεῖς τὸ μικρὸν βουβάλιον ἐκεῖνο, τέκνον; Λέγει αὐτῷ· Ναί, ἀββᾶ. Καὶ τὰ κέρατα αὐτοῦ πῶς πιθανά εἰσι; Λέγει· Ναί, ἀββᾶ. Καὶ ἐθαύμασαν οἱ Γέροντες τὴν ἀπόκρισιν αὐτοῦ καὶ ᾠκοδομήθησαν ἐν τῇ ὑπακοῇ αὐτοῦ.

11. Κατῆλθέ ποτε ἡ μήτηρ τοῦ ἀββᾶ Μάρκου ἰδεῖν αὐτὸν καὶ εἶχε πολλὴν φαντασίαν. Καὶ ἐξῆλθεν ὁ Γέρων πρὸς αὐτήν, καὶ λέγει αὐτῷ. Ἀββᾶ, εἰπὲ τῷ υἱῷ μου ἐξελθεῖν, ἵνα ἴδω αὐτόν. Εἰσελθὼν δὲ ὁ Γέρων εἶπεν αὐτῷ· Ἔξελθε, ἵνα σὲ ἴδῃ ἡ μήτηρ σου. Ἦν δὲ φορῶν κεντωνάριον καὶ ἠσβολωμένος ἀπὸ τοῦ μαγειρείου. Καὶ ἐξελθὼν διὰ τὴν ὑπακοήν, ἐκάμμυσε τοὺς ὀ-

του, βγῆκαν ἔξω καί κτύπησε ἕνα ἕνα τά κελιά λέγοντας: «Ἀδελφέ τάδε, ἔλα, γιατί σέ χρειάζομαι». Ἀλλά κανείς ἀπ' αὐτούς δέν τόν ἀκολούθησε ἀμέσως. Πῆγε καί στό κελί τοῦ Μάρκου καί κτύπησε λέγοντας: «Μάρκε». Ἐκεῖνος μόλις ἄκουσε τή φωνή τοῦ Γέροντα, ἀμέσως πήδησε ἔξω, καί τόν ἔστειλε σέ διακονία.


Λέει τότε στούς Γέροντες: «Ποῦ εἶναι οἱ ἄλλοι ἀδελφοί, Πατέρες;» Μπῆκε κατόπιν στό κελί τοῦ ἀδελφοῦ νά δεῖ τήν καλλιγραφία πού ἔκανε, καί παρατήρησε ὅτι εἶχε ξεκινήσει νά κάνει τό ὄμικρον ἀλλά μόλις ἄκουσε τόν Γέροντα, δέν ἔστριψε τήν πέννα νά τό ὁλοκληρώσει. Τοῦ εἶπαν τότε οἱ Γέροντες: «Πράγματι, αὐτόν πού ἐσύ ἀγαπᾶς, ἀββᾶ, αὐτόν καί ἐμεῖς ἀγαποῦμε, γιατί καί ὁ Θεός τόν ἀγαπᾶ».

10. Ἔλεγαν ἐπίσης γιά τόν ἀββᾶ Σιλουανό ὅτι, περπατώντας κάποτε στή Σκήτη μαζί μέ ἄλλους Γέροντες καί θέλοντας νά τούς δείξει τήν ὑπακοή τοῦ μαθητῆ του καί ὅτι γι' αὐτόν τόν λόγο τόν ἀγαπᾶ, σάν εἶδε ἕνα μικρό ἀγριογούρουνο τοῦ λέει: «Βλέπεις, παιδί μου τό μικρό ἐκεῖνο βουβάλι;» «Ναί, ἀββᾶ» τοῦ λέει. «Καί τά κέρατά του πόσο τέλεια εἶναι;» «Ναί, ἀββᾶ» λέει. Θαύμασαν οἱ Γέροντες τήν ἀπάντησή του καί οἰκοδομήθηκαν μέ τήν ὑπακοή του.

11. Πῆγε κάποτε ἡ μητέρα τοῦ ἀββᾶ Μάρκου νά τόν δεῖ καί ἦταν ντυμένη φανταχτερά. Βγῆκε ὁ Γέροντας νά τή συναντήσει καί τοῦ λέει: «Ἀββᾶ, πές στόν γιό μου νά βγεῖ, γιά νά τόν δῶ». Μπῆκε μέσα ὁ Γέροντας καί τοῦ εἶπε: «Βγές, νά σέ δεῖ ἡ μητέρα σου».

Ὁ ἀδελφός φοροῦσε κεντωνάρι[3] καί ἦταν καπνισμένος ἀπό τό μαγειρεῖο. Βγῆκε χάριν τῆς ὑπακοῆς καί κλείνοντας

3. Κεντωνάρι: ἐπανωφόρι πού ἀποτελεῖται ἀπό παλιά ράκη διά συρραφῆς.



Λόφος Σαμάρειας

φθαλμοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς· Σωθείητε, σωθείητε· καὶ οὐκ εἶδεν αὐτούς. Ἡ δὲ μήτηρ αὐτοῦ οὐκ ἐγνώρισεν αὐτόν. Πάλιν οὖν πέμπει πρὸς τὸν Γέροντα λέγουσα· Ἀββᾶ, πέμψον μοι τὸν υἱόν μου, ἵνα ἴδω αὐτόν. Καὶ εἶπε τῷ Μάρκῳ· Οὐκ εἶπόν σοι ἐξελθεῖν, ἵνα σὲ ἴδῃ ἡ μήτηρ σου; Καὶ εἶπεν αὐτῷ ὁ Μᾶρκος· Ἐξῆλθον κατὰ τὸν λόγον σου, ἀββᾶ· πλήν, παρακαλῶ σε, μὴ εἰπεῖν μοι ἔτι ἅπαξ ἐξελθεῖν, ἵνα μὴ παρακούσω σου. Καὶ ἐξελθὼν ὁ Γέρων εἶπεν αὐτῇ· Αὐτός ἐστιν ὁ υἱός σου ὁ ἀπαντήσας ὑμῖν καὶ εἰπών· Σωθείητε. Καὶ παρακαλέσας αὐτὴν ἀπέλυσεν.

12. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μεγεθίου ὅτι ἦν ταπεινὸς σφόδρα, μαθητευθεὶς παρ' Αἰγυπτίοις μοναχοῖς καὶ συντυχὼν πολλοῖς Γέρουσι, καὶ τῷ ἀββᾷ Σισώῃ καὶ τῷ ἀββᾷ Ποιμένι· ἔμεινε δὲ ἐν τόπῳ εἰς τὸ Σινᾶ. Καὶ συνέβη τινὰ τῶν ἁγίων παραβαλεῖν αὐτῷ, ὡς αὐτὸς διηγεῖτο. Καὶ ἔλεγεν αὐτῷ· Πῶς διάγεις, ἀδελφέ, ἐν τῇ ἐρήμῳ ταύτῃ; Ὁ δὲ εἶπεν αὐτῷ· Νηστεύω δύο δύο καὶ ἕνα ἄρτον ἐσθίω. Καὶ λέγει μοι· Εἰ θέλεις ἀκοῦσαί μου, φάγε καθ' ἡμέραν τὸ ἥμισυ τοῦ ἄρτου. Καὶ ποιήσας οὕτως εὗρον ἀνάπαυσιν.

13. Εἶπεν ὁ ἀββᾶς Μιὼς ὅτι ἡ βεβαία ὑπακοὴ ἀνθυπακοή ἐστιν· εἴ τις ὑπακούει τῷ Θεῷ, ὁ Θεὸς εἰσακούει αὐτοῦ.

14. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς τινι ἀδελφῷ· Κτησώμεθα τὴν ὑπακοὴν τὴν γεννῶσαν τὴν ταπείνωσιν καὶ τὴν ὑπομονὴν καὶ τὴν μακροθυμίαν καὶ τὴν κατάνυξιν καὶ τὴν φιλαδελφίαν καὶ τὴν ἀγάπην· ταῦτα γάρ εἰσι τὰ ὅπλα ἡμῶν τὰ πολεμικά.

τά μάτια του τούς εἶπε: «Εἴθε νά σωθεῖτε, εἴθε νά σωθεῖτε» καί δέν τούς εἶδε. Ἡ μητέρα του δέν τόν γνώρισε. Εἰδοποιεῖ πάλι τόν Γέροντα καί τοῦ λέει: «Ἀββᾶ, στεῖλε τόν γιό μου, νά τόν δῶ». Ὁπότε λέει ὁ Γέροντας στόν Μάρκο: «Δέν σοῦ εἶπα νά βγεῖς, γιά νά σέ δεῖ ἡ μητέρα σου;» «Βγῆκα κατά τήν ἐντολή σου, ἀββᾶ —τοῦ εἶπε ὁ Μάρκος— ἀλλά σέ παρακαλῶ μή μοῦ πεῖς νά βγῶ κι ἄλλη φορά, γιά νά μή σέ παρακούσω». Κατόπιν τούτου βγαίνει ὁ Γέροντας καί τῆς λέει: «Αὐτός εἶναι ὁ γιός σου πού σᾶς συνάντησε καί σᾶς εὐχήθηκε: Εἴθε νά σωθεῖτε». Τῆς μίλησε κατάλληλα στή συνέχεια καί τήν ἄφησε νά φύγει.

12. Ἔλεγαν γιά τόν ἀββᾶ Μεγέθιο ὅτι ἦταν πάρα πολύ ταπεινός· εἶχε μαθητεύσει σέ Αἰγυπτίους μοναχούς καί εἶχε συναντηθεῖ μέ πολλούς Γέροντες, μάλιστα μέ τόν ἀββᾶ Σισόη καί τόν ἀββᾶ Ποιμένα. Ἔμενε σέ μιά περιοχή τοῦ Σινᾶ.

Συνέβη κάποτε νά τόν ἐπισκεφθεῖ κάποιος ἀπό τούς ἁγίους Πατέρες, ὅπως ὁ ἴδιος διηγοῦνταν. Τόν ρώτησε: «Πῶς περνᾶς, ἀδελφέ, σ' αὐτή τήν ἔρημο;» Κι ἐκεῖνος ἀποκρίθηκε: «Νηστεύω δυό δυό μέρες καί ἕνα ψωμί τρώγω. Καί μοῦ λέει (μιλάει ὁ ἀββᾶς Μεγέθιος): Ἐάν θέλεις νά μ' ἀκούσεις, νά τρῶς κάθε μέρα ἀπό μισό ψωμί. Ἔτσι ἔκανα καί βρῆκα ἀνάπαυση».

13. Εἶπε ὁ ἀββᾶς Μιώς ὅτι ἡ ἀληθινή ὑπακοή ἔχει ἀντάλλαγμα τήν ὑπακοή. Ὅταν κανείς ὑπακούει στόν Θεό, τόν ἀκούει καί ὁ Θεός.

14. Ὁ ἀββᾶς Μωυσῆς* εἶπε σ' ἕναν ἀδελφό: «Ἄς ἀποκτήσουμε τήν ὑπακοή, ἡ ὁποία γεννάει τήν ταπείνωση, τήν ὑπομονή, τή μακροθυμία, τήν κατάνυξη, τήν ἀγάπη πρός τούς ἀδελφούς καί πρός ὅλους τούς ἀνθρώπους· καί αὐτά εἶναι τά πολεμικά μας ὅπλα».

15. Εἶπε πάλιν· Δεῦρο, ἀδελφέ, εἰς τὴν ὑπακοὴν τῆς ἀληθείας, ὅπου ἐστὶ ταπείνωσις, ὅπου ἐστὶν ἰσχύς, ὅπου ἐστὶ χαρά, ὅπου ἐστὶν ὑπομονή, ὅπου ἐστὶ μακροθυμία, ὅπου ἐστὶ φιλαδελφία, ὅπου ἐστὶ κατάνυξις, ὅπου ἐστὶν ἀγάπη· ὁ γὰρ ἔχων ὑπακοὴν ἀγαθήν, πασῶν τῶν ἐντολῶν τοῦ Θεοῦ πεπλήρωται.

16. Εἶπε πάλιν· Μοναχὸς νηστεύων ὑπὸ πατέρα ὢν πνευματικόν, μὴ ἔχων δὲ ὑπακοὴν καὶ ταπείνωσιν, ὁ τοιοῦτος οὐδὲ μίαν ἀρετὴν οὐ μὴ κτήσηται οὐδὲ οἶδε τί ἐστι μοναχός.

17. Ἦν τις κοσμικὸς εὐλαβὴς πάνυ ἐν τῷ βίῳ αὐτοῦ καὶ παρέβαλε τῷ ἀββᾷ Ποιμένι. Εὐκαίρησαν δὲ πρὸς τὸν Γέροντα καὶ ἄλλοι ἀδελφοὶ αἰτοῦντες ἀκοῦσαι ῥῆμα παρ᾽ αὐτοῦ.

Καὶ λέγει ὁ Γέρων τῷ πιστῷ κοσμικῷ· Λάλησον τοῖς ἀδελφοῖς λόγον. Ὁ δὲ παρεκάλει λέγων· Συγχώρησόν μοι, ἀββᾶ, ἐγὼ μαθεῖν ἦλθον. Βιασθεὶς δὲ ὑπὸ τοῦ Γέροντος εἶπεν· Ἐγὼ κοσμικός εἰμι λάχανα πωλῶν καὶ πραγματευόμενος. Λύων τὰ δεμάτια καὶ ποιῶν μικρά, ἀγοράζω ὀλίγου καὶ πωλῶ πολλοῦ. Πλὴν οὐκ οἶδα ἀπὸ Γραφῆς εἰπεῖν· παραβολὴν δὲ λέγω.

Ἄνθρωπός τις εἶπε τῷ φίλῳ αὐτοῦ· Ἐπειδὴ ἐπιθυμίαν ἔχω ἰδεῖν τὸν βασιλέα, δεῦρο μετ᾽ ἐμοῦ. Καὶ λέγει αὐτῷ ὁ φίλος· Ἔρχομαι μετὰ σοῦ ἕως μέσον τῆς ὁδοῦ. Καὶ λέγει ἄλλῳ φίλῳ αὐτοῦ· Δεῦρο, σὺ ἆρόν με πρὸς τὸν βασιλέα. Καὶ λέγει αὐτῷ· Αἴρω σε ἕως τοῦ παλατίου τοῦ βασιλέως. Καὶ λέγει καὶ τῷ τρίτῳ· Δεῦρο μετ᾽ ἐμοῦ εἰς τὸν βασιλέα. Ὁ δὲ εἶπεν· Ἐγὼ ἔρ-

15. Εἶπε ἐπίσης: «Ἐμπρός, ἀδελφέ, γιά τήν ἀληθινή ὑπακοή. Σ' αὐτήν ὑπάρχει ταπείνωση, σ' αὐτήν ὑπάρχει δύναμη, σ' αὐτήν ὑπάρχει χαρά, σ' αὐτήν ὑπάρχει ὑπομονή, σ' αὐτήν ὑπάρχει μακροθυμία, σ' αὐτήν ὑπάρχει ἡ φιλαδελφία, σ' αὐτήν ὑπάρχει κατάνυξη, σ' αὐτήν ὑπάρχει ἀγάπη. Γιατί αὐτός πού ἔχει καλή ὑπακοή, ἤδη ἔχει ἐφαρμόσει ὅλες τίς ἐντολές τοῦ Θεοῦ».

16. Εἶπε πάλι: «Μοναχός νηστευτής πού εἶναι ὑποτακτικός σέ πνευματικό πατέρα, ἀλλά δέν ἔχει ὑπακοή καί ταπείνωση, αὐτός ὁ μοναχός δέν θά ἀποκτήσει καμιά ἀρετή, ἀλλ' οὔτε καί ξέρει τί θά πεῖ μοναχός».

17. Ἦταν ἕνας κοσμικός εὐλαβέστατος στή ζωή του. Ἐπισκέφθηκε κάποια μέρα τόν ἀββᾶ Ποιμένα*. Κατά σύμπτωση πῆγαν στόν Γέροντα καί ἄλλοι ἀδελφοί πού ζητοῦσαν ν' ἀκούσουν λόγο Θεοῦ ἀπ' αὐτόν.

Λέει λοιπόν ὁ Γέροντας στόν πιστό κοσμικό: «Μίλησε στούς ἀδελφούς». Ἐκεῖνος ἄρχισε νά τόν παρακαλεῖ λέγοντας: «Συγχώρα με, ἀββᾶ, ἐγώ ἦρθα γιά νά μάθω». Στήν ἐπιμονή ὅμως τοῦ Γέροντα μίλησε καί εἶπε: «Ἐγώ εἶμαι κοσμικός καί πουλάω χορταρικά· αὐτή εἶναι ἡ δουλειά μου. Λύνω τά δεμάτια καί τά κάνω μικρά· τ' ἀγοράζω φθηνά καί τά πουλῶ σέ μεγαλύτερη τιμή. Νά σᾶς μιλήσω ἀπό τή Γραφή, δέν γνωρίζω. Θά πῶ ὅμως μιά παραβολή:

Κάποιος ἄνθρωπος εἶπε στόν φίλο του: "Ἐπειδή θέλω πολύ νά δῶ τόν βασιλιά, ἔλα μαζί μου". "Ἔρχομαι —ἀπάντησε ὁ φίλος— μαζί σου, ὥς τό μισό δρόμο". Λέει σ' ἄλλον φίλο του: "Ἔλα, ἐσύ πήγαινέ με στόν βασιλιά". "Θά σέ πάω —τοῦ λέει αὐτός— μέχρι τό παλάτι". Λέει καί στόν τρίτο: "Ἔλα μαζί μου στόν βασιλιά". Κι ἐκεῖνος εἶπε: "Ἐγώ θά ρθῶ

χομαι καὶ ὑπάγω σε εἰς τὸ παλάτιον· καὶ στήκω καὶ λαλῶ καὶ εἰσάγω σε εἰς τὸν βασιλέα.

Ἠρώτησαν δὲ αὐτὸν τίς ἡ δύναμις τῆς παραβολῆς. Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὁ πρῶτος φίλος ἐστὶν ἡ ἄσκησις ἡ ὁδηγοῦσα ἕως τὸ ἥμισυ τῆς ὁδοῦ· ὁ δεύτερός ἐστιν ἡ ἁγνεία ἡ φθάνουσα ἕως τοῦ οὐρανοῦ· ὁ δὲ τρίτος ἐστὶν ἡ ὑπακοὴ ἡ εἰσάγουσα ἕως τοῦ βασιλέως Θεοῦ μετὰ παρρησίας. Καὶ οἰκοδομηθέντες οἱ ἀδελφοὶ ἀνεχώρησαν.

18. Παρέβαλόν ποτε τέσσαρες Σκητιῶται τῷ μεγάλῳ Παμβὼ φοροῦντες δέρματα. Καὶ ἀνήγγειλεν ἕκαστος τὴν ἀρετὴν τοῦ ἑταίρου αὐτοῦ. Ὁ εἷς ἐνήστευε πολλά, ὁ δεύτερος ἀκτήμων ἦν καὶ ὁ τρίτος ἐκτήσατο πολλὴν ἀγάπην. Λέγουσι δὲ καὶ περὶ τοῦ τετάρτου ὅτι εἴκοσι δύο ἔτη ἔχει ἐν ὑπακοῇ Γέροντος. Καὶ ἀπεκρίθη αὐτοῖς ὁ ἀββᾶς Παμβὼ οὕτω· Λέγω ὑμῖν ὅτι ἡ ἀρετὴ τούτου μείζων ἐστίν· ἕκαστος γὰρ πάντων οἵαν ἀρετὴν ἐκτήσατο, θελήματι αὐτοῦ ἐκράτησεν· οὗτος δὲ τὸ θέλημα αὐτοῦ κόψας ἄλλου ποιεῖ θέλημα. Οἱ τοιοῦτοι ὁμολογηταί εἰσιν, ἐὰν ἕως τέλους φυλάξωσιν.

19. Εἶπεν ὁ ἀββᾶς Ῥοῦφος ὅτι ὁ καθήμενος ἐν ὑποταγῇ πατρὸς πνευματικοῦ πλείονα μισθὸν ἔχει παρὰ τὸν ἐν τῇ ἐρήμῳ καθ' ἑαυτὸν ἀναχωροῦντα. Ἔλεγε δὲ οὗτος ὅτι διηγήσατό τις τῶν Πατέρων λέγων ὅτι· Εἶδον τέσσαρα τάγματα ἐν τῷ οὐρανῷ· τὸ πρῶτον τάγμα ἄνθρωπος ἀσθενῶν καὶ εὐχαριστῶν τῷ Θεῷ, τὸ δεύτερον τάγμα ὁ τὴν φιλοξενίαν διώκων καὶ εἰς τοῦτο ἱστάμενος καὶ διακονῶν, τὸ τρίτον τάγμα ὁ τὴν ἔρημον

4. Ὁμολογηταί ὀνομάσθηκαν ὅσοι χριστιανοί κατά τούς χρόνους τῶν διωγμῶν ὑπέστησαν κακώσεις χάριν τῆς πίστεως ἀλλά ἐπέζησαν.

καί θά σέ πάω στό παλάτι. Θά σταθῶ μάλιστα νά μιλήσω καί θά σέ βάλω μέσα στόν βασιλιά"».

Τόν ρώτησαν ποιό εἶναι τό νόημα τῆς παραβολῆς. Καί τούς ἐξήγησε: «Ὁ πρῶτος φίλος εἶναι ἡ ἄσκηση, πού ὁδηγεῖ ὥς τή μέση τοῦ δρόμου· ὁ δεύτερος εἶναι ἡ ἁγνότητα πού φθάνει μέχρι τόν οὐρανό· καί ὁ τρίτος εἶναι ἡ ὑπακοή ἡ ὁποία μᾶς εἰσάγει θαρρετά στόν βασιλέα Θεό». Ὠφελήθηκαν οἱ ἀδελφοί καί ἀποχώρησαν.

18. Πῆγαν κάποτε τέσσερες Σκητιῶτες στόν μεγάλο Παμβώ* ντυμένοι δέρματα. Καί ἀνέφερε ὁ καθένας τήν ἀρετή τοῦ συντρόφου του. Ὁ ἕνας νήστευε πολύ, ὁ δεύτερος ἦταν ἀκτήμων καί ὁ τρίτος εἶχε ἀποκτήσει πολλή ἀγάπη· γιά τόν τέταρτο εἶπαν ὅτι εἰκοσιδυό χρόνια τώρα εἶναι σέ ὑπακοή Γέροντος.

Καί ὁ ἀββᾶς Παμβώ ἀποκρίθηκε ὡς ἑξῆς: «Σᾶς βεβαιώνω ὅτι ἡ ἀρετή αὐτοῦ εἶναι μεγαλύτερη· γιατί ὁ καθένας σας ὅποια ἀρετή ἀπέκτησε, ἔκανε τό θέλημά του· ἐνῶ αὐτός ἔκοψε τό θέλημά του καί κάνει ἄλλου θέλημα. Αὐτοί θεωροῦνται ὁμολογηταί[4], ἐάν κρατήσουν τήν ἀρετή τῆς ὑπακοῆς ὥς τό τέλος».

19. Εἶπε ὁ ἀββᾶς Ροῦφος ὅτι αὐτός πού ὑποτάσσεται σέ πνευματικό πατέρα ἔχει μεγαλύτερο μισθό ἀπό ἐκεῖνον ὁ ὁποῖος ἀποφασίζει καί πάει νά ζήσει στήν ἔρημο. Ἔλεγε μάλιστα ὅτι κάποιος ἀπό τούς Πατέρες διηγήθηκε τό ἑξῆς: «Εἶδα τέσσερες τάξεις στόν οὐρανό. Ἡ πρώτη ἀποτελοῦνταν ἀπό ἀνθρώπους πού ἀρρώστησαν καί εὐχαριστοῦσαν τόν Θεό. Ἡ δεύτερη ἦσαν αὐτοί πού ἐπιδιώκουν τή φιλοξενία καί παραμένουν πιστοί ὑπηρετώντας αὐτό τό διακόνη-

διώκων καὶ μὴ βλέπων ἄνθρωπον, τὸ τέταρτον τάγμα ὁ ἐν ὑποταγῇ καθήμενος πατρὸς καὶ ὑποτασσόμενος αὐτῷ διὰ τὸν Κύριον. Ἐφόρει δὲ ὁ διὰ τὴν ὑπακοὴν μανιάκην χρυσοῦν καὶ γοργόνην καὶ πλείονα τῶν ἄλλων δόξαν εἶχεν.

Ἐγὼ δέ, φησίν, εἶπον τῷ ὁδηγοῦντί με ὅτι πῶς οὗτος ὁ μικρότερος παρὰ τοὺς ἄλλους πλείονα δόξαν ἔχει; Ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι· Ἐπειδὴ ὁ τὴν φιλοξενίαν διώκων ἰδίῳ θελήματι τοῦτο ποιεῖ καὶ ὁ εἰς τὴν ἔρημον ἰδίῳ θελήματι ἀνεχώρησεν, οὗτος δὲ ὁ τὴν ὑπακοὴν ἔχων πάντα τὰ θελήματα αὐτοῦ καταλείψας κρέμαται τῷ Θεῷ καὶ τῷ ἰδίῳ πατρί. Ἕνεκα τούτου πλείονα δόξαν ἔχει παρὰ τοὺς ἄλλους.

Διὰ τοῦτο, ὦ τέκνα, καλὴ ἡ ὑπακοὴ ἡ διὰ τὸν Κύριον γινομένη. Ἠκούσατε, τέκνα, ἐκ μέρους, τοῦ κατορθώματος τούτου ὀλίγον τοῦ ἴχνους. Ὢ ὑπακοή, σωτηρία πάντων πιστῶν! Ὢ ὑπακοή, γεννήτρια πασῶν τῶν ἀρετῶν! Ὢ ὑπακοή, Βασιλείας εὑρέτης! Ὢ ὑπακοή, οὐρανοὺς ἀνοίγουσα καὶ ἀνθρώπους ἀπὸ γῆς ἀνάγουσα! Ὢ ὑπακοή, πάντων τῶν ἁγίων τροφέ, ἐξ ἧς ἐθήλασαν καὶ δι' ἧς ἐτελειώθησαν! Ὢ ὑπακοή, σύνοικε ἀγγέλων!



20. Ἦλθέ τις τῶν Θηβαίων πρὸς τὸν ἀββᾶν Σισόην θέ-

5. Γοργόνη: Ἄλλος τύπος τοῦ ὀνόματος Γοργώ. Τέρας τῆς ἀρχαίας ἑλληνικῆς μυθολογίας μέ ἄγρια μορφή. Ἡ Ἀθηνᾶ, κατά μία ἐκδοχή, τήν φόνευσε καί ἀποτύπωσε τή μορφή της στήν ἀσπίδα της γιά νά τρομάζει τούς ἐχθρούς

μα· ἡ τρίτη ἦσαν αὐτοί πού ἐπιδιώκουν τήν ἔρημο καί δέν βλέπουν ἄνθρωπο· ἡ τέταρτη αὐτοί πού ζοῦν ὑποταγμένοι σέ πνευματικό πατέρα καί τό κάνουν αὐτό γιά τήν ἀγάπη τοῦ Κυρίου. Αὐτοί φοροῦσαν χάρις στήν ὑπακοή τους χρυσό περιδέραιο καί γοργόνη[5] καί εἶχαν περισσότερη δόξα ἀπό τούς ἄλλους.

Καί ἐγώ —εἶπε— ρώτησα τόν ὁδηγό μου: Πῶς αὐτοί οἱ μικρότεροι ἔχουν μεγαλύτερη δόξα ἀπό τούς ἄλλους; Ἐκεῖνοι πού ἐπιδιώκουν τή φιλοξενία —μοῦ ἀποκρίθηκε— ἱκανοποιοῦν τό θέλημά τους κάνοντάς το αὐτό· καί οἱ ἄλλοι πού πῆγαν στήν ἔρημο, ἀκολούθησαν τό θέλημά τους καί πῆγαν· αὐτοί ὅμως πού ἔχουν τήν ἄσκηση τῆς ὑπακοῆς ἐγκαταλείπουν ὅλα τά θελήματά τους καί κρέμονται ἀπό τόν Θεό καί τόν πνευματικό τους πατέρα. Γι' αὐτόν τόν λόγο ἔχουν μεγαλύτερη δόξα ἀπό τούς ἄλλους».

Γι' αὐτό, παιδιά μου, εἶναι καλή ἡ ὑπακοή πού γίνεται γιά τόν Κύριο. Ἀκούσατε, παιδιά μου, μερικῶς, ἐλάχιστο δεῖγμα τοῦ κατορθώματος αὐτοῦ.

Ὢ ὑπακοή, σωτηρία ὅλων τῶν πιστῶν!

Ὢ ὑπακοή, γεννήτρα ὅλων τῶν ἀρετῶν!

Ὢ ὑπακοή πού ἀνακαλύπτεις τήν Βασιλεία τῶν Οὐρανῶν!

Ὢ ὑπακοή, πού ἀνοίγεις τούς οὐρανούς καί ἀνεβάζεις τούς ἀνθρώπους ἀπό τή γῆ!

Ὢ ὑπακοή, πού εἶσαι τροφός ὅλων τῶν ἁγίων· ἀπό σένα θήλασαν καί μέ τή βοήθειά σου ἔφθασαν στήν τελείωση!

Ὢ ὑπακοή, σύνοικε τῶν ἀγγέλων!

20. Πῆγε κάποιος ἀπό τούς Θηβαίους[6] στόν ἀββᾶ Σισόη

της. Ἀργότερα ἡ λ. Γοργόνη συνεκδοχικά σήμαινε καί τήν ἀσπίδα.

6. Ἐννοεῖ κάτοικο τῆς Θηβαΐδος (Νότια τῆς Αἰγύπτου).

λων γενέσθαι μοναχός. Καὶ ἠρώτησεν αὐτὸν ὁ Γέρων, εἰ ἔχει τινὰ ἐν τῷ κόσμῳ. Ὁ δὲ ἔφη· Ἕνα υἱὸν ἔχω. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε ῥῖψον αὐτὸν εἰς τὸν ποταμὸν καὶ τότε γίνῃ μοναχός. Ὡς οὖν ἀπῆλθεν ὁ ἄνθρωπος ῥῖψαι αὐτόν, ἔπεμψεν ὁ Γέρων ἀδελφὸν τοῦ κωλῦσαι αὐτόν. Καὶ λέγει ὁ ἀδελφός· Παῦσαι, τί ποιεῖς; Ὁ δὲ εἶπεν· Ὁ ἀββᾶς μοι εἶπε ῥῖψαι αὐτόν. Λέγει ὁ ἀδελφός· Ἀλλὰ πάλιν εἶπε μὴ ῥίψῃς αὐτόν. Καὶ καταλιπὼν αὐτὸν ἦλθε πρὸς τὸν Γέροντα καὶ γέγονε δόκιμος μοναχὸς διὰ τὴν ὑπακοὴν αὐτοῦ.

